Nonnunquam vox inserta aliam genuinam de loco movit. cf. V, 44, 2 *μήτ' ἀτιμία τις (συνέπεσέ μοι) ὡς ὁρᾶν με τοῦ συνεδρίου τῆς ἐμῆς βουλῆς ἀφαιρεθέντα,* quae verba spuria ac corruptissima in Laur. hunc in modum leguntur: *ἀτιμία τις ὁρῶ τοῦ συνεδρίου τῆς τιμῆς βουλῆς ἀφαιρεθέντας*, unde verisimile fit *βουλῆς* nil aliud esse nisi glossema ad subst. *συνεδρίου* (= *δικαστηρίου*). Ex scriptura *ἀφαιρεθέντας ὁρῶ* elucet accusativum quendam excidisse — *πολλούς*, qui cum glossa illa irreperet, de medio sublatus est. Nos scripsimus *ὡς ὁρῶ ⟨ὑπὸ⟩ τοῦ συνεδρίου τῆς τιμῆς πολλοὺς ἀφαιρεθέντας.*

V, 35, 6 haec leguntur: *παρακαλῶν ἀντιδιδόναι τε καὶ ἀποδοῦναί τι καὶ ἀντιδιδάσκειν.* Quid intersit inter *ἀντιδιδόναι* et *ἀποδοῦναι* minime patet. Laur. habet pro *ἀποδοῦναι ἀντιδοῦναι*, unde colligi potest *ἀντιδοῦναι* variam lectionem esse pro *ἀντιδιδόναι*, ideoque removendam.

Neque aliter de loco V, 48, 14 iudicandum erit

ἐγὼ καταλείπω πᾶσαν — πρόσοδον οὐδὲν ἐξ αὐτῆς περιττὸν ἀποτιθέμενος οὐδὲ θησαυρίζων οὐδὲ πολλαπλάσια τῶν ἀναλισκομένων ἀποτιθέμενος. Etenim si sententiam spectes, Galenus dicit relinquere se totam a patre acceptam rem familiarem, quoniam nihil ex ea ademisset, neque plus quam consumpta essent reposuisset. Quae si recte excogitavimus, elucet primum, alterum ἀποτιθέμενος (post ἀναλισκομ.) corrigendum esse in προστιθέμενος, ut est paullo supra l. 4 τοῖς ὑπάρχουσι προστίθενται, tum vero, verba οὐδὲ θησαυρίζων, quippe quae idem significent atque οὐδὲ — ἀποτιθέμενος — suo loco teneri non posse sed tanquam glossema extrudenda esse.

II. Altera emblematum classis constat ex notulis doctissimi interpretis sive criticis sive grammaticis sive etymologicis, qui saepe etiam sententiam Galeni exemplis atque argumentis ex suo ingenio allatis adornavit et amplificavit.

V, 25, 5 periodi prima pars introducitur verbis πρῶτον μὲν ὅτι; altera postrema periit. Quod recte intellegens criticus noster margini adposuit notam 'τί δεύτερόν ἐστι;' (quid est alterum?) quae a Laur. Ald. Bas. servata a Charterio eiecta est.

Ibid. 9, 2 ab eiusdem fort. manu addita habes verba molestissima ἤ τινα τούτων ἢ πάντα; eademque pagina, l. 13 συνδιατρίβων δηλονότι, quae prorsus supervacanea sunt.

Similia nuper in editione nostra libelli 'de p. pila' ostendimus, ubi in ipso exordio verba h. d. subditicia [ἱκανῶς εἰρῆσθαι ἂν δόξειε] inclusimus.

Ibid. expunximus (K. 907, 13) adnotatiunculam grammatici 'τηνικαῦτα· χρῆσθαι' qua vir doctus dicere volebat, ad finem totius comprehensionis infinitivum χρῆσθαι subsequi.

Neque aliud quidquam de loco 904, 9 iudicaverim quamvis dissentiente Helmreichio (Ind. phil. X, 1), ubi verba haec sunt: ἐν (Hlmr: ἐπὶ) τούτῳ δὲ καὶ τὴν γνώ-

μην θήγει (L) *τῇ φροντίδι τοῦ τε μὴ καταβαλεῖν καὶ τοῦ διακωλῦσαι τὸν μέσον ἢ αὐτὸν ὑφαρπάσαι ἐν τούτῳ καταστταίη.* Quamquam non invitus tibi concedo affirmanti locum post *διακωλῦσαι* lacunosum esse, id tamen mihi persuadere non possum, verba *τὸν μέσον ἢ αὐτὸν ὑφαρπάσαι* a Galeno profecta esse. Immo vero, nisi me omnia fallunt, hoc quoque loco grammatici nostri manum atque ingenium cognoscere licebit, qui obiectum quoddam, quod ad infinitivos *καταβαλεῖν* et *διακωλῦσαι* spectaret, desiderans notulam textui adscripsit: 'Hoc loco accusativus *μέσον* vel *αὐτὸν* vel simile quid sequi debebat.'

At redeamus rursus ad librum *περὶ παθῶν*, in quo totam seriem huiuscemodi adnotationum indagasse nobis videmur.

Ac primum quidem si ad locum V, 18, 15 (ed. m. p. 35, 7) animum advertere volueris, ibi haec leges: *γενομένοις οὖν ἡμῖν ἐν Κορίνθῳ πάντα μὲν ἔδοξε* (Hultsch) *τὰ σκεύη καὶ τοὺς οἰκέτας ἐκπέμψαι κατὰ πλοῦν αὐτοῦ· αὐτὸς δὲ ἓν ὄχημα μισθωσάμενος πεζῇ — πορεύεσθαι.* Aenigma in his reconditum non nisi Laurentiani codicis auxilio solvere possis. Is enim pro *αὐτὸς δὲ ἓν* scriptum habet *ἐκτὸς δὲ ἓν* i. e. *ἐκτὸς δυεῖν* vel *δυοῖν*, quae unde orta sint, satis manifestum est. Si enim sequentia perlegeris, videbis in his de duobus servis sermonem fieri, quorum utrumque amicus Cretensis bis castigaverit.

Cum igitur in loco, quem exscripsimus, dictum esset, *omnes* servos dimissos esse, grammaticus, sequentium rationem habiturus, addidit ad vocem *οἰκέτας* notulam: *ἐκτὸς δυοῖν*, quae postea in textum irrepsit. Quibus remotis cum Hultschio recte scribemus — *ἔδοξε — ἡμῖν τοὺς οἰκέτας ἐκπέμψαι κατὰ πλοῦν· αὐτοὺς δ' ὄχημα μισθωσαμένους πεζῇ — πορεύεσθαι.* cf. Hultsch ad h. l. in Annal. Fleck. 101, p. 744 sq.

Suo iure deinde Hultschius (l. l. 103, p. 34) verba h. d. spuria K. V, 8, 7 *ὃν μήτε φιλήσειν οἶδας μήτε*

μισήσειν expungi iubet, quae eo magis pro suspiciosis habenda sunt, quo certius affirmari potest, Galenum neque usquam formam *οἶδας* pro *οἶσθα* usurpasse neque verbum *εἰδέναι* cum infinitivo coniunxisse pro participio.

Neque minus suspiciosum additamentum sunt p. 17, 1 verba *ἀλλ' ἐπὶ μόνοις τοῖς μεγάλοις* (L *μεγίστοις*) *μιασμοῖς* et p. 20, 9 verba *ἀλλ' ἑτέρῳ τρόπῳ παιδαγωγῆσαι διῆλθον*.

In libro *περὶ ἁμαρτημάτων* p. 78, 9 haec leguntur: *ἐπὶ τὴν ζήτησιν αὐτοῦ πάντες ἧκον· οἱ δὲ τιμήσαντες ἑαυτοὺς προπετῶς ἀπεφήναντο·* quae ultima verba ab interpolatore explicantur verbis additis '*ἀπεφήναντο δὲ προπετῶς ἤτοι πάντες ἢ χωρὶς ἑνός*.' Alter quidam, quis ille *εἷς* sit, dubitans adiecit novam notulam hanc: '*οὐδ' αὐτός ἐστι φανερός*'. Utrisque eiectis sententia clarior evadet.

Ut porro ex Protreptico quoque exemplum afferam, in hanc interpolationum classem prae ceteris quadrat locus I, 20, 11, cuius verba haec sunt: *πέποιθα γιγνώσκειν ὅτι μηδὲν τούτων ἐστὶ τέχνη οἷον τὸ πεττευριπτεῖν καὶ βαδίζειν ἐπὶ σχοινίων λεπτῶν, ἐν κύκλῳ τε περιδινεῖσθαι μὴ σκοτούμενον*. Agitur de artificiis quibusdam athletarum. Quorum in numero quid *πεττευριπτεῖν* (i. e. iacere talos) sibi velit, non liquet. Itaque verum videntes Charterius et Goulston pro *πεττευριπτεῖν* scribendum proposuerunt *πετταυριστεῖν*, quod vulgatae proxime quidem accedit, attamen corrigendum videtur in usitatius verbum *πετταυρίζειν* i. e. per extentum funem ire. Qua coniectura probata non improbabis, puto, si contendimus verba *βαδίζειν ἐπὶ σχοινίων λεπτῶν* interpretationem efficere vocabuli *πετταυρίζειν*.

At haec leviora sunt; gravius id est, quod idem interpres non singula tantum vocabula explicare studuit, sed saepissime etiam sententias scriptoris hic illic novis argumentis vel exemplis allatis amplificavit, quod

plerumque vix quisquam animadverteret, nisi a librario, qui Galeni ea esse credebat, haec additamenta in falsum locum illata essent. Longe splendidissimum exemplum huius rei in Observatt. p. 12 sq. dedimus et accuratius illustravimus. Dico locum, qui exstat V, 2, 5—12 *ἐνίοτε μὲν γὰρ δόξει προτρέπειν ἡμᾶς ἐννοεῖν, ὅτι καὶ αὐτοὶ — ἁμαρτάνομεν· ἐνίοτε δ' ὅπως ἄν τις ἕκαστον ὧν ἁμαρτάνει διαγιγνώσκοι καὶ πρὸς τούτοις αὖθις, ὅπως ἄν τις ἑαυτὸν ἀπάγοι τῶν ἁμαρτανομένων*, quae sine dubio nil aliud efficiunt quam molestissimam repetitionem vel periphrasin substantivorum trium antecedentium *ἤτοι τὴν παραφυλακὴν ἢ τὴν διάγνωσιν δοκεῖ μοι δηλοῦν ἢ καὶ πρὸς τούτοις τὴν ἐπανόρθωσιν.*

Testimonium, si quaeris, hoc est: Verba, de quibus quaeritur, ab eis, quae explicanda sunt, intermisso enuntiato *ἐφαίνετο καὶ ἀσαφῶς ἑρμηνεύων τὰ πολλὰ κτέ.* secernuntur, quod ipsum artissime cohaeret cum verbis paullo inferius subsequentibus *ἐνίοτε μὲν ὡς περὶ μόνων τῶν παθῶν αὐτοῦ ὁ λόγος γίγνεται, πολλάκις δὲ ὡς περὶ τῶν ἁμαρτημάτων.*

Eiusdem interpretis ingenio tribuimus verba p. 3, 3 scripta *λέγω μὲν οὖν ἁμαρτάνειν καὶ τὸν ἀκολασταίνοντα καὶ τὸν θυμῷ τι πράττοντα καὶ τὸν διαβολῇ πιστεύοντα*, quae minime in sententiam quadrant, sed inde iam glossam olent, quod proximum enuntiatum eisdem particulis *μὲν οὖν* introducitur, non particula *δέ*, quam in apodosi exspectamus.

Alia exempla eorum, quos peccare putat interpres, deprehendes pag. 4, 17 — 5, 9 in verbis *ὅστις μὲν ἐπὶ σμικροῖς ὀργίζεται σφοδρῶς* et quae secuntur usque ad *διότι μικρά*; et p. 77, 4—12 in verbis a sententiarum nexu alienissimis *ἔνθα καὶ σαφῶς, ὅπῃ διαφέρει πάθος ἁμαρτήματος, ἔνεστί σοι μαθεῖν κτέ.*, usque ad finem capitis.

Huc denique locum desperatissimum refero, quem, postquam ipsum me in illo sanando diu multumque

frustra torsi, aliorum sagacitati atque iudicio commendaverim, p. 79, 7, ubi de primo omnium criterio veritatis disseritur: *ἐπισκέψασθαι* (*χρὴ*) *τὸ* (lege *τί*) *πρῶτον ἁπάντων κριτήριον, ὃ δῆλον καί τινα λαβὴν ἄκριτον χρὴ καταλαβόντα μεμνῆσθαι πᾶσιν ἀνθρώποις. ὁμολογούμενον δ' ἦν, αὐτὸ καὶ χωρὶς κρίσεως ἱκανὸν ἐνδείκνυσθαι τὴν αὐτὴν δύναμίν ἐστι τοῦτο πάσης ἀποδείξεως.*

Idem interpres alio loco, 49, 4 artis etymologicae peritissimum se praestitit. *Μίαν, ἴσθι*, inquit Galenus, *πασῶν λυπῶν αἰτίαν, ἣν ὀνομάζουσιν οἱ Ἕλληνες ἐνίοτε μὲν ἀπληστίαν ἐνίοτε δὲ πλεονεξίαν.* Utramque vocem glossator explicavisse videtur; sed interpretatio mutila servata est hisce verbis: *ἀπληστίαν μὲν γὰρ ἀπὸ τοῦ τὰς ἐπιθυμίας ἀπληρώτους ἔχειν· ἀεὶ γὰρ ποθοῦσι τῶν ἔμπροσθεν* (?) *οἱ ἄπληστοι.* His olim h. d. respondebant verba *πλεονεξίαν δὲ ἀπὸ τοῦ πλέον ἔχειν ἐπιθυμεῖν*, quorum non nisi postrema pars in editionibus exstat inde a v. 6 usque ad v. 10 *ὥστε, κἂν διπλάσιον ἔχωσι — καὶ τούτων πλέον ἔχειν ἐπιθυμοῦσι.* In hanc classem pertinent etiam maxima ex parte illae interpolationes, quas in libro *περὶ τῆς ἀρίστης διδασκαλίας* reprehendimus, quasque hoc loco retractare longum est. Vide de his edit. meam in Ann. Fleck. 107, p. 389 sq.

III. Accedimus nunc ad tertium genus interpolationum, quod omnium molestissimum est.

Cadunt in hoc genus isti omnes loci, quibus ut diximus, homo quidam insulsissimus ineptit atque delirat oram exemplaris suis ipsius cogitationibus considerationibus adhortationibus implens atque contaminans.

Ecce exemplum luculentissimum in libro *π. παθῶν* K. V, 21, 15 — 22, 3. Dixerat in eis quae antecedunt G. irae non nimis indulgendum esse neque iracundia inflatum crudelius in servos animadvertendum, sed poenam in posterum differendam esse. Nam melius,

inquit, est *μηκέτι ζέοντος τοῦ θυμοῦ πράττειν, ἃ πράττεις ἔξω τῆς ἀλογίστου μανίας γενόμενον*. Quod Galeni praeceptum laudibus effert glossator scriptoris verba suis illustrans: *μετὰ γάρ τοι τὸν θυμὸν* (L: *καταστάντος γὰρ τοῦ θυμοῦ*) *σωφρονέστερον ἐπισκέψῃ πόσας χρὴ πληγὰς ἐντεῖναι τῷ τῆς κολάσεως ἀξίῳ· ἢ μηδὲ τὴν ἀρχὴν ἄμεινόν ἐστι συγγνώμῃ πρᾶξαι οὕτως αἰτήσαντα ἱμάντα καὶ σωφρονίσαντα τῷ λόγῳ καὶ ἀπειλήσαντα μηκέτι τὸ λοιπὸν συγχωρήσειν* (L) *ἐὰν ὁμοίως ἁμάρτῃ*; Quid multa? Ridicula sunt et tam absurda, ut nemo sapiens Galeno ea imputaturus sit.

Congruunt cum his mirifice verba quae p. 17, 9—14 leguntur *ὅπου γ' ἐξῆν αὐτοῖς καὶ νάρθηκι καὶ ἱμάντι μικρὸν ὕστερον ἐμφορῆσαι πληγὰς ὅσας ἠβούλοντο, καὶ τῇ βουλῇ* (i. e. *σωφροσύνῃ*) *τὸ τοιοῦτον ἔργον ἐπιτελεῖν*. Ex huius viri indole ac mente, ni fallor, ei quoque loci fluxerunt, quibus de difficultate sui ipsius cognoscendi quis lamentatur ac conqueritur. Conferas velim hosce inter se locos: V, 40, 12—14 *τὸ γὰρ ἑαυτὸν* <*γνῶναι*> *χαλεπόν ἐστι καὶ τοῖς τελείοις ἀνδράσιν, μήτοι γε δὴ τοῖς παισί*, quibus, si Galenus scripsisset, senex se ipsum puerum appellaret; tum p. 8, 2 *γνῶναι δ' ὡς ἐλέγομεν, ἀδύνατον, ἐπειδὴ σφόδρα φιλοῦμεν ἡμᾶς*, quae verba etiam ab Hultschio (Fleck. 103, 34) inclusa sunt; tum p. 34, 15—18 *ὅπερ δ' εἴωθα λέγειν ἑκάστοτε καὶ νῦν ἐρῶ· καθ' ἕτερον μὲν τρόπον ἁπάντων ἐστὶ δυσκολώτατον ἑαυτὸν γνῶναι, καθ' ἕτερον δὲ ῥᾷστον. ἐὰν μὲν γὰρ ἐντὸς* (fort: *ὄντως*) *θέλῃ τις αὐτός, χαλεπώτατόν ἐστι*, ubi posterior pars periodi quae verbis *ἐὰν δὲ* introducenda erat, periit. Eiusdem fortasse sunt p. 55, 8 verba *ὥστ' ἀδύνατόν ἐστι νῦν ὁρίσαι* (lege *διορίσαι*) *τοῦτο τῷ πρῶτον ἀρχομένῳ τὸ τῆς φιλοχρηματίας ἐκκόπτειν πάθος*; p. 97, 16—78 *εὐκολώτερον μὲν γάρ ἐστιν ἑνὸς ἀεὶ μνημονεύειν τοῦ περιμένειν ἐναργῶς ἐν ἀκριβεῖ, χαλεπώτατον δέ, διότι τοῦτ' αὐτὸ ποιεῖν οὐκ ἐθέλουσιν οἱ πολλοί*, quae ipsum me intellegere non posse confiteor;

et p. 59, 12—15 *ἴσως μὲν ἐπὶ πρεσβύτου δι' ὅλου τοῦ βίου σχολάσαντος εὑρέσει* (L) *τῶν ἀληθῶν ἁμαρτημάτων, ἢ συγκαταθέσθαι τινὶ τῶν ἀπόδειξιν ἐπιστημονικὴν* <*μὴ*> *ἐχόντων ἀσθενῶς*, de quibus sanandis — nisi forte *ἁμαρτημάτων* in *ἁμαρτεῖν μᾶλλον* corrigendum est — ipse tu videas.

Cui non dissimilis est locus p. 70, 7—14 *ἐὰν οὖν ἐξέλῃς τοῦ μέλλοντος* (L) *ἀλήθειαν ζητῆσαι ἀλαζονείαν κτέ., ὅδε ἀφίξεται — τὸν δ' ὑπό τινων παθῶν — οἰστρούμενον, πρὸς μὲν τὴν οὕτω μακρὰν ὁδὸν ὀκνῶ*, cuius verba mutila sunt neque in conexum quadrant.

Ingenium interpolatoris praeter haec hi loci tibi demonstrabunt, p. 45, 3—5 *Πρὸς ταύτην οὖν ἄσκησιν* — sed de exercitatione in antecedentibus nihil omnino dictum est — *μόνην ἄνεισον* (*ἄπεῖδον*?) *ἐγὼ διὰ μνήμης ἔχων καὶ μελετῶν ἀεὶ καὶ σκοπούμενος, μέχρι περ ἂν τούτῳ ἐπείσθην* (sic! pro *πεισθῶ*) *ὡς τὸ τὰ δὶς δύο τέτταρα εἶναι*, et p. 30, 12—18 *εἶτα* (legendum fortasse *τοῦτο*) *καθ' ἑκάστην ἡμέραν σαυτὸν ἀναμιμνήσκειν* (L: *αὐτὸν ἀνεμίμνησκεν*; fort. igitur *ἐμαυτὸν ἀνεμίμνησκον*) *ἄμεινον μὲν, εἰ πολλάκις, εἰ δὲ μὴ ἀλλὰ πάντως γε κατὰ τὴν ἕω, πρὶν ἄρχεσθαι τῶν πράξεων*[1]) *εἰς ἑσπέραν δὲ πρὶν ἀναπαύσασθαι μέλλειν. ἐγὼ δή ποτε καὶ ταύτας δὴ τὰς φερομένας ὡς Πυθαγόρου παραινέσεις εἴθισα* (suppl.: *ἐμαυτὸν*) *δὶς τῆς ἡμέρας ἀναγιγνώσκειν μὲν τὰ πρῶτα, λέγειν δ' ἀπὸ στόματος ὕστερον.*

Sed haec exempla satis superque docere puto, commentarium *περὶ παθῶν καὶ ἁμαρτημάτων* miserrime interpolatorum additamentis immaculatum esse. Ac sane cum Bentleio (praef. ad Horat. Carm. p. XX) dicere poterimus: 'Peracri iudicio opus esse et sagacitate et *ἀγχινοίᾳ* et divinandi quadam peritia et *μαν-*

1) Respicit his glossator ad Galeni verba p. 24, 7: *ἀλλ' ἔμοιγε βέλτιον εἶναι δοκεῖ μακρῷ ἐξαναστάντα τῆς κοίτης ἐπισκοπεῖσθαι πρὸ πάντων τῶν καθ' ἡμέραν ἔργων, ἄρα κτέ.*

τικῇ', si quis genuina verba ab his ineptiis recte secernere voluerit.

Attamen ne forte credas, ipsum me ineptire atque alucinari tantam molem interpolationum statuentem, hoc scias velim, ipsum Galenum non semel in scriptis suis de grammaticis et librariis querellam instituisse, qui libros suos alienis additamentis repleverint. Sic XVII, 1, 634 praeter alia haec dicit: *τάχα δέ τις καὶ προσέγραψεν ἕνεκεν ἑαυτοῦ καθάπερ εἰώθαμεν εἰς ὑπόμνησιν ἐν τοῖς μετωπίοις τὰ τοιαῦτα προσγράφειν — εἶτά τις τῶν μεταγραφόντων βιβλίον ὡς αὐτοῦ τοῦ συγγραφέως ὂν εἰς τὸ ὕφος αὐτὸ μετέθηκεν*, quibuscum conferenda sunt XVII, 1, 80; et 909; XVIII, 2, 863; alia. Deinde vero hoc te reputare velim, non temere me neque voluptate quadam, ut fieri solet, interpolationum indagandarum incitatum in hanc rem impeditissimam inquisivisse, sed nullum me locum obelo notavisse, nisi si gravissimis argumentis coactus eram. Sunt autem haec argumenta aut interna aut externa, quorum alterum utrum in unoquoque loco, quem uncis a me circumseptum videbis, facile cognosces. Omnium gravissimum autem id erit, si locis, de quibus quaeritur, eiectis sententiarum nexus clarior et magis perspicuus evadet.

Quodsi iudicaverint homines doctiores hac in re me paullulum ad Galenum emendandum attulisse, summo opere gaudebo satisque habebo demonstravisse, quantum et codicum, qui exstant, ope nec non iudicio editoris ad opera Galeni, quae tam diu nimis neglecta atque sordibus inquinata iacuerunt, emendanda profici possit.

Scripsi Gustroviae Mense Augusto 1883.

Io. Marquardt.

INDEX NOTARUM.

I. ΠΕΡΙ ΨΥΧΗΣ ΠΑΘΩΝ ΚΑΙ ΑΜΑΡΤΗΜΑΤΩΝ.

LIBER PRIMUS.

L = Cod. Laurentianus 74, 3; contulit H. Hinck. D = Cod. latinus Dresdensis 92. A = Aldina ed. B = Basileensis ed Ch = Charterii ed. C = Caselii ed. 1592. Ak = Ackeri ed. G = Goulstoni ed. K = Kuehniana ed. Don = Donati Vers. lat. Venet. 1538. O = Omnes codices et editiones. R = is, qui Observatt. crit. recensuit ap. Zarncke Centralbl. 1870, Nr. 51. Cob = Cobeti coniecturae Mnemos. VIII, 233—245. * signo mea notavi. Pr. = Praefatio. Unci quadrati interpolationem indicant.

LIBER SECUNDUS.

L = Codex Laurentianus 74, 3; contulit A. Wilmanns. l = Codex Laurentianus 74, 5; contulit H. Hinck. M = Codex Marcianus 281; contulit H. Hinck.

II. ΠΕΡΙ ΤΗΣ ΑΡΙΣΤΗΣ ΔΙΔΑΣΚΑΛΙΑΣ.

L = Cod. Laurentianus 74, 3; contulit Kruse. Ks = Kayseri editio in 'Philostrati vitae sophistarum'. k = Kuehnii editio minor. G = Goulstoni ed. Corn = Emendationes Cornarii. C = Iulii Caesaris coniectanea critica. S = Sauppii censura coniectaneorum Caesaris (Ind. phil. III, 401 sq.). * asterisco mea notata sunt. Unci quadrati interpolationem indicant.

III. ΠΕΡΙ ΤΟΥ ΔΙΑ ΤΗΣ ΣΜΙΚΡΑΣ ΣΦΑΙΡΑΣ ΓΥΜΝΑΣΙΟΥ.

L = Cod. Laurentianus 74, 3; contulit Vitelli. P = Cod. Parisinus bibl. Nation. Suppl. Graec. 35; contulit A. Schoene. M = Cod. Marcianus 276; contulit D. Riccoboni. A = Ed. Aldina. B = Ed. Basileensis. Ch = Ed. Charterii Parisiensis. K = Ed. Kuehniana. O = Omnes Editiones. H = Ed. Helmreichii. * asterisco notata sunt mea.

IV. ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΕΠΙ ΤΕΧΝΑΣ.

A = Ed. Aldina. B = Ed. Basileensis. Ch = Charterii ed. Paris. G = Goulstoni ed. Kö = Koehleri ed. W = ed. Willeti. K = Ed. Kuehniana. M C C. = censura huius editionis in Museo critico or Cambridge classical researches II 318 sq. O = Omnes editiones. Corn = Emendationes Cornarii in Ald. Ien. ap. Koehlerum. H = Emendationes Maur. Hauptii in: Hermes IV, 27. Cob = Emendationes Cobeti in Mnemos. IV, 134; 352; X, 179. * asterisco mea notavi. Unci quadrati signum interpolationis. Pr. = Praefatio.

I.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΙΔΙΩΝ ΕΚΑΣΤΩ ΠΑΘΩΝ ΚΑΙ ΑΜΑΡΤΗΜΑΤΩΝ ΤΗΣ ΔΙΑΓΝΩΣΕΩΣ Β΄.

LIBER PRIMUS.

Cap. I. *Ἐπειδὴ καὶ δι᾽ ὑπομνημάτων ἔχειν βού-* K. V, pag. 1
λει, ἃ πρὸς τὴν ἐρώτησιν ἀπεκρινάμην, ἣν ἐνεστήσω πρὸς ἡμᾶς ὑπὲρ τοῦ γραφέντος Ἀντωνίῳ τῷ Ἐπικουρείῳ βιβλίου περὶ τῆς ἐπὶ τοῖς ἰδίοις πάθεσιν ἐφεδρείας, ἤδη πράξω τοῦτο, καὶ τήνδε τίθεμαι τὴν ἀρχήν. ἄριστον μὲν ἦν αὐτὸν τὸν Ἀντώνιον εἰρηκέναι σαφῶς, τί ποτε βούλεται σημαίνειν ἐκ τοῦ τῆς ἐφεδρείας ὀνόματος, ὡς δ᾽ ἄν τις ἐξ ὧν λέγει κατὰ τὸ ‖ βιβλίον εἰκάσειεν, ἤτοι τὴν παραφυλακὴν ἢ τὴν 2 *διάγνωσιν δοκεῖ μοι δηλοῦν ἢ καὶ πρὸς τούτοις τὴν ἐπανόρθωσιν. ἐφαίνετο δ᾽, ὡς οἶσθα, καὶ ἀσαφῶς ἑρμηνεύων τὰ πολλὰ τῶν εἰρημένων, ὡς εἰκάσαι μᾶλλον ἔστιν ἢ νοῆσαι σαφῶς. [ἐνίοτε μὲν γὰρ δόξει προτρέπειν ἡμᾶς ἐννοεῖν, ὅτι καὶ αὐτοὶ πολλὰ παραπλησίως τοῖς ἄλλοις ἁμαρτάνομεν. ἐνίοτε δ᾽ ὅπως ἄν τις ἕκαστον ὧν ἁμαρτάνει διαγιγνώσκοι, καὶ πρὸς τούτοις αὖθις, ὅπως ἄν τις ἑαυτὸν ἀπάγοι τῶν ἁμαρτανομένων, ὃ δοκεῖ μοι τοῦ λόγου παντὸς εἶναι σκοπός· ἕκαστον γὰρ τῶν προειρημένων ἄχρηστόν*

De inscriptione vide Observat. crit. p. 3; Gal. XIX, 45 '*περὶ τῶν ἰδίων ἑκάστῳ παθῶν καὶ ἁμαρτημάτων τῆς διαγνώσεως β*' et XVI, 335 '*εἴρηται ἡμῖν καθ᾽ ἓν ἰδίᾳ βιβλίον περὶ τῶν ἁμαρτημάτων καὶ παθῶν τῆς ψυχῆς ἐπιγεγραμμένον*' *περὶ διαγν. κ. θεραπ. τῶν ἐν ἑκάστου ψυχῇ ἰδίων παθῶν* LO
2. *ἐνεστήσω* LABDon ‖ 4. *ἐπὶ τοῖς* ChK

ἐστι καὶ περιττόν, εἰ μὴ πρὸς τοῦτον ἀναφέροιτο. διορθοῦν δὲ χρὴ αὐτὸν ἐν τοῖς μάλιστα παθήμασι τῶν ἁμαρτημάτων.] ἐνίοτε μὲν γὰρ ὡς περὶ μόνων τῶν παθῶν αὐτοῦ ὁ λόγος γίγνεται, πολλάκις δ' ὡς περὶ τῶν ἁμαρτημάτων, ἔστι δ' ὅτε περὶ ἀμφοτέρων διαλέγεσθαί σοι δόξει. ἐγὼ δ' αὐτὸ τοῦτο πρῶτον, ὡς οἶσθα, διώρισα, τὰ μὲν ἁμαρτήματα κατὰ ψευδῆ δόξαν εἰπὼν γίγνεσθαι, τὸ δὲ
3 *πάθος κατά τιν' ἄλογον ‖ ἐν ἡμῖν δύναμιν ἀπειθοῦσαν τῷ λόγῳ· κοινῇ δ' ἀμφότερα κατὰ γενικώτερον σημαινόμενον ἁμαρτήματα κεκλῆσθαι. [λέγω μὲν οὖν ἁμαρτάνειν καὶ τὸν ἀκολασταίνοντα καὶ τὸν θυμῷ τι πράττοντα καὶ τὸν διαβολῇ πιστεύοντα.]*

Γέγραπται μὲν οὖν καὶ Χρυσίππῳ καὶ ἄλλοις πολλοῖς τῶν φιλοσόφων θεραπευτικὰ συγγράμματα τῶν τῆς ψυχῆς παθῶν, εἴρηται δὲ καὶ πρὸς Ἀριστοτέλους καὶ τῶν ἑταίρων αὐτοῦ καὶ πρὸ τούτων ὑπὸ Πλάτωνος, καὶ ἦν μὲν βέλτιον ἐξ ἐκείνων μανθάνειν αὐτά, ὥσπερ κἀγὼ ...... Τὰ δ' οὖν κεφάλαια διὰ τοῦ πρώτου λόγου τοῦδε διὰ συντόμου, ἐπειδὴ κελεύεις, διήξω σοι πάντα, καθ' ἣν ἤδη τάξιν ἤκουσας, ὅτ' ἐπύθου περὶ τοῦ γεγραμμένου τῷ Ἀντωνίῳ βιβλίου.

Cap. II. *Ὅτι μὲν εἰκός ἐστιν ἁμαρτάνειν, εἰ καὶ μὴ δοκοῦμεν ἡμῖν αὐτοῖς σφάλλεσθαί τι, πάρεστιν ἐκ τῶνδε λογίσασθαι· πάντας ἀνθρώπους ὁρῶμεν ἑαυτοὺς ὑπολαμβάνοντας ἤτοι γ' ἀναμαρτήτους εἶναι παντάπασιν ἢ ὀλίγα καὶ σμικρὰ καθόλου σφάλλεσθαι, καὶ*
4 *τοῦτο ‖ μάλιστα πεπονθότας, οὓς ἄλλοι πλεῖστα νομίζουσιν ἁμαρτάνειν. Ἐγὼ γοῦν, εἰ καί τινος ἑτέρου καὶ*

6. *διώρισα* L ‖ 10. *κεκλῆσθαι* LG *κεκλεῖσθαι* A ‖ 18. Post *κἀγὼ* plura excidisse censet R ‖ 23. *δοκοῦμεν ἡμῖν αὐτοῖς* ἐκ τῶνδε* L ‖ 26. *καθόλου* R *καὶ διὰ λόγου* L *διόλου* Cob ‖ 28. *ἐγὼ γοῦν**

τοῦδε παμπόλλην ἔσχηκα πεῖραν. ὅσοι μὲν τῶν ἀνθρώπων ἐπ' ἄλλοις ἐπέθεντο τὴν περὶ αὐτῶν ἀπόφασιν, ὁποῖοί τινές εἰσιν, ὀλίγα τούτους ἐθεασάμην ἁμαρτάνοντας, ὅσοι δ' ἑαυτοὺς ὑπειλήφασιν ἀρίστους εἶναι χωρὶς τοῦ τὴν κρίσιν ἑτέροις ἐπιτρέψαι, μέγιστα καὶ πλεῖστα τούτους ἑώρακα σφαλλομένους. ὥσθ', ὅπερ ᾤμην, ὅτε μειράκιον ἦν, ἐπαινεῖσθαι μάτην — τοῦτο δ' ἦν τὸ Πύθιον γνῶναι κελεῦον ἑαυτόν — οὐ γὰρ εἶναι μέγα τὸ πρόσταγμα —, τοῦθ' εὗρον ὕστερον δικαίως ἐπαινούμενον. ἀκριβῶς μὲν γὰρ ὁ σοφώτατος μόνος ἂν ἑαυτὸν γνοίη, τῶν δ' ἄλλων ἁπάντων ἀκριβῶς μὲν οὐδείς, ἧττον δὲ καὶ μᾶλλον ἕτερος ἑτέρου. καθάπερ γὰρ ἐν ὅλῳ τῷ βίῳ καὶ κατὰ πάσας τὰς τέχνας τὰς μὲν μεγάλας ὑπεροχάς τε καὶ διαφορὰς τῶν πραγμάτων ἅπαντος ἀνδρός ἐστι γνῶναι, τὰς δὲ μικρὰς τῶν φρονίμων τε καὶ τεχνιτῶν, οὕτω κἀπὶ τῶν ἁμαρτημάτων ἔχει καὶ παθῶν. [ὅστις μὲν γὰρ ἐπὶ μικροῖς ὀργίζεται ‖ σφοδρῶς δάκνει τε καὶ κακίζει τοὺς οἰκέτας, οὗτος 5 *μέν σοι δῆλός ἐστιν, ὅτι ἐν πάθει καθέστηκεν, ὁμοίως δὲ καὶ ὅστις ἐν μέθαις τε καὶ ἑταίραις καὶ κώμοις καταγίγνεται. τὸ δ' ἐπὶ μεγάλῃ βλάβῃ χρημάτων ἢ ἀτιμίᾳ μετρίως ταραχθῆναι τὴν ψυχὴν οὐκέθ' ὁμοίως ἐστὶ φανερόν, ἐκ τοῦ γένους τῶν παθῶν ὑπάρχει, ὥσπερ οὐδὲ τὸ πλακοῦντα φαγεῖν ἀκρατέστερον, ἀλλὰ καὶ ταῦτα κατάδηλα γίγνεται τῷ προμελετήσαντι τὴν ψυχὴν ἐξοδιάσαντί θ' ἁπάντων παθῶν τὰ ἐπανορθώσεως δεόμενα καὶ μεῖζόν γ' ἔμπης ἀποφυγεῖν αὐτά, διότι μικρά.] ὅστις οὖν βούλεται καλὸς κἀγαθὸς γενέσθαι,*

2. *περὶ αὐτῶν** ‖ 3. *ὀλίγα τούτους** Pr. XXXV *ὀλιγοτάτους* L ‖ 4. *ὑπειλήφασιν* RCob *ἀρίστους εἶναι* L ‖ 8. ad *Πύθιον* L² add. in marg. *γράμμα* ‖ 17. *μὲν γὰρ** ‖ 20. *κώμοις** = Gal. X, 3 *κώμαις* LAB *καταγίνεται* L ‖ 23. *ὑπάρχει* R *οὐδὲ τὸ* L ‖ 25. *ἐξοδιάσαντι τὴν* L² num *ἐξοργιάσαντι**? (cf. Arist. pol. 8, 7) *τὴν* om. L¹ *τά**

τοῦτον ἐννοῆσαι δεῖ, ὡς ἀναγκαῖόν ἐστιν, αὐτὸν ἀγνοεῖν πολλὰ τῶν ἰδίων ἁμαρτημάτων, ὅπως ἂν ἐξεύρῃ πάντα. Δυνάμενος μὲν ἐγὼ λέγειν, ὅπως εὗρον αὐτός, οὔπω λέγω, διότι τὸ βιβλίον τοῦτο δύναταί ποτε καὶ εἰς ἄλλων ἀφικέσθαι χεῖρας, ὅπως ἂν κἀκεῖνοι γυμνασθῶσι πρότερον ὁδὸν εὑρεῖν τῆς γνώσεως τῶν ἰδίων ἁμαρτημάτων. Ὥσθ' ὥσπερ καὶ σέ μοι λέγειν ἠξίωσα καὶ μέχρι τὸ σαυτῷ δοκοῦν ἀπεφήνω, διεσιώπησα, καὶ
6 *νῦν ‖ οὕτω πράξω, παρακαλέσας τὸν ὁμιλοῦντα τῷδε τῷ γράμματι, καταθέμενον αὐτὸ ζητῆσαι, πῶς ἄν τις ἑαυτὸν δύναιτο γνωρίζειν ἁμαρτάνοντα. Δύο γάρ, ὡς Αἴσωπος ἔλεγε, πήρας ἐξήμμεθα τοῦ τραχήλου, τῶν μὲν ἀλλοτρίων τὴν πρόσω, τῶν ἰδίων δὲ τὴν ὀπίσω καὶ δια τοῦτο τὰ μὲν ἀλλότρια βλέπομεν ἀεί, τῶν δ' οἰκείων ἀθέατοι καθεστήκαμεν. καὶ τοῦτόν γε τὸν λόγον ὡς ἀληθῆ προσίενται πάντες. Ὁ δὲ Πλάτων καὶ τὴν αἰτίαν ἀποδίδωσι τοῦ γιγνομένου· ʻΤυφλοῦται γάρ, φησίν, ὁ φιλῶν περὶ τὸ φιλούμενον.' εἴπερ οὖν ἕκαστος ἡμῶν ἑαυτὸν ἁπάντων μάλιστα φιλεῖ, τυφλώττειν ἀναγκαῖόν ἐστιν αὐτὸν ἐφ' ἑαυτοῦ. Πῶς οὖν ὄψεται τὰ ἴδια κακά; καὶ πῶς ἁμαρτάνων γνώσεται; πολλῷ γὰρ ἔοικεν ὅ τε τοῦ Αἰσώπου μῦθος καὶ ὁ τοῦ Πλάτωνος λόγος ἀνελπιστοτέραν ἡμῖν τὴν τῶν ἰδίων ἁμαρτημάτων εὕρεσιν ἀποφαίνειν· εἰ γὰρ μὴ τοῦ φιλεῖν τις*

1. *ἐννοῆναι* Cod. Lond. ap. G *δεῖ** ‖ 2. *ἐξεύρῃ** ‖ 3. *δυνάμενος μὲν** ‖ 6. *πρότερον** *πο*(*τερ΄*) L *πρὸς τὸ — εὑρεῖν* Cob *ἰδίων* L ‖ 7. *ὥσθ'* add.* ‖ 8. *τὸ σαυτῷ δοκοῦν* CAkCob ‖ 10. *καταθέμενον αὐτὸ* L[1] ne separet ipsum a manu sua D *αὐτῷ* L[2]O *αὐτῷ* K ‖ 15. *καθεστήκαμεν* L ‖ 16. *προσίενται πάντες* L *κ. τ. αἰτίαν ἀποδ.* L ‖ 17 *τυφλοῦται ὁ φιλῶν** = Plat. leg. V, 731 E *τυφλῶττον — τὸ φιλοῦν* LO; dicens amicum in amato esse caecum D ‖ 23. *ἀνελπιστοτέραν* LG ‖ 24. *μὴ τοῦ* Cob

ἑαυτὸν ἀποστῆναι δύναται, τυφλώττειν ἀναγκαῖόν ἐστι τὸν φιλοῦντα περὶ τὸ φιλούμενον. Οὐ μὴν οὐδ' ἐγὼ τὸν ἀναγιγνώσκοντα τόδε τὸ βιβλίον ἠξίουν ἂν ἐπισκέψασθαι καθ' αὑτὸν ‖ ὁδὸν τῆς τῶν ἰδίων ἁμαρτημάτων 7 *εὑρέσεως, εἰ μὴ χαλεπὸν ἦν τὸ πρᾶγμα, κἂν τις ὡς ἐπὶ πλεῖστον ἐσκεμμένος ᾖ καθ' αὑτόν. καὶ τοίνυν ἐγω τὴν ἐμὴν ἀποφαίνομαι γνώμην, ἵν', εἰ μέν τινα καὶ αὐτὸς ἕκαστος ἑτέραν ὁδὸν εὕροι προσλαβὼν καὶ την ἐμὴν ὠφεληθείη πλεονεκτικῶς διπλῆν ἀνθ' ἁπλῆς εὑρων ὁδὸν σωτηρίας· εἰ δὲ μή, ἀλλ' αὐτῇ γε τῇ ἡμετέρᾳ διατελεῖ χρώμενος, ἄχρι περ ἂν ἑτέραν εὕρῃ βελτίονα. τίς οὖν ἡ ἐμή, λέγειν ἂν ἤδη καιρός, ἀρχὴν τῷ λόγῳ τήνδε ποιησάμενον.*

Cap. III. *Ἐπειδὴ τα μὲν ἁμαρτήματα δια τὴν ψευδῆ δόξαν γίγνεται, τὰ δὲ πάθη διὰ τὴν ἄλογον ὁρμήν, ἔδοξέ μοι πρότερον ἑαυτὸν ἐλευθερῶσαι τῶν παθῶν· εἰκὸς γάρ πως καὶ διὰ ταῦτα ψευδῶς ἡμᾶς δοξάζειν. ἔστι δὲ πάθη ψυχῆς, ἅπερ ἅπαντες γιγνώσκουσι, θυμος καὶ ὀργὴ καὶ φόβος καὶ λύπη καὶ φθόνος καὶ ἐπιθυμία σφοδρά. κατὰ δὲ τὴν ἐμὴν γνώμην καὶ τὸ φθάσαι πάνυ σφόδρα φιλεῖν ἢ μισεῖν ὁτιοῦν πρᾶγμα πάθος ἐστίν. ὀρθῶς γὰρ ἔοικεν εἰρῆσθαι τὸ 'Μέτρον ἄριστον' ὡς οὐδενὸς ‖ ἀμέτρου καλῶς γιγνο-* 8 *μένου. Πῶς οὖν ἄν τις ἐκκόψειε ταῦτα, μὴ γνοὺς πρότερον ἔχων αὐτά; [γνῶναι δ', ὡς ἐλέγομεν, ἀδύνατον, ἐπειδὴ σφόδρα φιλοῦμεν ἡμᾶς.] Ἀλλὰ καὶ μήτ' αὐτὸν*

1. *ἀποστῆναι* Cob ‖ 2. *τ. φιλοῦντα** est impossibile quin *quisque* sit secum (i. e. caecus) et non videns in suo amato D ‖ 3. *ἠξίουν ἄν* L Cob ‖ 5. *κἄν τις** = Don: quamvis quis — tractaverit *καὶ τοίνυν ὡς* L ‖ 7. *ἵν' εἰ μέν** = Don: *ut* si invenerit, adiuvetur ‖ 9. *ὠφεληθείη* L ‖ 15. *γίγνεται* Ak ‖ 16. *ἑαυτὸν ἐλ.* L¹Pr. XLIV = Don. me ipsum ‖ 17. *ψευδῶς** ‖ 26. *μήτ' αὐτὸν* Hultsch Ann. Fleckeis. 103, 35

ὁ λόγος οὗτος ἐπιτρέπει σοι κρίνειν, ἄλλον τε συγχωρεῖ δύνασθαι κρίνειν, τὸν μήτε φιλούμενον ὑπὸ σοῦ μήτε μισούμενον. Ὅταν οὖν ἀκούσῃς τινὰ τῶν κατὰ τὴν πόλιν [ὃν μήτε φιλήσειν οἶδας μήτε μισήσειν] ἐπαινούμενον ὑπὸ πολλῶν ἐπὶ τῷ μηδένα κολακεύειν, ἐκείνῳ προσφοιτήσας αὐτὸς τῇ πείρᾳ κρῖνον, εἰ τοιοῦτός ἐστιν, οἷος εἶναι λέγεται, καὶ πρῶτον, ἐὰν ἴδῃς αὐτὸν ἐπὶ τὰς τῶν πλουσίων τε καὶ πολὺ δυναμένων ἢ καὶ τὰς τῶν μονάρχων οἰκίας ἐπιόντα συνεχῶς, γίγνωσκε μάτην ἀκηκοέναι, τὸν ἄνθρωπον τοῦτον ἀληθεύειν ἅπαντα — ταῖς γὰρ τοιαύταις κολακείαις ἕπεται καὶ τὸ ψεύδεσθαι, — δεύτερον ἢ προσαγορεύοντ' ἢ παραπέμποντα τοὺς τοιούτους ὁρῶν αὐτὸν ἢ καὶ συνδειπνοῦντ' αὐτοῖς. τοιοῦτον γάρ τις ἑλόμενος βίον, οὐ μόνον οὐκ
9 ἀληθεύει, ἀλλὰ καὶ κακίαν ὅλην ἐξ ἀνάγκης ἔχει, ‖ φιλοχρήματος ὢν ἢ φίλαρχος ἢ φιλότιμος ἢ φιλόδοξος. τὸν δὲ μὴ προσαγορεύοντα μήτε παραπέμποντα μήτε συνδειπνοῦντα τοῖς πολὺ δυναμένοις ἢ πλουτοῦσι καὶ κεκολασμένῃ τῇ διαίτῃ χρώμενον ἐλπίσας ἀληθεύσειν, εἰς βαθυτέραν ἀφικέσθαι πειράθητι γνῶσιν, ὁποῖός τίς ἐστιν, — ἐν συνουσίαις δ' αὕτη πολυχρονιωτέραις γίγνεται, — κἂν εὕρῃς τοιοῦτον, ἰδίᾳ ποτὲ μόνῳ διαλέχθητι παρακαλέσας, ὅ τι ἂν ἐν σοὶ βλέπῃ τῶν εἰρημένων παθῶν, εὐθέως δηλοῦν, ὡς χάριν ἕξοντι τούτου μεγίστην, ἡγησομένῳ τε σωτῆρα μᾶλλον ἢ εἰ νοσοῦντα

1. *συγχωρεῖ* Hultsch ‖ 6. *αὐτὸς τῇ πείρᾳ** *τῆς αὐτῆς πεῖρας* L ‖ 9. *ἐπιόντα* G = Don: frequentari ‖ 13. *τ. τοιούτους ὁρῶν αὐτὸν* Hultsch Cob ‖ 14. *αὐτοῖς* add.* *οὐ μόνον ἀληθεύειν* om: *οὐκ* L ‖ 16. *φιλότιμος ἢ φιλοδ.* L Post *φιλόδοξος* verba spuria *ἤ τινα τούτων ἢ πάντα* sustuli* ‖ 18. *τοῖς π. δυναμ. — καὶ κεκολ.* Hultsch Cob Pr. XLII ‖ 19. *ἀληθεύσειν** Pr. XLVII ‖ 20. *ὁποῖός τις* L ‖ 23. *ἂν ἐν σοὶ** Cob ‖ 24. *ἕξοντι* LK *τούτου* K *τούτῳ* LO ‖ 25. *ἡγησομένῳ* K

τὸ σῶμα διέσωσε. Κἂν ὑπόσχηται δηλώσειν, ὅταν ἴδῃ τι τῶν εἰρημένων πάσχοντά σε, κἄπειτα πλειόνων ἡμερῶν μεταξὺ γιγνομένων μηδὲν εἴπῃ, μέμψαι τὸν ἄνθρωπον, αὖθίς τε παρακάλεσον ἔτι λιπαρέστερον ἢ ὡς πρόσθεν, ὅ τι ἂν ὑπὸ σοῦ βλέπῃ κατὰ πάθος πραττόμενον, εὐθέως μηνύειν. ἐὰν δ' εἴπῃ σοι, διὰ τὸ μηδὲν ἑωρακέναι περὶ σὲ τοιοῦτον ἐν τῷ μεταξύ, διὰ τοῦτο μηδ' αὐτος εἰρηκέναι, μὴ πεισθῇς εὐθέως μηδ' οἰηθῇς ἀναμάρτητος ‖ ἐξαίφνης γεγονέναι, ἀλλὰ δυοῖν θά- 10
τερον, ἢ διὰ ῥᾳθυμίαν οἷον μὴ προσεσχηκέναι σοι τὸν παρακληθέντα φίλον ἢ ἐλέγχειν αἰδούμενον σιωπᾶν ἢ καὶ μισηθῆναι μὴ βουλόμενον, διὰ τὸ γιγνώσκειν, ἅπασιν ὡς ἔπος εἰπεῖν ἀνθρώποις ἔθος εἶναι μισεῖν τοὺς τἀληθῆ λέγοντας, ἢ εἰ μὴ δια ταῦτα, ἴσθι, μὴ βουλόμενον αὐτὸν ὠφελεῖν σε διὰ τοῦτο σιωπᾶν, ἢ καὶ δι' ἄλλην τιν' ἴσως αἰτίαν, ἣν οὐκ ἐπαινοῦμεν ἡμεῖς. Ἀδύνατον γὰρ εἶναι τὸ μηδὲν ἡμαρτῆσθαί σοι πιστεύσας ἐμοί, τοῦτο σύ γ' ἐπαινέσεις ὕστερον, θεώμενος ἅπαντας ἀνθρώπους καθ' ἑκάστην ἡμέραν μυρία μὲν ἁμαρτάνοντας καὶ κατὰ πάθος πράττοντας, οὐ μὴν αὐτούς γε παρακολουθοῦντας. Ὥστε μηδὲ σὺ νομίζῃς αὐτὸς ἄλλο τι μᾶλλον ἢ ἄνθρωπος εἶναι [νομίζεις δ'

1. *ὅταν ἴδῃ τι* L *ὅταν τι — βλέπῃ* O ‖ 3. Post *εἴπῃ* delevi vv. *συνδιατρίβων δηλονότι. μέμψαι* G Hultsch Cob *τὸν ἄνθρωπον* L ‖ 4. *λιπαρέστερον** = Fleck. Ann. 123, 565 blandius Don ‖ 5. *κατὰ πάθος** *κω*^{τῦ} *παθῶν* L ‖ 8. *μηδ' αὐτὸς* Cob ‖ 10. *οἷον μὴ πρ.* Hultsch *οὐ προσέσχηκεν ἐν σοὶ* L *παρακληθέντα** Fleck. Ann. l. l. *παραβληθέντα* L *παρακεκλημένον* Cob ‖ 11. *ἐλέγχειν* L aut quod erubescit de correctione tui timens, quod haberes inde ipsum odio D ‖ 12. *μὴ βουλόμενον** ‖ 16. *ἴσως* L Pr. XLI ‖ 17. *εἶναι τὸ μηδὲν ἡμαρτῆσθαί σοι** *ἢν αὐτῷ μηδὲν ἡμαρτῆσθαί σοι* L ‖ 18. *σύ γ'** *καὶ ἐπαινέσεις* Hultsch ‖ 20. *κατὰ πάθος** *κατὰ παθῶν* L ‖ 21. *αὐτούς γε** Cob *ἑαυτούς γε* LO; praeter quod sciant hoc et cognoscant D *νομίζῃς αὐτὸς**

*ἄλλο τι μᾶλλον ἢ ἄνθρωπος ὑπάρχειν, ἐὰν ἀναπείσῃς σαυ-
τόν, ἅπαντα καλῶς σοι πεπρᾶχθαι, μὴ ὅτι ἑνὸς μηνός, ἀλλὰ
μιᾶς ἡμέρας]. Ἴσως οὖν ἐρεῖς, ἢν ἐναντιολογικὸς ᾖς,
ἤτοι κατὰ προαίρεσιν ἢ ἐκ μοχθηροῦ τινος ἤθους γε-*
11 *γονὼς τοιοῦτος ἢ καὶ φύσει φιλόνεικος ὤν, ὅσον ἐπὶ
τῶν νῦν ὑπ' ἐμοῦ προσγεγραμμένων λόγων, τοὺς
σοφοὺς ἄνδρας ἄλλο τι μᾶλλον ἢ ἀνθρώπους εἶναι.
τούτῳ δὴ σοῦ τῷ λόγῳ τὸν ἡμέτερον ἀντίθες διττὸν
ὄντα, τὸν μὲν ἕτερον, ὅτι μόνος ὁ σοφὸς ἀναμάρτη-
τός ἐστι τὸ πάμπαν, ἕτερον δ' ἐπ' αὐτῷ τῷ προσιε-
μένῳ, εἴπερ ἀναμάρτητός ἐστιν ὁ σοφὸς οὐδ' ἄνθρω-
πον ὑπάρχειν αὐτόν. Ὅσα δ' ἐπὶ τῷδε, καὶ διὰ τοῦτο
τῶν παλαιοτάτων φιλοσόφων ἀκούσῃ λεγόντων, ὅμοιον
εἶναι θεῷ τὸν σοφόν. Ἀλλὰ σύ γε θεῷ παραπλήσιος
ἐξαίφνης οὐκ ἄν ποτε γένοιο. ὅπου γὰρ οἱ δι' ὅλου τοῦ
βίου ἀπάθειαν ἀσκήσαντες οὐ πιστεύονται τελέως αὐ-
τὴν ἐσχηκέναι, πολὺ δήπου μᾶλλον ὁ μηδέποτ' ἀσκήσας
σὺ μὴ πιστεύσῃς τῷ λέγοντι, μηδὲν ἑωρακέναι κατὰ
πάθος ὑπὸ σοῦ πραττόμενον, ἀλλ' ἤτοι μὴ βουλόμε-
νον ὠφελεῖν σε νόμιζε λέγειν οὕτως, ἢ μὴ παραφυ-
λάξαι προῃρημένον, ἃ πράττεις κακῶς, ἢ φυλαττόμε-
νον ὑπὸ σοῦ μισηθῆναι· τάχα δὲ καὶ εἶδέ σέ ποτε πρὸς
τὸν ἐπιτιμήσαντα τοῖς σοῖς ἁμαρτήμασί τε καὶ πάθεσι
δυσχεράναντα, ὥστ' εἰκότως ἐσιώπα, μὴ πιστεύων,*

3. *ἢν ἐναντιολ.** *ἢν* vel *εἰ* om. L ‖ 5. *τοιοῦτος ἢ καὶ** Hultsch *εἴη καὶ* L ‖ 6. *προσγεγραμμένων** ‖ 8. *σοῦ τῷ λ.** ‖ 9. *ὅτι μόνος* Cob *ὅτι μὴν* LO ‖ 13. *ἀκούσῃ** *ἀκούσει λεγόντων* L ‖ 14. *τὸν σοφόν* CAk sapientem Don *ὁμοίωσιν θεῷ εἶναι τὴν σοφίαν* Cob ‖ 16. *πιστεύονται** Cob *πιστεύοντες* LO ‖ 18. *μὴ πιστεύσῃς** *μὴ τοίνυν πιστεύσῃς* LO *κατὰ πάθος** *κατὰ παθῶν* L ‖ 22. *εἶδέ σε** vidit te Don ‖ 24. *δυσχεράναντα* transposui particula *καὶ* (cum L) eiecta* Cob Pr. XLII *ἐσιώπα μὴ πιστεύων ἀληθεύειν σε** Pr. XXXVIII *σιωπᾶν ἢ πιστεύων ἀληθεύοντα* L *μὴ ἀληθεύειν λέγοντα* Cob

ἀληθεύειν ‖ σε λέγοντα, βούλεσθαι ἕκαστον εἰδέναι ὧν 12
ἁμαρτάνεις. ἐὰν δὲ πρῶτον τῶν ὑπὸ σοῦ πραττομέ-
νων ἀπαλλαγεὶς σιωπήσῃς, εὑρήσεις πολλοὺς ὀλίγον
ὕστερον ἀληθῶς ἐπανορθουμένους σε καὶ πολύ γε μᾶλ-
λον, ἐὰν χάριν γνῷς τῷ μεμψαμένῳ χωρισθείσης σου
τῆς βλάβης τούτου γ' ἕνεκεν. ἐξ αὐτοῦ δὲ τοῖ δια-
σκέψασθαι, πότερον ἀληθῶς ἢ ψευδῶς ἐπετίμησέ σοι,
μεγάλης ὠφελείας αἰσθήσῃ, κἂν συνεχῶς πράττῃς αὐτό,
προῃρημένος ὄντως εἷς γενέσθαι καλὸς κἀγαθός, ἔσῃ
τοιοῦτος. Ἐν μὲν δὴ τῷ πρώτῳ χρόνῳ μηδ' ἐὰν καὶ
σκεπτόμενος ἀκριβῶς εὕρῃς ἐπηρεαστικῶς τε καὶ ψευ-
δῶς ἐγκεκληκότα σοι καὶ ἀπείρως αὐτόν, πείθῃ, ὡς
οὐδὲν ἥμαρτες, ἀλλά σοι ταὐτὸν πρῶτον φιλοσόφημα
τὸ καρτερεῖν ἐπηρεαζόμενον. ὕστερον δέ ποτε κατε-
σταλμένων ἱκανῶς τῶν σαυτοῦ παθῶν αἰσθόμενος ἐπι-
χειρήσεις ἀπολογεῖσθαι τοῖς ἐπηρεάζουσι μηδέποτε πι-
κρῶς μηδ' ἐλεγκτικῶς, μηδέποτε φιλόνεικος ἐμφαίνων
μηδὲ καταβάλλειν ἐθέλων ἐκεῖνον, ἀλλ' ὠφελείας ἕνεκα
τῆς σῆς, ἵνα τι καὶ πρὸς τὴν ἀντιλογίαν ἀντειπόντος
αὐτοῦ πιθανόν, ἤτοι πεισθῇς ἐκεῖνον ‖ ἄμεινον γι- 13
γνώσκειν ἢ μετὰ πλείονος ἐξετάσεως εὕρῃς αὐτὸν ἔξω
τῶν ἐγκλημάτων ὄντα. Οὕτω γοῦν καὶ Ζήνων ἠξίου
πάντα πράττειν ἡμᾶς ἀσφαλῶς, ὡς ἀπολογησομένους

3. *ἀπαλλαγεὶς** *ἀπαλλαγῇ* LO ‖ 5. *γνῷς** *χωρισθείσης σου* C Ak Pr. XXXVI *χωρισθεὶς οὔσης* L ‖ 6. *τοῦ διασκ.* cod. Lond. ap. G Cob *τούτου διασκ.* LO ‖ 11. *εὕρῃς* L *ψ. ἐγκεκληκότα σοι καὶ ἀπείρως αὐτόν, πείθῃ** *ψ. ἐκκεκληκότα σοι τὴν καὶ ἀπ. αὐτὸν πείθειν* L ‖ 13. *ταὐτὸν* **πρῶτον** LD: et scito quod *primum* quod decet te facere in hoc est quod sis usus et exercitatus pati ‖ 14. *κατεσταλμένων τῶν σαυτοῦ π.** *κατεσταλμένον τῶν σαυτῶν παθῶν* L ‖ 17. *φιλόνεικος ἐμφαίνων** Ak ‖ 18. *ἐθέλων* C ‖ 19. *πρὸς τὴν ἀντιλογ.* L ‖ 20. *ἤτοι πεισθῇς** *πεισθεὶς* L ‖ 21. *ἢ μετὰ** *εἰ μετὰ* LO *εὕρῃς* L

ὀλίγον ὕστερον παιδαγωγοῖς. ὠνόμαζε γαρ οὕτως ἐκεῖνος ὁ ἀνὴρ τοὺς πολλοὺς τῶν ἀνθρώπων ἑτοίμους ὄντας τοῖς πέλας ἐπιτιμᾶν, κἂν μηδεὶς αὐτοὺς παρακαλῇ. Χρὴ δὲ τὸν ἀκούοντα μήτε πλούσιον εἶναι, μήτ' αἰδοῦς μετέχειν πολιτικῆς, ὡς, ἄν γε ταύτην ἔχῃ, διὰ φόβον οὐδεὶς αὐτῷ τἀληθῆ λέξει, καθάπερ οὐδὲ τοῖς πλουτοῦσι διὰ κέρδος οἱ κόλακες. [ἀλλὰ κἂν εἴ τις ἀληθεύων παραφανῇ, διασπᾶσθαι πρὸς αὐτῶν.] ἐὰν οὖν τις ἤτοι πολλὰ δυνάμενος ἢ καὶ πλούσιος ἐθελήσῃ γενέσθαι καλὸς κἀγαθός, ἀποθέσθαι πρότερον αὐτὸν δεήσει ταῦτα, καὶ μάλιστα νῦν, ὅπου οὐχ εὑρήσει Διογένη δυνάμενον εἰπεῖν ταὐτὸν τἀληθῆ, κἂν πλουσιώτατος ᾖ, κἂν μόναρχος. Ἐκεῖνοι μὲν οὖν ὑπὲρ ἑαυτῶν βουλεύσονται· σὺ δ' ὁ μὴ πλούσιος μήτε δυνατὸς ἐν πόλει πᾶσι μὲν ἐπίτρεπε λέγειν, ἃ καταγιγνώσκουσί σου, πρὸς μηδένα δ' αὐτὸς ἀγανάκτει, καὶ οὕτως ἔχε
14 *πάντας, ὡς ‖ Ζήνων ἔλεγε, παιδαγωγούς. οὐ μὴν ὁμοίως γε πᾶσι περὶ ὧν ἂν εἴπωσιν ἀξιῶ προσέχειν, ἀλλὰ τοῖς ἄριστα βεβιωκόσι πρεσβύταις. ὁποῖοι δ' εἰσὶν οἱ ἄριστα βιοῦντες, ὀλίγον ἔμπροσθεν εἶπον. Ἐν δὲ τῷ χρόνῳ τῷ προϊόντι καὶ χωρὶς ἐκείνων αὐτὸς παρακολουθήσεις καὶ γνώσῃ, πηλίκα πρόσθεν ἦν, ἃ ἡμάρτανες. Τηνικαῦτα μάλιστ' ἐγώ σοι φανοῦμαι λέγων τἀληθῆ, μηδένα φάσκων ἔξω παθῶν ἢ ἁμαρτημάτων εἶναι, μήτ' ἂν εὐφυέστατος ᾖ, μήτ' ἂν ἐν ἔθεσι*

4. *μήτε πλ. — μήτ'* * *μηδὲ — μηδὲ* LO ‖ 5. *αἰδοῦς μετέχειν πολιτικῆς** *αἰδοὺς ἔχοντα πολιτικοὺς* L ‖ 8. *διασπᾶν τε πρὸς αὐτὸν* L ‖ 9. *ἐθελήσῃ* L Ak Cob Pr. XXXVI *ἐθέλῃ σοι* O ‖ 11. *δεήσει ταῦτα* L *αὐτὰ δεήσει* Cob ‖ 16. *ἔχε πάντας** ‖ 18. *ἀξιῶ* L ‖ 21. *τῷ χρ. τῷ προϊόντι** *καὶ χωρὶς ἐκείνων* L ‖ 22. *γνώσῃ** *γνώσει* Cob *γνώσεις* LO *πηλίκα* L ‖ 23. *τηνικαῦτα** *ἡνίκα* LO ‖ 25. *μήτ' ἂν — μήτ' ἂν** *μηδ' — μηδ'* O *ἐν ἔθεσι καλλίστοις τεθραμμένος** Pr. XXXVI *ἐν ἔθνεσι καλῶς τοῖς τεθρ.* L

καλλίστοις τεθραμμένος, ἀλλὰ πάντως τινὰ σφάλλεσθαι, καὶ μᾶλλον, ὅταν ἔτι νέος ᾖ.

Cap. IV. *Δεῖται γὰρ ἀσκήσεως ἕκαστος ἡμῶν σχεδὸν δι' ὅλου τοῦ βίου πρὸς τὸ γενέσθαι τέλειος ἀνήρ. οὐ μὴν ἀφίστασθαι χρὴ τοῦ βελτίω ποιεῖν ἑαυτόν, εἰ καὶ πεντηκοντούτης τις ὢν αἴσθοιτο τὴν ψυχὴν λελωβημένος οὐκ ἀνίατον οὐδ' ἀνεπανόρθωτον λώβην. οὐδὲ γὰρ εἰ τὸ σῶμα κακῶς διέκειτο πεντηκοντούτης ὤν, ἔκδοτον ἂν ἔδωκε τῇ καχεξίᾳ, ἀλλὰ πάντως ἂν ἐπειράθη βέλτιον αὐτὸ κατασκευά|σαι, καίτοι τὴν Ἡράκλειον* 15 *εὐεξίαν οὐ δυνάμενος σχεῖν. μὴ τοίνυν μηδ' ἡμεῖς ἀφιστώμεθα τοῦ βελτίονα τὴν ψυχὴν ἐργάζεσθαι. κἂν τὴν τοῦ σοφοῦ μὴ δυνώμεθα σχεῖν, ἀλλὰ μάλιστα μὲν ἐλπίζωμεν ἕξειν κἀκείνην, ἂν ἐκ μειρακίου προνοώμεθα τῆς ψυχῆς ἡμῶν, εἰ δὲ μή, ἀλλὰ τοῦ γε μὴ πάναισχροι ταύτην γενέσθαι, καθάπερ ὁ Θερσίτης τὸ σῶμα, φροντίζωμεν. Εἴ τ' οὖν ἐφ' ἡμῖν ἦν μήπω γενομένοις ἐντυχεῖν τῷ προνοουμένῳ τῆς γενέσεως ἡμῶν, ἐδεόμεθ' ἂν λαβεῖν σῶμα γενναιότατον. ὃ δ' εἰ ἠρνήσατο, πάντως ἂν ἐφεξῆς ἐδεήθημεν αὐτοῦ δεύτερον γοῦν ἢ τρίτον ἢ τέταρτον αὐτὸ σχεῖν ἀπὸ τοῦ πρώτου κατ' εὐεξίαν. ἀγαπητὸν γοῦν ἦν, εἰ καὶ μὴ τὸ τοῦ Ἡρακλέους, ἀλλὰ τό γε τοῦ Ἀχιλλέως σχεῖν, ἢ εἰ μηδὲ τοῦτο, τό γε τοῦ Αἴαντος ἢ Διομήδους ἢ Ἀγαμέμνονος ἢ Πατρόκλου, εἰ δὲ μὴ τούτων, ἄλλων γέ τινων ἀγαθῶν τῶν ἡρώων. Οὕτως οὖν, εἰ καὶ μὴ τὴν τε-*

4. *δι' ὅλου* Cob ‖ 14. *ἕξειν** Pr. XLVII ‖ 16. *πάναισχροι ταύτην** *π*^{αν} *αίσχ*^{ης} *αὐτ*^{η} L ‖ 17. *εἴ τ' οὖν — ἦν μήπω γεν.** *ἤ τ' οὖν — ἢ γεν.* L ‖ 19. *ἐδεόμεθ' ἂν* Ak *δεόμεθα* AG *δεόμενα* L ‖ 20. *εἰ ἠρνήσατο** *πάντως ἂν* L *π. οὖν* O ‖ 22. *ἦν, εἰ καὶ μὴ** *ἢ καὶ μὴ* LO

λευταίαν εὐεξίαν τις οἷός τ᾽ ἐστὶ τῆς ψυχῆς ἔχειν,
16 δέξαιτ᾽ ἄν, οἶμαι, δεύτερος ἢ τρίτος ἢ τέταρτος ‖ γενέσθαι μετὰ τὸν ἄκρον. Οὐκ ἀδύνατόν γε τοῦτο τῷ βουληθέντι κατεργάσασθαι χρόνῳ πλείονι συνεχῶς τῆς ἀσκήσεως γενομένης. Ἔγωγε μειράκιον ὢν ἔτι ταῦτ᾽ ἀκούσας, ἐπεὶ εἶδον ἄνθρωπον ἀνοῖξαι θύραν σπεύδοντα, μὴ προχωρούσης δ᾽ εἰς τὸ δέον αὐτῷ τῆς πράξεως, δάκνοντα τὴν κλεῖν καὶ λακτίζοντα τὴν θύραν καὶ λοιδορούμενον τοῖς θεοῖς, ἠγριωμένον τε τοὺς ὀφθαλμοὺς ὥσπερ οἱ μαινόμενοι καὶ μικροῦ δεῖν αὐτὸν ἀφρὸν ὡς οἱ κάπροι προϊέμενον ἐκ τοῖ στόματος, ἐμίσησα τὸν θυμὸν οὕτως, ὥστε μηκέτ᾽ ὀφθῆναι δι᾽ αὐτὸν ἀσχημονοῦντά με. Ἀρκέσει δὲ καὶ τοῦτο τήν γε πρώτην, ὡς μήτε θεοῖς λοιδορεῖσθαί σε μήτε λακτίζειν μήτε δάκνειν τοὺς λίθους καὶ τὰ ξύλα, μήτ᾽ ἄγριον ἐμβλέπειν, ἀλλ᾽ ἐν σαυτῷ κατέχειν τε καὶ κρύπτειν τὴν ὀργήν. ἀόργητος μὲν γὰρ εὐθέως ἅμα τῷ βουληθῆναι γενέσθαι τις οὐ δύναται, κατασχεῖν δὲ τὸ τοῦ πάθους ἄσχημον δύναται. Τοῦτο δ᾽ ἂν πολλάκις ποιήσῃ, γνωριεῖ ποτε καὶ αὐτὸς ἑαυτὸν ἧττον νῦν ἢ πρόσθεν ὀργιζόμενον, ὡς μήτ᾽ ἐπὶ σμικροῖς μήτ᾽ ἐπὶ ‖
17 μεγάλοις θυμοῦσθαι [ἀλλ᾽ ἐπὶ μόνοις τοῖς μεγάλοις μιασμοῖς]. Οὕτω γὰρ ὑπάρχει ποθ᾽ ὕστερον, αὐτὸν μηδ᾽ ἐπὶ τοῖς μεγίστοις ὀργίζεσθαι μιασμοῖς, ἤν τις, ὅπερ ἐγὼ προστάξας ἑαυτῷ μειράκιον ὢν ἔτι διὰ παντὸς

2. *δεύτερος — τρίτος — τέταρτος** ‖ 3. *γε τοῦτο* γε τούτω* L ‖ 5. *ἔγωγε** ‖ 6. *ἐπεὶ εἶδον* C Ak Cob Pr. XXXVI *ἐπιδὼν* L ‖ 8. *κλεῖν* κλίνην* L ‖ 13. *ἀσχημονοῦντα* Cob *ἀδημονοῦντα* L O ‖ 15. Inter *ξύλα* et *μήτ᾽* eieci *καὶ** ‖ 20. *ποιήσῃ* ποιήσειεν* L O ‖ 23. *οὕτω γὰρ ὑπ. ποθ᾽ ὕστερον** Fleck. Ann. 123, 565; *οὕτως γὰρ ὑπ. ποθεῖν ὕστερον* L *μηδ᾽ ἐπὶ* καὶ ἐπὶ* O ‖ 24. *μεγίστοις* L *ἤν τις** ‖ 25. *προστ. ἑαυτῷ* Ak Pr. XLIV *αὐτὸ* L A B

ἐφύλαξα τοῦ βίου, φυλάξῃ· τὸ μηδέποτε τυπτῆσαι τῇ χειρί μου μηδένα τῶν οἰκετῶν, ὅπερ ἤσκηταί μου καὶ τῷ πατρί .... καὶ πολλοῖς ἐπετίμησε τῶν φίλων περιθλάσασι χεῖρας ἐν τῷ πατάξαι κατὰ τῶν ὀδόντων οἰκέτας, ἀξίους εἶναι λέγων ἐπὶ τῇ γενομένῃ φλεγμονῇ καὶ σπασθῆναι καὶ ἀποθανεῖν. [ὅπου γὰρ ἐξῆν αὐτοῖς καὶ νάρθηκι καὶ ἱμάντι μικρὸν ὕστερον ἐμφορῆσαι πληγάς, ὅσας ἠβούλοντο καὶ τῇ βουλῇ τὸ τοιοῦτον ἔργον ἐπιτελεῖν. Ἄλλοι δ' οὐ μόνον πύξ, ἀλλὰ καὶ λακτίζουσι καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττουσι καὶ γραφείῳ κεντοῦσιν, ὅταν τοῦτο τύχωσιν ἔχοντες.]

εἶδον δέ τινα καὶ καλάμῳ, δι' οὗ γράφομεν, ὑπ' ὀργῆς εἰς τὸν ὀφθαλμὸν πατάξαντα τὸν οἰκέτην. Ἀδριανὸς δ' αὐτοκράτωρ ὥς φασι, γραφείῳ πατάξας εἰς τὸν ὀφθαλμὸν ἕνα τῶν ὑπηρετῶν, ἐπειδὴ διὰ τὴν πληγὴν ταύτην ἔγνω γενόμενον ἑτερόφθαλμον, ἐκάλεσέ τε καὶ συνεχώρησεν ἀντὶ τοῦ πάθους αἰτεῖν ‖ παρ' 18 *αὐτοῦ δῶρον. ἐπεὶ δὲ διεσιώπησεν ὁ πεπονθὼς αὖθις ἠξίωσεν ὁ Ἀδριανὸς αἰτεῖν, ὅτι βούλοιτο. θαρροῦντα δὲ τόνδ' ἄλλων μὲν οὐδέν, ὀφθαλμὸν δ' αἰτῆσαι. τί γὰρ ἂν καὶ γένοιτο δῶρον ἀντάξιον ἀπωλείας ὀφθαλμοῦ; Βούλομαι δέ σε καὶ τῶν ἐμοί ποτε συμβάντων ἑνὸς ἀναμνῆσαι, καίτοι γ' ἤδη πολλάκις ὑπὲρ αὐτοῦ εἰρηκώς· ἀπονοστήσας γὰρ ἐκ Ῥώμης συνῳδοιπόρησά*

4. *χεῖρας** *εὖρὸν* L — *περιθλάσασι νεῦρον* Cob. Mnem. III, 234 et VIII, 238 ‖ 6. *ὅπου γὰρ* LAB ‖ 7. *ἐμφορῆσαι* GAkCob *ἐφορῆσαι* LB ‖ 8. *καὶ* ante *τῇ βουλῇ* add. a ChK *τὸ τοιοῦτον* K *τὸ τούτων* L ‖ 14. *πατάξας* LBAkG *ἐπάταξεν* ChK ‖ 15. *ἐπειδὴ** ‖ 18. *δῶρον* L ‖ 19. *θαρροῦντα δὲ τόνδ'** *τὸν δὲ θαρροῦντα ἄλλο μὲν οὐδὲν* Cob (cf. Muel. *περὶ ἐθῶν* p. 7, 6 '*ἑτέροις ἔδωκα πάνυ θαρρῶν*') *ἀρνοῦντα τῶνδ' ἄλλων* LG ‖ 22. *συμβάντων** ‖ 24. *ἀπονοστήσας γὰρ** *ἀπονοστήσαντι* O *ἀπονοστήσασιν* L¹ *ἅπερ νοήσασιν* L² *συνῳδοιπόρησα** — *πορῆσαι* LO

τινι φίλῳ τῶν ἐκ Γόρτυνος τῆς Κρήτης ἀνδρί, τὰ μὲν ἄλλα λόγου τινὸς ἀξίῳ — καὶ γὰρ ἁπλοῦς ἦν καὶ φιλικὸς καὶ χρηστὸς ἐλευθέριός τε περὶ τὰς ἐφ' ἡμέρας δαπάνας — ἦν δ' ὀργίλος οὕτως, ὡς ταῖς ἑαυτοῦ χερσὶ χρῆσθαι κατὰ τῶν οἰκετῶν, ἔστι δ' ὅτε καὶ τοῖς σκέλεσι, πολὺ δὲ μᾶλλον ἱμάντι καὶ ξύλῳ τῷ παρατυχόντι. Γενομένοις οὖν ἡμῖν ἐν Κορίνθῳ πάντα μὲν ἔδοξε τὰ σκεύη καὶ τοὺς οἰκέτας ἀπὸ Κεγχρεῶν εἰς Ἀθήνας ἐκπέμψαι κατα πλοῦν, αὐτοὺς δ' ὄχημα μισθωσαμένους πεζῇ διὰ Μεγάρων πορεύεσθαι. καὶ δὴ διελθόντων ἡμῶν Ἐλευσῖνα καὶ κατὰ τὸ Θριάσιον ὄντων,
19 *ἤρετο τοὺς ἑπομένους οἰκέτας ‖ αὐτοῦ περί τινος σκεύους. οἱ δ' οὐκ εἶχον ἀποκρίνασθαι. Θυμωθεὶς οὖν, ἐπεὶ μηδὲν ἄλλ' εἶχε, δι' οὗ πατάξειε τοὺς νεανίσκους, τὴν ἐν θήκῃ περιεχομένην μάχαιραν μεγάλην ἀνελόμενος, ἅμα τῇ θήκῃ καταφέρει τῆς κεφαλῆς ἀμφοτέρων, οὐ πλατεῖαν ἐπενεγκών — οὐδὲν γὰρ ἂν οὕτως εἴργαστο δεινόν — ἀλλὰ κατὰ τὸ τέμνον τοῦ ξίφους. ἡ τ' οὖν θήκη διετμήθη παραχρῆμα καὶ τραῦμα μέγιστον ἐπὶ τῆς κεφαλῆς διττὸν ἀμφοτέροις εἰργάσατο, δὶς γὰρ ἑκάτερον αὐτὸς ἐπάταξεν. ὡς δὲ [πλεῖστον] ἄμετρον αἷμα χεόμενον ἐθεάσατο, καταλιπὼν ἡμᾶς εἰς Ἀθήνας ἀπῄει βαδίζων ὠκέως ἕνεκα τοῦ μὴ διαφθαρῆναί τινα τῶν οἰκετῶν ἔτι παρόντος αὐτοῦ. Ἐκείνους μὲν οὖν ἡμεῖς ἐσώσαμεν εἰς τὰς Ἀθήνας. ὁ δὲ*

1. *Γόρτυνος** *Γορτύνως* L ‖ 2. *ἁπλοῦς ὢν* LAB Supra *φιλικός* a m² add. in L: *κοινωνικός* ‖ 8. *ἔδοξε* Hultsch Fleck. Ann. 101, p. 744 *ἐδόκει* Cob *ἔδω* LA ‖ 9. *αὐτοὺς — μισθωσαμένους* Hultsch *αὐτοῦ* (m² pro *αὐτὸς*) *ἐκτὸς δὲ ἐν* L Pr. LVIII ‖ 14. *μηδὲν ἄλλο* L ‖ 15. *τὴν ἐν* μεγάλην* L ‖ 16. *τῆς κεφαλῆς ἀμφοτ.* L Cob ‖ 17. *πλατεῖαν* Ak Cob *πλάτεις* LAB *ἂν οὕτως* K ‖ 23. *ἀπῄει βαδ.* L² = Gal. II, 35 '*ἀπῄει ἀναπηδήσας*'; *ἀπῆρε* L¹O *ὠκέως* L

φίλος ὁ Κρὴς ἑαυτοῦ καταγνοὺς [ἐν Μεγάροις] εἰσάγει με λαβόμενος τῆς χειρὸς εἰς οἶκόν τινα, καὶ προσδοὺς ἱμάντα καὶ ἀποδυσάμενος ἐκέλευσε μαστιγοῦν αὑτὸν ἐφ' οἷς ἔπραξεν ὑπὸ τοῦ καταράτου θυμοῦ βιασθείς· αὐτὸς γὰρ οὕτως ὠνόμασεν. ἐμοῦ δ' ὡς εἰκὸς γελῶντος, ἐδεῖτο προσπίπτων τοῖς γόνασι, μὴ ἄλλως ποιεῖν. εὔδηλον οὖν, ὅτι μᾶλλον ἐποίει με γελᾶν, ‖ ὅσῳ μᾶλ- 20 λον ἐνέκειτό μοι μαστιγωθῆναι δεόμενος. Ἐπειδὴ δὲ ταῦτα ποιούντων ἡμῶν ἱκανὸς ἐτρίβετο χρόνος, ὑπεσχόμην αὐτῷ δώσειν πληγάς, ἥν μοι παράσχῃ καὶ αὐτὸς ἕν, ὃ ἂν αἰτήσω, σμικρὸν πάνυ. ὡς δ' ὑπέσχετο, παρεκάλουν ὑποσχεῖν μοι τὰ ὦτα λόγον τινὰ διερχομένῳ, καὶ τοῦτ' ἔφην εἶναι τὸ αἴτημα. Τοῦ δ' ὑποσχομένου πράξειν οὕτως, πλέον αὐτῷ διελέχθην ὑποτιθέμενος, ὅπως χρὴ παιδαγωγῆσαι τὸ ἐν ἡμῖν θυμοειδὲς τῷ λόγῳ δῆλον ὅτι, καὶ οὐ διὰ μαστίγων [ἀλλ' ἑτέρῳ τρόπῳ παιδαγωγῆσαι διῆλθον]. Ἐκεῖνος μὲν οὖν ἐνιαυτῷ προνοησάμενος ἑαυτοῦ πολὺ βελτίων ἐγένετο. σὺ δ', εἰ καὶ μὴ πολὺ γένοιο βελτίων, ἀρκεσθήσῃ γε καὶ μικρῷ τινι κατὰ τὸν πρῶτον ἐνιαυτὸν ἐπιδοῦναι πρὸς τὸ κρεῖττον. ἐὰν γὰρ διαμείνῃς τῷ πάθει ἀντέχων καὶ πραΰνων τὸν θυμόν, ἀξιολογώτερον ἐπιδώσεις κατὰ τὸ δεύτερον ἔτος. εἶτ' ἐὰν ἔτι διαμείνῃς ἑαυτοῦ προνοούμενος καὶ μᾶλλον ἐν τῷ τρίτῳ καὶ μετ' αὐτὸν ἐν τῷ τετάρτῳ ‖ καὶ πέμπτῳ καὶ τοῖς ἑξῆς αἰσθήσῃ μεγάλης αὐξήσεως 21

1. [ἐν Μεγάροις]* Μεγα^λ' L Μεγάρας O 'Quid in ea scriptura delitescat, exputare non potui' Cob ‖ 8. ἐνέκειτό μοι* Observ. crit. p. 36 et Pr. XXXVI ἐνέκειτο μαστιγ. Cob. Mnem. III, 213 et VIII, 240 δεόμενος Cod. Lond. ap. G Cob ‖ 10. ἥν μοι* εἴ μοί τι παράσχοι Cob εἰ μή τοι L ‖ 14. πράξειν L ‖ 17. ἐνιαυτῷ L Pr. XXXVI ἐν ἑαυτῷ O ‖ 21. διαμείνῃς* = v. 23 ‖ 23. ἑαυτοῦ L σαυτῷ O ‖ 25. καὶ τοῖς ἑξῆς L

εἰς βίου σεμνότητα. αἰσχρὸν γάρ, ἵνα μέν τις ἰατρὸς ἀγαθὸς ἢ ῥήτωρ ἢ γραμματικὸς ἢ γεωμέτρης γένηται, πολλοῖς ἔτεσιν ἐφεξῆς κάμνειν, ὡς δ' ἄνθρωπος ἀγαθός, μηδέποθ' ἑλέσθαι τῷ μήκει τοῦ χρόνου κάμνειν.

Cap. V. *Τίς οὖν ἐστιν ἡ τῆς ἀσκήσεως ἀρχή; Πάλιν ἀναλάβωμεν — ὑπὲρ γὰρ τῶν ἀναγκαιοτάτων οὐδὲν χεῖρόν ἐστι καὶ δὶς καὶ τρὶς λέγειν ταὐτά — τὸ μηδέποτε μηδένα τῶν οἰκετῶν ἁμαρτάνοντα διὰ τῶν ἑαυτοῦ χειρῶν νουθετεῖν· ἀλλ' ὥσπερ ἐγώ ποτε πυθόμενος, αἱρεῖσθαι Πλάτωνα πρός τινα τῶν ὑπηρετῶν ἁμαρτόντα, διὰ παντὸς οὕτως ἔπραξα, καλὸν ἡγησάμενος εἶναι τὸ ἔργον, οὕτω καὶ σὺ παράγγειλον ἑαυτῷ, μήτ' αὐτὸς διὰ τῶν αὑτοῦ χειρῶν οἰκέτην πλῆξαι μήτ' ἄλλῳ προστάξαι, παρ' ὃν ἂν ὀργισθῇς χρόνον, ἀλλ' εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι. [καταστάντος γάρ τοι τοῦ θυμοῦ σωφρονέστερον ἐπισκέψῃ, πόσας χρὴ πληγὰς ἐντεῖναι τῷ τῆς κολάσεως ἀξίῳ. ἢ μηδὲ τὴν ἀρχὴν ἄμεινόν* 22 *ἐστι ‖ σὺν γνώμῃ πράξειν οὕτως αἰτήσαντα ἱμάντα καὶ σωφρονίσαντα λόγῳ καὶ ἀπειλήσαντα μηκέτι τὸ λοιπὸν συγχωρήσειν, ἐὰν ὁμοίως ἁμάρτῃ;] πολλῷ γὰρ ἄμεινόν ἐστι μηκέτι ζέοντος τοῦ θυμοῦ πράττειν, ἃ πράττεις, ἔξω τῆς ἀλογίστου μανίας γενόμενον [ὁπότε καὶ τῷ λογισμῷ το πυκτεῦον εὑρήσεις]. Ὅτι γὰρ ὁ θυμὸς οὐδὲν ἀποδεῖ μανίας, ἐξ αὐτῶν ὧν ποιοῦσιν οἱ θυμούμενοι μαθεῖν ἔστι. παίοντες γὰρ καὶ λακτίζοντες καὶ κατασχίζοντες ἱμάτια καὶ θορυβῶδες ἐμβλέποντες ἕκαστα πράττουσιν,*

1. *εἰς β. σεμνότητα* L ‖ 2. *ἀγαθὸς* L *ἢ ῥήτωρ ἢ γρ.* L ‖ 12. *ἑαυτῷ* L Pr. XLIV ‖ 13. *τῶν αὑτοῦ χ.** ibid. ‖ 15. *εἰς ὑστεραίαν* Cob Pr. XXIX *ὑστέραν* O *ἀναβαλέσθαι** Cob *ἀναβαλλέσθαι* L *ἀνακαλέσασθαι* O ‖ *καταστάντος γάρ τοι τοῦ θυμοῦ* L *μετὰ γὰρ τὸν θυμὸν* O ‖ 18. *σὺν γνώμῃ** *συγγνώμῃ* O ‖ 19. *συγχωρήσειν* L ‖ 23. *τὸ ποιητέον* Cob ‖ 24. *ὧν ποιοῦσι* L (om: *ἤδη*)

ἄχρι τοῦ, καθάπερ ἔφην, καὶ θύραις καὶ λίθοις καὶ κλεισὶν ὀργίζεσθαι καὶ τὰ μὲν καταρράττειν, τὰ δὲ δάκνειν, τὰ δὲ λακτίζειν. Ἀλλ' ἴσως φήσεις ταῦτα τῶν ὄντως μαινομένων εἶναι, τὰ δ' ὑπὸ σοῦ γιγνόμενα σωφρονούντων· ἐγὼ δ' ὅτι μὲν ἔλαττον ἁμαρτάνουσι τῶν τοὺς λίθους καὶ τὰς θύρας καὶ τὰς κλεῖς δακνόντων τε καὶ λακτιζόντων οἱ τοὺς οἰκέτας ταῖς ἑαυτῶν παίοντες χερσὶν ὁμολογῶ, πέπεισμαι δὲ καὶ τὸ πρὸς ἄνθρωπον ὠμόν τι ποιεῖν ἢ μικρᾶς μανίας ἔργον ὑπάρχειν ἢ ζῴου τινὸς ἀλόγου τε καὶ ἀγρίου· οὐ γὰρ || 23 *μόνος ὁ ἄνθρωπος ἐξαίρετον ἔχει παρὰ τἆλλα τὸ λογίζεσθαι; τοῦτο δ' ἐὰν ἀπορρίψας τῷ θυμῷ χαρίζεσθαι θέλῃς, ζῴου μέν, οὐκ ἀνθρώπου βίος. Μὴ τοίνυν νομίζῃς φρόνιμον ἄνθρωπον ὑπάρχειν, ὃς ἂν αὐτὸ τοῦτο μόνον ἐκφύγῃ λακτίζειν καὶ δάκνειν καὶ κεντεῖν τοὺς πέλας. ὁ γὰρ τοιοῦτος οὐκέτι μέν ἐστι θηρίον, οὐ μὴν ἤδη γε φρόνιμος ἄνθρωπος, ἀλλ' ἐν τῷ μεταξὺ τούτων τε καὶ θηρίων. [ἆρ' οὖν ἀρκεῖ σοι μηκέτ' εἶναι θηρίῳ, τοῦ ἄνθρωπος γενέσθαι καλὸς κἀγαθὸς οὐ πεφροντικότι, ἢ βέλτιόν ἐστιν, ὥσπερ οὐκέτι θηρίον, οὕτω μηδ' ἄφρονά σε μηδ' ἀλόγιστον ἔτι διαμένειν;] ἔσῃ δὲ τοιοῦτος, ἐὰν μηδέποτε θυμῷ δουλεύων, ἀλλ' ἀεὶ διαλογιζόμενος ἅπαντα πράττῃς, ἅ σοι χωρὶς τοῦ πάθους σκεπτομένῳ φαίνεται κράτιστα. Πῶς οὖν ἔσται τοῦτο; τιμήσαντός σου τι-*

3. *φήσεις* C Ak G *φήσουσι* L O || 9. *ὠμόν τι* Sauppe *ἅμα τι* L O || 11. *μόνος ὁ* ἐξαίρετον* Sauppe *παρὰ τἆλλα τὸ λογ.* Sauppe *ἄρα τὰ ἄλλα τὸ λογ.* L Pr. XXXIV || 12. *τοῦτο δ' ἐὰν ἀπορρίψας τῷ θυμῷ χαρίζεσθαι θέλῃς** = V, 410, 3 *ταῦτ' ἐὰν ἀπορίψασθαι τῷ θυμῷ χαρίζεσθαι τῷ θυμῷ* L || 13. *ζῴου μὲν οὐκ* Ak || 18. *ἀρκεῖ σοι — εἶναι θηρίῳ* Sauppe *ἀσκήσοι — θηρίῳ* L || 19. *πεφροντικότι* Ak — *κότα* A B G *πεφρόντικας* L *βέλτιόν ἐστιν** || 22. *ἅπαντα πράττῃς, ἅ σοι* Ak *ἅπαντα πρ. ἃ πάντα σοι* L O

μὴν σεαυτὸν μεγίστην, ἧς οὐδ' ἐπινοῆσαι δυνατόν ἐστι μείζονα. Τὸ γὰρ ἁπάντων ἀνθρώπων ὀργιζομένων αὐτὸν ἀόργητον εἶναι, τί ἄλλ' ἐστὶν ἢ ἑαυτὸν ἐπιδεῖξαι
24 πάντων ἀνθρώπων βελτίονα; Σὺ δ' ἴσως νομίζεσθαι μὲν εἶναι βελτίων ἐθέλεις, εἶναι δ' ὄντως βελτίων οὐ βούλει, καθάπερ εἴ τις ἐπεθύμησε νομίζεσθαι μὲν ὑγιαίνειν τὸ σῶμα, νοσεῖν δὲ κατ' ἀλήθειαν. ἢ οὐχ ἡγεῖ, νόσημα ψυχῆς εἶναι τὸν θυμόν; ἢ μάτην ὑπὸ τῶν παλαιῶν ὀνομάζεσθαι νομίζεις πάθη ψυχῆς πέντε ταῦτα, λύπην ὀργὴν θυμὸν ἐπιθυμίαν φόβον; Ἀλλ' ἔμοιγε δοκεῖ βέλτιον εἶναι μακρῷ πρὸς τὸ ἐπὶ πολὺ ἔχειν ἄνευ τῶν εἰρημένων παθῶν, πρῶτον μὲν ἐξαναστάντα τῆς κοίτης ἐπισκοπεῖσθαι πρὸ πάντων τῶν καθ' ἡμέραν ἔργων, ἆρα βέλτιόν ἐστι πάθεσι δουλεύοντα ζῆν ἢ λογισμῷ χρῆσθαι πρὸς ἅπαντα; δεύτερον δ', ὅτι τῷ βουλομένῳ γίγνεσθαι καλῷ κἀγαθῷ παρακλητέον ἐστὶ τὸν δηλώσοντα τῶν ὑφ' ἑαυτοῦ πραττομένων οὐκ ὀρθῶς ἕκαστον· εἶθ' ἔτι καθ' ἑκάστην ἡμέραν τε καὶ ὥραν ἔχειν ⟨χρὴ⟩ ἐν προχείρῳ τὴν δόξαν ταύτην, ὡς ἄμεινον μέν ἐστιν ἑαυτὸν τιμῆσαι τῶν καλῶν κἀγαθῶν, τοῦτο δ' ἄνευ τοῦ σχεῖν τὸν δηλώσοντα τῶν ἁμαρτανομένων ἕκαστον ἀδύνατόν ἐστιν
25 ἡμῖν περιγενέσθαι, καὶ μέντοι καὶ σωτῆρα ἐκεῖνον ‖ καὶ φίλον μέγιστον ἡγεῖσθαι τὸν μηνύσαντα τῶν πλημμελουμένων ἕκαστα· εἶθ' ὅτι, κἂν ψευδῶς σοι φαίνηταί

3. ἐπιδεῖξαι* ‖ 4. σὺ δ' L ‖ 5. βελτίων ἐθέλεις* De verbis omissis: τί ἄλλο ἐστὶν ἢ ἑαυτὸν ἀποδεῖξαι νομίζεσθαι, quae in editt. et codd. leguntur, vide Pr. XXXV ὄντως LG βελτίων οὐ βούλει* βελτίω οὐ βούλει L ‖ 7. νοσεῖν L Cob ‖ 8. ἡγεῖ* ‖ 9. πάθη ψυχ. L ‖ 11. πρὸς τὸ — ἔχειν* Pr. XLI ‖ 13. πρὸ π. L G Ak ‖ 14. καθ' ἡμέραν* κατὰ μέρος LO ‖ 16. ὅτι τῷ L καλῷ κἀγαθῷ* ‖ 18. εἶθ' ὅτι L ‖ 19. ἔχειν ⟨χρὴ⟩* Pr. XXXI ‖ 20. τιμῆσαι τῶν καλῶν Sauppe ‖ 23. τὸν ante σωτῆρα del.* ‖ 25. ψευδῶς σοι*

ποτ' ἐγκαλέσας, ἀόργητον προσήκει φαίνεσθαι, πρῶτον μὲν ὅτι δυνατόν ἐστιν, ἐκεῖνον σοῦ βέλτιον ὁρᾶν ἕκαστον ὧν ἁμαρτάνων τυγχάνεις, ὥσπερ καὶ σὲ ὧν ἐκεῖνος . . . . Κἂν ἐπηρεάσῃ ποτὲ ψευδῶς, ἀλλ' οὖν ἐπήγειρέ σε πρὸς ἀκριβεστέραν ἐπίσκεψιν ὧν πράττεις. ὃ δ' ἐστὶ μέγιστον ἐν τούτῳ, ἀεὶ φύλαττε προῃρημένος γε τιμᾶν σεαυτόν. ἔστι δὲ τοῦτο διὰ μνήμης ἔχειν πρόχειρα τό τε τῶν ὀργιζομένων τῆς ψυχῆς αἶσχος τό τε τῶν ἀοργήτων κάλλος. ὥσπερ γὰρ ὁ ἁμαρτάνειν ἐθισθεὶς χρόνῳ πολλῷ δυσεξάλειπτον ἔσχε τὴν κηλῖδα τῶν παθῶν, οὕτω καὶ τῶν δογμάτων οἷς πειθόμενος ἀνὴρ γενήσῃ καλὸς κἀγαθός, ἐν πολλῷ χρόνῳ προσήκει μελετᾶν ἕκαστον. ἐπιλανθανόμεθα γὰρ αὐτοῦ ῥᾳδίως ἐκπίπτοντος τῆς ψυχῆς ἡμῶν, διὰ τὸ φθάσαι πεπληρῶσθαι τοῖς πάθεσιν αὐτήν. Τοιγαροῦν παρακολουθητέον ἐστίν, ἕκαστον τῶν σωθῆναι βουλομένων μηδεμίαν ὥραν ἀπορρᾳθυμεῖν, ἐπιτρεπτέον τε πᾶσι κατηγορεῖν ἡμῶν, ἀκουστέον || τε πρᾴως αὐτοὺς καὶ χάριν ἰστέον οὐ τοῖς 26 κολακεύουσιν, ἀλλὰ τοῖς ἐπιπλήττουσιν.

Εἰ γὰρ ἀνεῴχθη σου ἡ θύρα διὰ παντὸς τῆς οἰκήσεως, ἔξεστι τοῖς συνήθεσιν εἰσιέναι πάντα καιρόν, ἣν οὕτως ᾖς παρεσκευασμένος. Δεῖ οὖν θαρρεῖν, ὑπὶ τῶν εἰσιόντων εὑρίσκεσθαι μηδενὶ τῶν μεγάλων ἁμαρ-

3. ὥσπερ καὶ σὲ ὧν ἐκεῖνος . . . . .* ὥσπερ καὶ σὲ τῶν ἐκεινου τί δεύτερον ἐστὶ L Pr. LVII || 7. τιμᾶν σεαυτὸν L || 10. ὥσπερ γὰρ ὁ ἁμ. ἐθισθεὶς* ὃς γὰρ ἁμ. ἐθισθεὶς L || 11. δυσεξάλειπτον — τ. κηλῖδα* AkG δυσεκλήπτως τ. κλεῖδα LO || 16. παρακολουθητέον L || 17. ὡς ante μηδεμίαν eieci* || 19. χ. ἰστέον Sauppe Pr. XXXI ἐπιπλήττουσιν ἔχειν O ἔχειν abest a L || 21. εἰ γὰρ ἀνεῴχθη* ἀνεῴχθω Cob || 23. δεῖ οὖν θαρρεῖν* ὡς θαρρεῖν L

τημάτων ἰσχυρῶς κατειλημμένον. ἔστι δ' ὥσπερ τὰ μικρὰ τῷ ἄκοντι ἐκκόψαι δύσκολον, οὕτω τὰ μεγάλα τῷ βουληθέντι ῥᾷστον. τῆς θύρας οὖν ἀνεῳγμένης σου διὰ παντός, ὡς εἶπον, ἐξουσία τοῖς συνήθεσιν ἔστω πάντα καιρὸν εἰσιέναι. Ὡς δ' οἱ ἄλλοι πάντες ἄνθρωποι προελθόντες εἰς τὸ δημόσιον ἅπαντα πειρῶνται πράττειν κόσμια, οὕτω σὺ κατὰ τὴν ἰδίαν οἰκίαν πράττης. Ἀλλ' ἐκεῖνοι μὲν αἰδούμενοι τοὺς ἄλλους ἁμαρτόντες τι φωραθῆναι, μόνους ἑαυτοὺς οὐκ αἰδοῦνται· σὺ δὲ σαυτὸν αἰδοῦ μάλιστα πειθόμενος τῷ φάντι·

'Πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.'

Οὕτω γὰρ πράττων δυνήσῃ ποτὲ τὴν τοῦ θυμοειδοῦς 27 *ἐν σοὶ δύναμιν ἄλογον, ὥσπερ τι θηρίον ἡμε||ρῶσαί τε καὶ πραῦναι· ἢ οὐ δεινὸν ἂν εἴη, τοὺς μὲν ἱππικοὺς ἄνδρας ἀχρείους τοὺς ἵππους παραλαβόντας ἐν ὀλίγῳ χρόνῳ χειροήθεις ἐργάζεσθαι, σὲ δ' οὐκ ἔξωθέν τι λαβόντα ζῷον, ἀλλ' ἐν τῇ σαυτοῦ ψυχῇ δύναμιν ἄλογον, ᾗ διὰ παντὸς ὁ λογισμὸς συνοικεῖ, μὴ δυνηθῆναι πραῦναι αὐτήν, εἰ καὶ μὴ ταχέως, ἀλλ' ἐν μακροτέρῳ χρόνῳ;*

Cap. VI. *Λέλεκται δ' ἐπὶ πλέον ἐν τοῖς περὶ ἠθῶν ὑπομνήμασιν, ὅπως ἀρίστην τις αὐτὴν ἐργάσαιτο, καὶ ὡς τὴν μὲν ἰσχὺν οὐ χρὴ καταβαλεῖν αὐτῆς, ὥσπερ οὐδὲ τῶν ἵππων τε καὶ κυνῶν, οἷς χρώμεθα, τὴν δ' εὐπείθειαν, ὡς ἐπ' ἐκείνων, οὕτω κἀπ' αὐτῆς ἀσκεῖν. ἐπιδέδεικται δέ σοι δι' ἐκείνων τῶν ὑπομνημάτων οὐχ*

1. *τὰ μικρά** *τὸ πᾶν* LO ‖ 5. Ante *πάντα καιρὸν* extrusit Sauppe *κατά*; *πάντες ἄνθρωποι** Pr. XXXIII *πάντες ἂν οἱ* L ‖ 7. *πράττῃς** ‖ 11. *αἰσχυναιο* LAB ‖ 14. *οὐ δεινὸν** ‖ 17. *τῇ σαυτοῦ ψ.* L ‖ 19. *αὐτὴν* K *τὴν αὐτὴν* LO ‖ 21. *π. ἠθῶν* LO Gal. XIX, 45; 'in libro nostro de consuetudinibus' D ‖ 24. *ὡς ἐπ' ἐκείνων οὕτω κἀπ' αὐτῆς** *ὡς ἐκείνην οὕτω κἀπ' αὐ̓ ἀσκεῖν* L Fleck. Ann. 123, 566

ἥκιστα καὶ ὅπως αὐτῇ πάλιν τῇ τοῦ θυμοειδοῦς δυνάμει συμμάχῳ χρήσῃ κατὰ τῆς ἑτέρας, ἣν ἐπιθυμητικὴν ἐκάλουν οἱ παλαιοὶ φιλόσοφοι, φερομένης ἀλογίστως ἐπὶ τὰς διὰ τοῦ σώματος ἡδονάς. Ὥσπερ οὖν αἰσχρὸν θέαμα διὰ θυμὸν ἄνθρωπος ἀσχημονῶν, οὕτω καὶ δι' ἔρωτα καὶ γαστριμαργίαν, οἰνοφλυγίαν τε καὶ λιχνείαν, ἃ τῆς ἐπιθυμητικῆς ἐστι δυ|νάμεως ἔργα τε καὶ πάθη, 28 προσεοικυίας οὐχ ἵππῳ καὶ κυνί, καθάπερ εἴκασα τὴν πρώτην, ἀλλ' ὑβριστῇ κάπρῳ καὶ τράγῳ, καί τινι τῶν ἀγρίων ἡμερωθῆναι μὴ δυναμένων. Διὸ ταύτης μὲν οὐδεμία παίδευσις τοιαύτη ἐστὶν οἵα τῆς ἑτέρας ἡ εὐπείθεια, ὃ δ' ἐκάλουν οἱ παλαιοὶ κολάζειν ἀναλογίαν τιν' ἔχει πρὸς τήνδε. Γίγνεται δ' ἡ κόλασις τῆς δυνάμεως ταύτης ἐν τῷ μὴ παρέχειν αὐτῇ τὴν τῶν ἐπιθυμουμένων ἀπόλαυσιν· ἰσχυρὰ μὲν γὰρ οὕτω καὶ μεγάλη γίγνεται, ἐν τῷ κολασθῆναι δὲ μικρά τε καὶ ἀσθενής, ὡς ἕπεσθαι τῷ λογισμῷ δι' ἀσθένειαν, οὐ δι' εὐπείθειαν. Οὕτως γοῦν καὶ αὐτῶν τῶν ἀνθρώπων ὁρῶμεν ἑπομένους τοῖς βελτίοσι τοὺς χείρους, ἢ ἄκοντας βιαζομένους ὥσπερ τὰ παιδία καὶ τοὺς οἰκέτας, ἢ πεισθέντας ἑκόντας ὥσπερ τοὺς ἀγαθοὺς φύσει. Καὶ τοίνυν καὶ περὶ τῶν μὴ κολασθέντων αὐτὸ δὴ ῥῆμα τοῦτο τοῖς πάλαι σύνηθές ἐστιν, ὡς ἀκόλαστος ὅδε τις ἄνθρωπός ἐστιν, ἐφ' οὗ δῆλον ὅτι τὴν ἐπιθυμητικὴν δύναμιν οὐκ ἐκόλασεν ἡ λογιστική. Δύο γὰρ ἔχομεν

8. *προσεοικυίας** Fleck. Ann. 123, 566 *προσέοικας* L 'nec comparabo vim istam sicut primam' D *προσεοικότα* ABG *προσεοικώς* ChK ‖ 11. *ἡ εὐπείθ.* ChK *ἢ εὐπ.* LO ‖ 12. *ἀναλογίαν* GAkCob *ἀλογίαν* LO ‖ 13. *ἔχει* GAk *ἔχειν* LABK ‖ 14. *αὐτῇ τὴν τῶν** *αὐτὴν τῶν ἐπιθυμ.* L Cob ‖ 17. *οὐ δι'* Ak *οὐκ εὐπείθ.* LO ‖ 21. *καὶ τ. καὶ περὶ τῶν μὴ κολασθέντων** *καὶ τοίνυν καὶ πρὸς ῥημάτων μὴ κολασθέντων* L ‖ 22. *αὐτὸ δὴ ῥῆμα** Pr. XLI *αὐτὸ δὴ τούτοις* L *τοῦτο τοῖς πάλαι** Pr. XXXVI

29 *ἐν τῇ ψυχῇ δυνάμεις ἀλόγους· μίαν μέν, ἧς ‖ τὸ θυμοῦσθαί τε παραχρῆμα καὶ ὀργίζεσθαι τοῖς δόξασι πλημμελεῖν εἰς ἡμᾶς ἔργον ἐστί. τῆς δ' αὐτῆς ταύτης καὶ τὸ μηνιᾶν ἄχρι πλείονος, ὃ τοσούτῳ πλέον ἐστὶ θυμοῦ πάθος, ὅσῳ καὶ χρονιώτερον. ἄλλη δ' ἐστὶν ἐν ἡμῖν δύναμις ἄλογος ἐπὶ τὸ φαινόμενον ἡδὺ προπετῶς φερομένη, πρὶν διασκέψασθαι, πότερον ὠφέλιμόν ἐστι καὶ καλόν, ἢ βλάβερόν τε καὶ κακόν. ταύτην οὖν ἐπέχειν πειρῶ τὴν σφοδροτάτην, πρὶν αὐξηθεῖσαν ἰσχὺν δυσνίκητον κτήσασθαι. Τηνικαῦτα γὰρ οὐδ' ἐὰν θελήσῃς ἔτι κατασχεῖν αὐτὴν δυνήσῃ, κἄπειτα φήσεις, ὥσπερ ἤκουσά τινος ἐρῶντος λέγοντος ἐθέλειν μὲν παύσασθαι, μὴ δύνασθαι δέ, παρακαλέσεις τε μάτην ἡμᾶς ὡσαύτως ἐκείνῳ τῷ δεομένῳ βοηθῆσαι καὶ τὸ πάθος ἐκκόψαι. καὶ γὰρ τῶν τοῦ σώματος παθῶν ἔνια διὰ μέγεθός ἐστιν ἀνίατα. Σὺ δ' ἴσως οὐδ' ἐπενόησάς ποτε τοῦτο. βέλτιον οὖν σοι καὶ νῦν ἐννοῆσαί τε καὶ διασκέψασθαι, πότερον ἀληθεύω λέγων, αὐξανομένην τὴν ἐπιθυμητικὴν δύναμιν εἰς ἀνίατον ἔρωτα πολλάκις ἐμβαλεῖν, οὐ σωμάτων μόνον ὡραίων,*
30 *οὐδ' ἀφροδισίων, ἀλλὰ καὶ λιχνείας ‖ καὶ γαστριμαργίας οἰνοφλυγίας τε καὶ τῆς παρὰ φύσιν αἰσχρουργίας, ἢ ψεύδομαι καὶ ταῦτα καὶ ἄλλα πολλὰ τῶν ἔμπροσθεν εἰρημένων.*

Ἃ γὰρ περὶ τοῦ θυμοῦ λέλεκται μέχρι δεῦρο, ταῦτα καὶ περὶ τῶν ἄλλων παθῶν ἡγοῦ λελέχθαι. πρῶτον μέν, ὡς ἑτέροις ἐστὶ τὴν διάγνωσιν αὐτῶν ἐπιτρε-

1. *τῇ ψυχῇ** *ταῖς ψυχαῖς* LO *τὸ θυμοῦσθαι** ‖ 9. *πειρῶ τὴν* L ‖ 12. *φήσεις* K *φῇ* L *φῇς* BChG *φὴς* AAk *ἐρῶντος λέγοντος** amantem audivi *dicere* Don Pr. XXXII ‖ 14. *βοηθῆσαι* Cob *βοηθήσεται* L ‖ 17. *καὶ νῦν** ‖ 27. *ἑτέροις** *ἕτερον* L

πτέον, οὐχ ἡμῖν αὐτοῖς· εἶθ' ὅτι μὴ τοὺς τυχόντας ἐπόπτας ἐπιστατέον, ἀλλὰ πρεσβύτας ὁμολογουμένους μὲν εἶναι καλοὺς κἀγαθούς, ἐξητασμένους δὲ καὶ πρὸς ἡμῶν αὐτῶν ἐπὶ πλέον ἕνεκα τοῦ ἔξω παθῶν εἶναι. εἶθ' ὅτι φαίνεσθαι χρὴ τοῖς τοιούτοις, ὅταν εἴπωσί τι τῶν ἡμετέρων ἁμαρτημάτων, οὐκ ἀγανακτοῦντας, ἀλλὰ χάριν εἰδότας. [τοῦτο καθ' ἑκάστην ἡμέραν αὐτὸν ⟨χρὴ⟩ ἀναμιμνήσκειν, ἄμεινον μὲν εἰ πολλάκις, εἰ δὲ μή, ἀλλὰ πάντως γε κατὰ τὴν ἕω, πρὶν ἄρχεσθαι τῶν πράξεων, εἰς ἑσπέραν δέ, πρὶν ἀναπαύσεσθαι μέλλειν.

Ἐγὼ δήποτε καὶ τὰς φερομένας ὡς Πυθαγόρου παραινέσεις ⟨ἐμαυτὸν⟩ εἴθισα δὶς τῆς ἡμέρας ἀναγιγνώσκειν μὲν τὰ πρῶτα, λέγειν δ' ἀπὸ στόματος ὕστερον.] Οὐ γὰρ ἀρκεῖ μόνον ἀοργησίαν ἄγειν, ἀλλὰ ‖ καὶ λιχνείας 31 καὶ λαγνείας, οἰνοφλυγίας τε καὶ περιεργίας καὶ φθόνου ⟨χρὴ⟩ καθαρεύειν. Ἕτερος οὖν ἡμᾶς ἐπιτηρείτω, μή τί που, καθάπερ οἱ κύνες, ἀπλήστως ὤφθημεν ἐμφορούμενοι σιτίων ἢ ὡς οἱ διακαιόμενοι πυρετῷ συνεχεῖ ψυχρὸν ἐπισπασόμενοι τὸ πόμα λαβρότερον ἢ ἀνδρὶ σεμνῷ πρέπει. Οὔτε γὰρ διὰ πεῖναν ἐμφορεῖσθαι προσήκει σφοδρῶς καὶ ἀπλήστως, οὔτε διὰ δίψος

1. *εἶθ' ὅτι μισθοῦ τυχόντας* L *ἐπόπτας ἐπιστατέον** Fleck. Ann. 123, 567 *τούτους ἐπιστατεῖν* L O ‖ 2. *ὁμολογουμένους* L ‖ 3. *ἐξητασμένους** Cob Pr. XXXVI *πρὸς ἡμῶν** Cob ‖ 4. Ante *ἕνεκα* eieci vv. spuria *ἐν ἐκείνοις τοῖς καιροῖς* (L O) Fleck. Ann. 123, 567 *ἕνεκα τοῦ** Cob. expungi iubet *ἕνεκα* tanquam dittographia ex *ἐν ἐκείνοις* ortum ‖ 5. *ὅτι φαίνεσθαι* L ‖ 6. *οὐκ ἀγανακτ.* L ‖ 7. *τοῦτο καθ' ἑκάστην ἡμέραν αὐτὸν ⟨χρὴ⟩ ἀναμιμνήσκειν** *εἶτα — αὐτὸν ἀνεμίμνησκεν* L Pr. XXXII ‖ 11. *ταύτας δὴ* ante *τὰς* delevi* ‖ 12. *ἐμαυτὸν εἴθισα** = p. 95 K *εἴθισμαι* Cob ‖ 16. ⟨*χρὴ*⟩* Pr. XXXII *ἐπιτηρείτω** Fleck. Ann. 123, 567 *ἐπεπείρωτο* LAB ‖ 19. *ἐπισπασόμενοι** vid. l. l. *ἐπεσπασόμεθα* L A ‖ 20. *ἢ ἀνδρὶ σεμνῷ** *ἢ ἀντρεῖον σεμνοπρεπῆ* L B

ὅλην τὴν κύλικα χανδὸν ἐκπίνειν, ἔτι δὲ μᾶλλον οὔτε διὰ λιχνείαν ἁπάντων τῶν παρόντων πλέον ἤτοι πλακοῦντος ἤ τινος ἄλλου τῶν λίχνων ὄψων ἀπολαύειν, ἀλλ' ἐν ἅπασιν αὐτοῖς ἀρχομένοις μὲν ἔτι παρακλητέον ἐστὶν ἑτέρους, ὅ τι ἂν ἁμάρτωμεν ἐπιτηρεῖν τε καὶ λέγειν ἡμῖν, ὕστερον δὲ καὶ χωρὶς παιδαγωγῶν ἡμᾶς αὐτοὺς ἐπιτηρῶμεν αὐτοὶ καὶ παραφυλάττωμεν, ὅπως ἁπάντων τε καὶ συνδειπνούντων ἔλαττον ὄψου προσενεγκώμεθα καὶ τῶν λίχνων ἐδεσμάτων ἀποσχώμεθα, σύμμετρα τῶν ὑγιεινῶν προσαράμενοι.

Τοῦ χρόνου δὲ προϊόντος οὐκέτ' οὐδὲ πρὸς τοὺς δειπνοῦντας ἀποβλέπειν ἀξιώσαιμ' ἄν σε· μέγα γὰρ οὐ-
32 *δὲν || ἐκείνων ἐσθίειν τε καὶ πίνειν ἐγκρατέστερον. εἰ δέ περ ὄντως ἑαυτὸν ἔγνωκας τιμᾶν, ἐπισκέπτου, πότερον μᾶλλον ἐγκρατῶς δεδιῄτησαι χθὲς ἢ τήμερον· ἐὰν γὰρ τοῦτο ποιῇς, αἰσθήσῃ καθ' ἑκάστην ἡμέραν εὐκολώτερον, ὧν εἶπον, ἀπεχόμενος, αἰσθήσῃ τε μεγάλα εὐφρανθησόμενος τὴν ψυχήν, ἐάν γε σωφροσύνης ὄντως ἐραστὴς ὑπάρχῃς. ὅτου γὰρ ἄν τις ἐρασθῇ, χαίρει προκόπτων ἐν αὐτῷ. καὶ διὰ τοῦτο τοὺς μὲν οἰνόφλυγας ἰδεῖν ἔστιν ἡδομένους, ὅταν πίνοντες ὑπερβάλωνται τοὺς συμπότας, ὅσοι δὲ γαστρίμαργοι, καὶ τούτους τῷ πλήθει τῶν ἐδεσμάτων εὐφραινομένους, ὅσοι δὲ λίχνοι, πλακοῦσι καὶ ταγήνοις καὶ λοπάσι*

1. *χανδὸν ἐκπίνειν* AkG *λαχανδὸν* LAB || 4.. *αὐτοῖς ἀρχομένοις** Pr. XLIV *ἀλκομένους* LABCh || 5. *ὅ τι ἂν** Pr. XXX || 14. *ὄντως* L *ἑαυτὸν** *αὐτὸν* LAB *πότερον μᾶλλον δεδιῄτησαι** Pr. XXIX *μᾶλλόν ποτε διῃτῆσθαι* LABChK || 19. *ὅτου* GAk *ἄν τις ἐρασθῇ** *οὕτως γ. ἄν τις ἐρασθεὶς* LA || 20. *τοὺς μὲν — ἡδομένους** *οἰνόφλυγας* Cob *τοῖς μὲν οἰνοφλυγίαις ἡδομένους* L || 21. *ἰδεῖν ἔστι* L *ὑπερβάλωνται* Cob *ὑπερβάλλοντες* L

καὶ κορυκείαις. ἐνίους δὲ μέγα φρονοῦντας ἔγνων κἀπὶ τῷ πλήθει τῶν ἀφροδισίων.

Ὡς οὖν ἐκεῖνοι τὴν ἀκρότητα τῶν σπουδαζομένων ἀσκοῦσί τε καὶ μεταδιώκουσιν, οὕτως καὶ ἡμᾶς χρὴ τῆς σωφροσύνης ἀκρότητα σπουδάζειν. Ἢν δὲ τοῦτο πράξωμεν, οὐ τοῖς ἀκολάστοις ἡμᾶς παραβαλοῦμεν, οὐδ' ἀρκέσει πλέον ἐκείνων ἔχειν ἐγκρατείας τε καὶ σωφροσύνης, ἀλλὰ πρῶτον μὲν τοὺς σπουδάζοντας ταὐτὰ φιλονεικήσομεν ‖ ὑπερβάλλεσθαι — καλλίστη γὰρ 33 *ἡ τοιαύτη φιλονεικία —, μετ' ἐκείνους δ' αὖθις ἡμᾶς αὐτούς [ὡς ἐξ ἔθους πολυχρονίου τούτοις ὑγιαινοτάτοις θ' ἅμα καὶ προσθεῖναι ῥᾴστοις ἡδέως ἅμα προσφέρεσθαι] μεμνημένους τῶν καλῶς εἰρημένων, ὧν ἓν καὶ τοῦτ' ἐστίν· ‘‘Ἑλοῦ βίον ἄριστον, ἡδὺν δ' αὐτὸν ἡ συνήθεια ποιήσει.’*

Ὥσπερ οὖν ὁπότ' ἔμπροσθεν τὸν θυμὸν κατασχεῖν ἠξίουν σε, γνώρισμα τῆς ὠφελείας εἶχες, ὁρᾶν σαυτὸν οὐκέτι θυμούμενον, ὡσαύτως ἐπὶ τῆς σωφροσύνης ἔστω σοι γνώρισμα μηδ' ἐπιθυμεῖν ἔτι τῶν ἡδίστων. Ὁδὸς δ' ἐπ' αὐτήν ἐστι διὰ τῆς ἐγκρατείας. τούτῳ γὰρ αὐτὸς πλεονεκτεῖ σώφρων ἐγκρατοῦς, τῷ μηδ' ἐπιθυμεῖν ἔτι λίχνων ἐδεσμάτων, ἢ διὰ τὸ πολυχρόνιον ἔθος ἢ δι' ἐγκράτειαν, καθάπερ καὶ αὐτὸ τοὔνομα αὐτῆς ἐνδείκνυται, ὅπερ ἐστὶν ἐκ τοῦ κρατεῖν καὶ νικᾶν τὰς ἐπιθυμίας γεγονός. Ἐπίπονος δ' ἐστὶ καὶ τραχεῖα

1. *κἀπὶ τῷ** ‖ 5. *τῆς σωφροσ.** *ἢν πράξωμεν** *εἰ πράξομεν* L O ‖ 6. *τοῖς ἀκολάστοις** *ἡμᾶς παραβαλοῦμεν* L ‖ 13. *ὧν ἓν** *ἓν* L *ὧν* O ‖ 14. *ἑλοῦ βίον** Plut. de exsil. 602 C et Gal. V, 47, 16 *ἐν λουβι* (ω') L ‖ 15. *ποιήσει** Cob. Meineke Stob. flor. I, 11 et II, 21 — *ποιήσεται* L O ‖ 16. *ἔμπροσθεν τὸν θυμὸν κατασχεῖν** *πρὸς τ. θ. ἀσκεῖν* L O ‖ 20. *τούτῳ γὰρ** *οὕτω γ.* L O ‖ 22. *ἔτι λίχνων* L ‖ 25. *γεγονός* quod libri post *ἐνδείκνυται* exhibent huc transposui* Pr. XLII

τόγε κατ' ἀρχάς, ὥσπερ καὶ αἱ ἄλλαι πᾶσαι τῶν καλῶν ἐπιτηδευμάτων ἀσκήσεις. Εἰ μὲν οὖν ἤτοι τὴν ἀρετὴν ἀντὶ τῆς κακίας ἔχειν ἐθέλεις ἢ τὴν γαλήνην τῆς
34 *ψυχῆς ἀντὶ* ‖ *τῶν τοῦ σώματος γαργαλισμῶν, ἀσκητέον ἐστί σοι τὸν εἰρημένον τρόπον ἐπὶ σωφροσύνην βαδίζοντι δι' ἐγκρατείας· εἰ δ' ἤτοι τὴν ἀρετὴν ἀτιμάζειν ἢ γαργαλίζεσθαι βούλει δι' ὅλου τοῦ σώματος, ἤδη καταλειπτέον τὸν λόγον τοῦτον. οὐ γάρ ἐστι προτρεπτικὸς ἐπ' ἀρετήν, ἀλλὰ τοῖς προτεθραμμένοις ὑφηγητικὸς τῆς ὁδοῦ, καθ' ἣν ἄν τις αὐτὴν κτήσαιτο. Διαιρουμένου δὲ τοῦ λόγου πρός τε τὸ διαγνωστικὸν ἕκαστον ἡμῶν ὑπάρχειν ἑαυτοῦ, καὶ πρὸς τὴν ἐπὶ τῇ διαγνώσει τῶν ἁμαρτημάτων ἐπανόρθωσιν, οὐ περὶ ταύτης πρόκειται λέγειν, ἀλλὰ περὶ τῆς διαγνώσεως τῶν ἰδίων ἁμαρτημάτων. Ἐπεὶ δὲ τοῖς ἀρχομένοις αὐτοῖς οὐ διαγνῶναι δυνατόν, ἑτέρους μὲν τοῖς ἀρχομένοις ἐπιστήσομεν ἐπόπτας, αὐτοὺς δὲ τοὺς ἀσκοῦντας, ὡς ἂν ἤδη δυναμένους γνῶναι, ποίων μὲν ἀπηλλάγησαν ἁμαρτημάτων καὶ παθῶν, ὁπόσον δ' αὐτοῖς ἐνδεῖ πρὸς τὸ τέλος. [ὅπερ εἴωθα λέγειν ἑκάστοτε καὶ νῦν ἐρῶ. καθ' ἕτερον μὲν τρόπον ἁπάντων ἐστὶ δυσκολώτατον ἑαυτὸν γνῶναι, καθ' ἕτερον δὲ ῥᾷστον. ἐὰν μὲρ γὰρ ἔντος θέλῃ τις αὐτὸς χαλεπώτατόν ἐστιν.]* ‖

35 Cap. VII. *Ἐγὼ μὲν οὖν ἅπαντα ταῦτ' εἰρημένα καὶ τὰ μέλλοντα λεχθήσεσθαι τοῖς βουληθεῖσιν ὑποτίθεμαι. τάχα μὲν οὖν οὔσης καὶ ἄλλης τινὸς ὁδοῦ πρὸς*

1. *καὶ — πᾶσαι* ex L addidi* ‖ 2. *ἤτοι τὴν* L ‖ 3. *ἐθέλοις* L *ἢ τὴν* L ‖ 6. *βαδίζοντι* βαδίζοντα* LO *ἀτιμάζειν** Gal. I, 87 *εἰ — ἀτιμάζειν τὸ φαινόμενον* Pr. XXXVII ‖ 8. *καταλειπτέον* GAk *ἤδη καταληπτέον* LO *λόγον τοῦτον* L ‖ 16. *αὐτοῖς* αὐτὴν* LO ‖ 19. *ὁπόσον* ὅπως* LABAkG ‖ 22. *ἔντος* (num forte *ὄντως**?) *θέλῃ τις τιμηθῆναι* L Pr. LXII

το καλὸν κἀγαθὸν γενέσθαι, μὴ γιγνώσκων δ' εὑρεῖν αὐτὴν ἐχρησάμην τε δι' ὅλου τοῦ βίου ταύτῃ, καὶ τοῖς ἄλλοις ἀφθόνως ἐδήλουν παρακαλῶν ἀντιδιδόναι τι καὶ ἀντιδιδάσκειν, εἴ τινες ἑτέραν ἄλλην αὐτοὶ γιγνώσκουσι καλοκἀγαθίας ὁδόν — ἄχρι περ ἂν ἐπιθυμῶμεν ἄλλης, ἐν τῇδε διατρίβωμεν, ἣ κοινὴ πάντων διαγνώσεώς τε καὶ θεραπείας. [καὶ γὰρ ἡ φιλονεικία καὶ ἡ φιλοδοξία καὶ ἡ φιλαρχία πάθη τῆς ψυχῆς εἰσι. τούτων ἔλαττον μὲν ⟨ἡ λύπη⟩, ἀλλ' ὅμως καὶ αὐτὴ πάθος. περὶ δὲ τοῦ φθόνου τί δεῖ καὶ λέγειν; αἴσχιστον τῶν κακῶν ἐστιν· ὀνομάζω δὲ φθόνον, ὅταν τις ἐπ' ἀλλοτρίοις ἀγαθοῖς λυπῆται. πάθος μέν ἐστι καὶ λύπη πᾶσα, χειρίστη δὲ ὁ φθόνος ἐστίν, εἴτε ἓν τῶν παθῶν εἴτε λύπης ἐστὶν εἶδος πλησιάζον αὐτῇ.] Κοινὴ δ' ἐφ' ἁπάντων ὁδὸς τῆς ἰάσεως ἡ προειρημένη. χρὴ γὰρ τὰ ‖ μὲν αἰσχρὰ καὶ φευκτὰ 36 κατανοεῖν ἐπὶ τῶν ἐνεχομένων αὐτοῖς σφοδρῶς· ἐναργὲς γὰρ ἐπ' ἐκείνων φαίνεται τὸ αἶσχος· ὅτι δ' οὐ βλέπομεν ἐφ' ἡμῶν αὐτῶν μηδέν, εἶναι νομίζειν προσήκει τυφλότητ' εἴτε περὶ τὸ φιλοῦν εἴτε περὶ τὸ φιλούμενον. Ἔνιά τε λανθάνει διὰ σμικρότητα καὶ παρορᾶται, μὴ δυνάμενα παροφθῆναι διὰ τὸ μέγεθος ἐν ἄλλοις. Πρεσβύτην οὖν τινα βλέπειν αὐτὰ δυνάμενον εὑρίσκειν προσήκει, παρακαλοῦντας ἅπαντα μετὰ παρρησίας δηλοῦν, εἶτ' εἰπόντος τι, πρῶτον αὐτῷ χάριν μὲν γνῶναι παραυτίκα, χωρισθέντας δὲ διασκέπτεσθαι κατὰ μόνας ἑαυτοῖς ἐπιτιμῶντας ἐκκόπτειν τε

3. ἐδήλουν παρακαλῶν* Pr. XXXIX παρακαλῶν L ‖ 4. Post ἀντιδιδόναι expunxi verba τε καὶ ἀποδοῦναι Pr. LVI τε καὶ ἀντιδοῦναι L. Idem fecit Cob. εἴ τινες L ‖ 6. διατρίβωμεν* ‖ 8. καὶ φιλοδ. om: ἡ L ‖ 9. ἔλαττον μὲν L ⟨ἡ λύπη⟩ addidi ex loco pag. 37, 3 K, quo totus locus interpolatus pertinet. Fleck. Ann. 123, 567 ‖ 14. πλησιάζον δέ πως αὐτήν L ‖ 15. τὰ μὲν αἰσχρά* ὅτι μὲν αἰσ. L O ‖ 20. λανθάνει* παρορᾶται L

πειρωμένους τὸ πάθος, οὐκ ἄχρι τοῦ μὴ φαίνεσθαι τοῖς ἄλλοις μόνον, ἀλλ' ὥστε μηδὲ ῥίζαν ἐγκαταλιπεῖν αὐτοῦ τῇ ψυχῇ. Ἔτι γὰρ ἀναφύεται τῇ τῶν συζώντων ἀρδόμενον πονηρίᾳ. Διὰ τοῦτο προσεκτέον ἡμῖν αὐτοῖς ἐστιν ἐφ' ἑκάστῳ τῶν παθῶν, ὅσα περὶ τοὺς πέλας ἐπισκοποῦμεν, εἴ τι κατὰ την ἡμετέραν ἐστὶ ψυχὴν τοιοῦτον. ἐκκοπτέον γὰρ αὐτὸ φυόμενον ἔτι, πρὶν
37 αὐξηθὲν ἀνίατον ‖ γενέσθαι.

Τῶν μὲν ἄλλων ἁπάντων παθῶν τῆς ψυχῆς οἱ πολλοὶ καταφρονοῦσι, καίτοι γ' ὅταν ἑτέρους αὐτὰ πάσχοντας ἴδωσι, καταγιγνώσκοντες, ἡ λύπη δ' ἅπασι φαίνεται κακόν, ὥσπερ ὁ πόνος ἐν τῷ σώματι.

Καί τις τῶν συνηθεστάτων ἐμοὶ νεανίσκων ἐπὶ σμικροῖς μὲν ἀρνούμενος ἀνιᾶσθαι, ὕστερον δέ ποτε κατανοήσας τοῦτο παραγενόμενός τε πρός με βαθὺν ὄρθρον, ὅλης ἔφη τῆς νυκτὸς ἀγρυπνῶν ἐπὶ τῷδε τῷ πράγματι μεταξύ πως εἰς ἀνάμνησιν ἀφικέσθαι τοῦ μηδ' ἐπὶ μεγίστοις οὕτως ἀνιᾶσθαί με, ὡς ἐπὶ τοῖς μικροῖς αὐτός, ἠξίου τε μαθεῖν, ὅπως ἐμοὶ τοῦτο περιεγένετο, πότερον ἐξ ἀσκήσεώς τινος ἢ δογμάτων ἢ φύντι τοιούτῳ. Ἀπεκρινάμην οὖν αὐτῷ τἀληθῆ. καὶ γὰρ καὶ τὴν φύσιν ἐν ἅπασιν, ἔφην, δύνασθαι μέγα ἐν τῇ τῶν παιδίων ἡλικίᾳ εἰς ζωῆς τελείωσιν, εἶθ' ὕστερον τά τε δόγματα καὶ τὴν ἄσκησιν. ὅτι μὲν οὖν αἱ φύσεις ἡμῶν πάμπολυ διαφέρουσι, μαθεῖν ἐναργῶς

2. *ἄλλοις μόνον** Cob *μόνοις* LO *ἐγκαταλιπεῖν* LB ‖ 3. *συζώντων* LAB *σωζόντων* ChK ‖ 6. *ἐπισκοποῦμεν** *ἐπισκοπούμενα* L ‖ 13. *καί τις* L ‖ 14. *ἀνιᾶσθαι** *δέ ποτε** ‖ 16. *ἀγρυπνῶν** *ἀγρυπνῶ* L ‖ 18. *ἀνιᾶσθαί με** *ἀνιώμενον* LO ‖ 19. *αὐτὸς** *ἐμαυτὸν* LO *ἠξίου τε** *ἠξίουν* LO *ὅπως μοι* LAB ‖ 20. *ἀσκήσεώς τινος** *ἀσκήσεως τινῶν* LAB *ἢ δογμάτων* LABCh ‖ 21. *αὐτῷ τἀληθῆ** *τ' αὐτῷ τἀληθῆ* LAB ‖ 23. *παιδίων**

*ἔστιν ἐπὶ τῶν παραφερομένων παιδίων. Ἔνια μὲν γὰρ
αὐτῶν ἀεὶ φαιδρά, σκυθρωπὰ δ' ἄλλα θεώμεθα, καὶ ‖
τὰ μὲν ἕτοιμα γελᾶν ἐπὶ πᾶσι, τὰ δὲ κλαίειν ἐπὶ σμι-* 38
*κραῖς προφάσεσιν. οὕτω δὲ καὶ τὰ μὲν ἔχει κοινῇ, τὰ
δ' ἁρπάζει. καὶ τὰ μὲν θυμοῦται σφοδρῶς ἐπὶ τῶν
σμικροτάτων, ὡς δάκνειν τε καὶ λακτίζειν καὶ λίθοις
καὶ ξύλοις ἀμύνασθαι τοὺς πέλας, οταν ἀδικεῖ-
σθαι δόξῃ, τὰ δ' ἐστὶν ἀνεξίκακα καὶ πρᾳέα, μήτ'
ὀργιζόμενα μήτε κλαίοντα, πρὶν ἀδικηθῆναί τι μέγα.
Ταῦτ' ἄρα καὶ ὁ Εὔπολις ἐρωτώμενον Ἀριστείδην τὸν
Δίκαιον ὑπὸ τοῦ Νικία· 'Πῶς ἐγένου δίκαιος;' οὐκ
ἀπρεπῶς ἀποκρινόμενον ἐποίησεν·*

*'Ἡ μὲν φύσις τὸ μέγιστον ἦν· ἔπειτα δὲ
Κἀγὼ προθύμως τῇ φύσει συνελάμβανον.'*

*Οἱ μόνον οὖν ἕτοιμοι τῶν νέων φύσεις πρὸς τὸ λυ-
πεῖσθαι ῥᾳδίως, ἀλλὰ καὶ πρὸς τὸ θυμοῦσθαι καὶ λι-
χνεύειν, ὑπὲρ ὧν ἄχρι δεῦρο τὸν πλεῖστον λόγον ἐποιη-
σάμην. Ἔτι δὲ πρὸς τοῖς εἰρημένοις ἔστιν ἰδεῖν ἔνια
μὲν ἀναίσχυντα τῶν παιδίων, ἔνια δ' αἰδούμενα, καὶ
τὰ μὲν μνημονικά, τὰ δ' ἀμνήμονα, τινὰ δ' ἐπιλή-
σμονα, καὶ τὰ μὲν φιλόπονα περὶ τὰ διδασκόμενα, τὰ
δ' ἀμελῆ καὶ ῥᾴθυμα, καὶ τῶν φιλοπόνων ἔνια μὲν
ἐπὶ τῷ ἐπαινεῖσθαι ‖ χαίροντα προθύμως, ἔνια δ' ἐπὶ* 39

1. *περιφερομένων* Cob ‖ 6. *λίθοις κ. ξύλοις* G ‖ 8. *πρᾳέα** *πράα* L ‖ 10. *ταῦτ' ἄρα καὶ* L ‖ 11. *Πῶς ἐγ. δίκ.* Meineke Frgm. Com. Gr. II, 1, p. 457 IV. *ἡ το νητίας ὢν ἐγένου* L *οὐκ ἀπρεπῶς* οὕτω δ' ἀπρεπῶς* L ‖ 12. *ἀποκρινόμενον* L ‖ 13. De vers. Eup. vid. Meineke l. l. et Cob. Mnem. VIII, 243. — *ἡ μὲν φύσις τὸ μέγιστον, ἔπειτα δὲ κἀγὼ τὴν φύσιν· προθύμως συνελάμβανον* LO ‖ 17. *ὑπὲρ ὧν* ὑπ' αὐτῶν* L *ὅπερ αὐτῶν* AB *ὧνπερ* ChK ‖ 19. *καὶ* ante *αἰδούμενα* om. L ‖ 23. *ἐπὶ τῷ ἐπαινεῖσθαι χαίροντα** Pr. XXXVIII G (in notis) *ἐπὶ τῷ χαίρειν ἐπαινούμενα* LO

τῷ καταγιγνώσκεσθαι πρὸς τῶν διδασκάλων αἰδούμενα, τινὰ δὲ καὶ δεδιότα πληγάς. [Οὕτω δὲ καὶ τῶν ῥαθύμων ἐπὶ ταῖς ἐναντίαις αἰτίαις ἕκαστον ἰδεῖν ἔστι ῥαθυμοῦν.]

Ἐξ ὧν οὖν ἂν θεῶνται περὶ τὰ παιδία πάντες ἄνθρωποι, τὰ μὲν αἰσχυντηλὰ καλοῦσιν αὐτῶν, τὰ δ' ἀναίσχυντα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἤτοι φιλότιμα καὶ φιλόκαλα ἢ ἀφιλότιμα καὶ ἀφιλόκαλα, καὶ μὴν δειλὰ καὶ καταφρονητικὰ πληγῶν, ἑτέρας τε τοιαύτας ἐπ' αὐτῶν τίθενται προσηγορίας κατὰ τὰς φύσεις αὐτῶν. Οὕτως οὖν καὶ τὰ μὲν φιλοψευδῆ, τὰ δὲ φιλαλήθη τῶν παιδίων ὁρῶμεν ὄντα φύσει, καὶ πολλὰς ἄλλας ἔχοντα διαφορὰς ἠθῶν, ὑπὲρ ὧν οὐκ ἀναγκαῖόν ἐστι νῦν λέγειν εἰκότως· ἔνια μὲν γὰρ ἐκ τοῦ ῥᾴστου δέχεται τὴν ἀγαθὴν παιδείαν, ἔνια δ' οὐδὲν ὀνίναται. Οὐ μὴν τούτου γ' ἕνεκεν ἀμελητέον ἐστὶ τῶν παιδίων, ἀλλ' ἐν τοῖς ἀρίστοις ἤθεσι θρεπτέον. Ἢν μὲν οὖν ἡ φύσις αὐτῶν δέξηται τὴν ἐκ τῆς ἐπιμελείας ὠφέλειαν, ἀγαθοὶ γενηθεῖεν ἂν ἄνδρες. εἰ δὲ μὴ δέξαιντό που, ||
40 τὸ μὲν ἡμέτερον ἂν ἄμεμπτον εἴη. Παραπλησία γάρ πώς ἐστιν ἡ τῶν παιδίων διαγωγὴ τῇ τῶν φυτῶν ἐπιμελείᾳ. Κατ' ἐκείνην γοῦν ὁ γεωργὸς οὐκ ἄν ποτε δυνήσεται ποιῆσαι τὸν βάτον ἐκφέρειν βότρυν, οὐ γὰρ ἐπιδέχεται ἡ φύσις αὐτοῦ τῆς ἀρχῆς τοιαύτην τελείωσιν. Ἀμπέλους δ' αὖ πάλιν ἑτοίμας οὔσας, ὅσον ἐφ'

2. δεδιότα πληγάς* τὸ δεδιέναι πληγάς L || 3. ἐναντίαις ⟨αἰτίαις⟩* Pr. XXXII ἰδεῖν ἔστι ῥαθυμοῦν* || 5. ἐξ ὧν οὖν ἂν* Pr. XXX || 7. φιλότιμα καὶ φιλοκ. L || 10. φ. αὐτῶν* φ. αὐτάς LO || 11. οὕτως οὖν καὶ L || 12. ὄντα φύσει L || 14. ἐκ τοῦ ῥᾴστου L (= V, 815, 5) || 18. δέξηται L || 20. ἂν ἄμεμπτον* = Gal. XVI, p. 323 et Pr. XXX || 22. οὐκ ἄν — δυνήσεται* Pr. XLVI δυνήσαιτο LO || 25. ἐφ' ἑαυτῶν LO = XVI, 324. τὸν ante καρπὸν om. L

ἑαυτῶν, καρπὸν ἐκφέρειν, ἐὰν ἀμελήσας ἐπιτρέψῃ μόνῃ τῇ φύσει, μοχθηρὸν ἢ οὐδ' ὅλως οἴσουσιν αὐτόν. Οὕτω δὲ καὶ ἣν τῶν ζῴων ἵππον μὲν παιδεύσῃς, εἰς πολλὰ χρήσιμον ἕξεις, ἄρκτος δέ, κἂν ἡμέρα ποτὲ δόξῃ, μόνιμον οὐκ ἔχει τὴν ἕξιν, ἔχιδνα δὲ καὶ σκορπίος οὐδ' ἄχρι τοῦ δοκεῖν ἡμεροῦσθαι προέρχεται.

Cap. VIII. *Ἐγὼ τοίνυν, ὅπως μὲν τὴν φύσιν ἔχω, οὐκ ἔχω φάναι· [τὸ γὰρ ἑαυτὸν γνῶναι χαλεπόν ἐστι καὶ τοῖς τελείοις ἀνδράσι, μή τοί γε δὴ τοῖς παισίν.] εὐτύχησα δὲ μεγάλην εὐτυχίαν, ἀοργητότατον μὲν καὶ δικαιότατον καὶ χρηστότατον καὶ φιλανθρωπότατον ἔχων πατέρα, μητέρα δ' ὀργιλωτάτην, ὡς δάκνειν μὲν ‖ ἐνίοτε* 41 *τὰς θεραπαίνας, ἀεὶ δὲ κεκραγέναι τε καὶ μάχεσθαι τῷ πατρὶ μᾶλλον ἢ Ξανθίππη Σωκράτει. Παράλληλά θ' ὁρῶντί μοι τὰ καλὰ τῶν τοῦ πατρὸς ἔργων τοῖς αἰσχροῖς πάθεσι τῆς μητρὸς ἐπῄει τὰ μὲν ἀσπάζεσθαί τε καὶ φιλεῖν, τὰ δὲ φεύγειν καὶ μισεῖν. Ὥσπερ δ' ἐν τούτοις ἑώρων παμπόλλην διαφορὰν τῶν γονέων, οὕτω κἀν τῷ τὸν μὲν ἐπὶ μηδεμιᾷ ζημίᾳ λυπεῖσθαι, ἀνιᾶσθαι δ' ἐπὶ σμικροτάτοις τὴν μητέρα. Γιγνώσκεις δὲ δήπου καὶ σὺ τοὺς παῖδας, οἷς μὲν ἂν ἥσθῶσι, ταῦτα μιμουμένους, ἃ δ' ἂν ἀηδῶς ὁρῶσι, φεύγοντας.*

Ἡ μὲν οὖν ὑπὸ τῷ πατρὶ παιδεία τοιαύτη τις ἦν· ὑποπληρώσας δὲ τετταρεσκαιδέκατον ἔτος, ἤκουον φιλοσόφων πολιτῶν, ἐπὶ πλεῖστον μὲν Στωϊκοῦ Φιλοπά-

3. *ἣν τῶν ζῴων** *τῇ τῶν ζ.* L *παιδεύσας* L *παιδεύσεις* XVI, 324 ‖ 4. *ἄρκτος δὲ** *ἡμέρα* LAB *ἥμερα* XVI, 324 *ἥμερον* ChK ‖ 5. *δόξῃ** *δείξῃς* L *διδάξῃς* O *οὐκ ἔχει* L ‖ 6. *οὐδ' ἄχρι* L De toto loco vid. Fleck. Ann. 123, 568 ‖ 8. *ἔχω φάναι** AkPr. XXXVIII *ἔχω γνῶναι· [τὸ γὰρ ἑαυτὸν φάναι χαλεπόν — τοῖς παισί]* LO ‖ 10. *μὲν καὶ* L ‖ 15. *θ' ὁρῶντι** ‖ 19. *μηδεμία* L | *λυπεῖσθαι, ἀνιᾶσθαι** *λυπούμενον — ἀνιωμένην* LO ‖ 21. *ἂν ἥσθῶσι* K *ἀνιστῶσι* L

τορος μαθητοῦ, βραχὺν δέ τινα χρόνον καὶ Πλατωνικοῦ μαθητοῦ Γαΐου, διὰ τὸ μὴ σχολάζειν αὐτὸν εἰς πολιτικὴν ἀσχολίαν ἑλκόμενον ὑπὸ τῶν πολιτῶν, ὅτι μόνος αὐτοῖς ἐφαίνετο δίκαιός τε καὶ χρημάτων εἶναι κρείττων, εὐπρόσιτός τε καὶ πρᾷος. Ἐπὶ τούτῳ
42 *δέ τις καὶ ἄλλος ἧκε πολίτης ἡμέτερος ‖ ἐξ ἀποδημίας μακρᾶς, Ἀσπασίου τοῦ Περιπατητικοῦ μαθητής, καὶ μετὰ τοῦτον ἀπὸ τῶν Ἀθηνῶν ἄλλος Ἐπικούρειος, ὧν ἁπάντων ὁ πατὴρ δι' ἐμὲ τοῦ τε βίου καὶ τῶν δογμάτων ἐξέτασιν ἐποιεῖτο σὺν ἐμοὶ πρὸς αὐτοὺς ἀφικνούμενος. Ἐγεγύμναστο δ' αὐτὸς ἐπὶ πλεῖστον ἐν γεωμετρίᾳ καὶ ἀριθμητικῇ καὶ ἀρχιτεκτονίᾳ καὶ ἀστρονομίᾳ. Βουλόμενος οὖν ὁμοίως κἀμὲ ταῖς γραμμικαῖς ἀποδείξεσι χρῆσθαι διδάξαι, διὰ ταύτην, ἔφη, τὴν αἰτίαν καὶ δια τὸ μηδὲ διαφωνίαν τινὰ γεγονέναι τῶν σεαυτοῦ διδασκάλων πρὸς ἀλλήλους [τῶν ἀπὸ τῶν σοῦ δηλονότι μαθημάτων καλῶν, καθάπερ οἱ ἀρχαῖοι κατὰ τὰς προειρημένας τέχνας, ὧν αἱ πρῶται γεωμετρία τε καὶ ἀριθμητική, καθάπερ οὖν ἔφην τὸ] χρὴ μὴ προπετῶς ἀπὸ μιᾶς αἱρέσεως ἀναγορεῦσαι σεαυτόν, ἀλλ' ἐν χρόνῳ πολλῷ μανθάνειν τε καὶ κρίνειν αὐτάς [οὕτω πρὸς ἁπάντων μὲν ἀνθρώπων ἐπαινεῖται, συνομολογεῖται δὲ καὶ τοῖς φιλοσόφοις εἶναι ζηλωτέα ταῦτα καὶ νῦν ἤδη ζηλωτέον*

1. *βραχὺν δέ τινα ⟨χρόνον⟩** ‖ 3. *πολιτικὴν ἀσχολίαν** *πολιτικὰς ἀσχολίας* L O ‖ 4. *ἐφαίνετο* L ‖ 5. *ἐπὶ τουτῳ** *ἐν τούτῳ* L O ‖ 6. *ἧκε* L ‖ 9. *τοῦ τε β.** *τοῦτο β.* L ‖ 13. *βουλ. οὖν* L *κἀμὲ** *χρῆσθαι διδάξαι** *λέγειν κεχρῆσθαι τὸν διδάξαντα* L O ‖ 14. *ταύτην, ἔφη** *ταύτην δὲ χρὴ* O *καὶ διὰ τὸ* addidi* Locus mutilus et nondum sanatus. ‖ 15. *διαφωνίαν τινὰ* L *τῶν σεαυτοῦ ⟨διδασ⟩κάλων πρὸς ἀλλήλους** ‖ 19. *χρὴ μὴ προπετῶς** *ἔφην αἰ μὴ προπ.* L ‖ 20. *ἀναγορεῦσαι* L ‖ 21. *μανθάνειν τε καὶ κρίνειν* L A B ‖ 23. *εἶναι ζηλοῦτ ταῦτα νῦν ἤδη καὶ διὰ παντὸς τοῦ βίου ζηλωτέον ἀσκεῖν καὶ μανθάνειν καὶ αὐξάνειν* L

αὐτὰ καὶ μανθάνειν καὶ αὔξάνειν ἀξιῶσαι] δικαιοσύνης ἀντιποιούμενον καὶ σωφροσύνης ἀνδρείας τε καὶ φρονήσεως. Ἐπαινοῦσι γὰρ ἅπαντες ‖ τὰς ἀρετὰς ταύτας, 43 κἂν αὐτοὶ συνειδῶσιν ἑαυτοῖς οὐδεμίαν αὐτῶν ἔχουσι, καὶ φαίνεσθαι μὲν πειρῶνται τοῖς ἄλλοις ἀνδρεῖοι καὶ σώφρονες καὶ φρόνιμοι καὶ δίκαιοι, ἄλυποι μέντοι κατ' ἀλήθειαν εἶναι, κἂν μὴ φαίνωνται τοῖς πέλας. Ὥστε τοῦτο μέν σοι πρῶτον ἁπάντων ἀσκητέον ἐστίν, ὃ σπουδάζεται ἅπασιν ἀνθρώποις μᾶλλον τῶν ἄλλων ἀρετῶν.

Ταύτας, ἔφην ἐγώ, παρὰ τοῦ πατρὸς λαβὼν τὰς ἐντολὰς ἄχρι δεῦρο διαφυλάττω, μήτ' ἀφ' αἱρέσεώς τινος ἐμαυτὸν ἀναγορεύσας, ὧν σπουδῇ πάσῃ [ἀκριβῆ] τὴν ἐξέτασιν ἔχω, ἀνέκπληκτός τε πρὸς τὰ κατὰ τὸν βίον ὁσημέραι συμπίπτοντα διαμένων, ὥσπερ ἑώρων τὸν πατέρα. Οὔτ' οὖν ἀπώλειά τινος ἱκανὴ λυπῆσαί με, πλὴν εἰ παντοίως ἀπολέσαιμι τὰ κτήματα — τοῦτο γὰρ οὐδέπω πεπείραμαι — δόξης τε καὶ τιμῆς ὁ πατὴρ εἴθισέ με καταφρονεῖν, ἀλήθειαν μόνην τιμῶντα. Λυπουμένους δ' ὁρῶ τοὺς πολλούς, ὅταν ἠτιμάσθαι δοκῶσιν ὑπό τινος ἢ ἐπὶ χρημάτων ἀπωλείᾳ. κατὰ τοῦτ' οὖν, ἔφην, μήτε λυπούμενον εἶδές μέ ποτε, μήτε χρημάτων ἀπώλεια συνέπεσέ μοι μέχρι δεῦρο τηλικαύτη τὸ μέγεθος, ὡς μηκέτ' ἔχειν ‖ ἐκ τῶν ὑπολοίπων ἐπιμελεῖσθαι 44

5. φαίνεσθαι μὲν* φ. τε L ‖ 6. φρόν. κ. δίκ. L ‖ 7. τοῖς πέλας L ‖ 8. μέν σοι* μὲν σου L ἔστιν, ὃ L σπουδάζεται* σπουδαζόμενον LO ‖ 13. [ἀκριβῆ] inclusi * Pr. LII ‖ 14. ἔχω * ἔχων LO ἀνέκπληκτός τε AkG ‖ 15. διαμένων L ‖ 16. ἱκανη λυπῆσαί με L ‖ 18. πεπείραμαι ChK πεπλήρωμαι L πεπείρασαι AB ‖ 20. ἠτιμάσθαι* ἤτοι τιμᾶσθαι L Pr. XXXVII ἤτοι ἀτιμᾶσθαι O ‖ 21. ἢ ἐπὶ χρημ.* ‖ 22. μήτε λυπ. — μήτε χρημ. ἀπ.* οὐδὲ λυπ. — μὴ δὲ χρημάτων ἀπ. (om. ἐπὶ = Cob) L οὐδὲ — οὐδὲ ἐπὶ χρημ. ἀπ. O ‖ 23. μέχρι δεῦρο om. τοῦ L

τοῦ σώματος ὑγιεινῶς, μήτ' ἀτιμία τις, ὡς ὁρῶ πολλοὺς ὑπὸ τοῖ συνεδρίου τῆς τιμῆς ἀφαιρεθέντας. Εἰ δὲ τοὺς μὲν ἀκούσαιμι ψέγοντάς με, τοὺς δ' ἐπαινοῦντας, αὐτοῖς ἀντιτίθημι, καὶ νομίζω, τὸ πάντας ἀνθρώπους ἐπαινοῦντας ἐπιθυμεῖν ἔχειν ἐοικέναι τῷ θἄπαντα ἔχειν ἐθέλειν κτήματα. Δοκῶ τοίνυν, ἔφην, ἐμαυτῷ, τάχα δὲ καὶ σοὶ δόξω μηδὲν ἄχρι δεῦρο μέγα πεποιηκέναι διὰ τέλους ἄλυπος ὤν. Οὔτε γὰρ ἀφῃρέθην ἁπάντων τῶν χρημάτων, οὔτ' ἠτιμώθην. εἰ δὲ βοῦς ἢ ἵππος ἢ οἰκέτης ἀπέθανεν, οὐχ ἱκανὸν τοῦτ' ἦν λυπῆσαί με μεμνημένον ὧν ὁ πατὴρ ὑπέθετο, μὴ πρότερον ἐπὶ χρημάτων ἀπωλείᾳ λυπηθῆναι συμβουλεύων, ἄχρις ἂν ᾖ τὰ λειπόμενα πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν αὐτάρκη. Τοῦτον γὰρ ἐτίθετο πρῶτον ὅρον ἐκείνων κτημάτων, ὡς μὴ πεινῆν μὴ ῥιγοῦν μὴ διψῆν. εἰ δὲ πλείω τῆς εἰς ταῦτα χρείας εἴη, καὶ πρὸς τὰς καλὰς πράξεις, ἔφη, χρηστέον αὐτοῖς. ἐμοὶ τοίνυν ἄχρι δεῦρο τοσαύτη χρημάτων χρῆσίς ἐστιν, ὡς καὶ πρὸς
45 τας τοιαύτας ‖ πράξεις ἐξαρκεῖν. Οἶδα δ', ἔφην, καὶ σὲ διπλάσιά τ' ἐμοῦ κεκτημένον, ἐπίτιμόν τε κατὰ τὴν πόλιν ἡμῶν ὄνθ', ὡς, τίς ἂν εἴη σοι λύπης αἰτία, πλὴν ἀπληστίας, οὐχ ὁρῶ. [πρὸς ταύτην οὖν ἄσκη-

1. ὡς ὁρῶ πολλοὺς ὑπὸ τοῦ συνεδρίου τῆς τιμῆς ἀφαιρεθέντας* Pr. LVI ὁρῶ τοῦ συνεδρ. τῆς τιμῆς βουλῆς ἀφαιρεθέντας L ὡς ὁρᾶν με τ. συνεδρ. τῆς ἐμῆς βουλῆς ἀφαιρεθέντα O. Ceterum vid. Cob. Mnem. VIII, 243, qui dicit ἀφαιρεθῆναι τοῦ συνεδρίου τῆς βουλῆς esse 'senatu moveri' ‖ 3. τοὺς μὲν — ψέγοντάς με* τινὰς ψέγειν μὲν L τοὺς δὲ L ‖ 5. θ' ἅπαντα ABCh τ' ἅπαντα L ‖ 7. πεποιηκέναι L ἄλυπος ὢν* ‖ 9. ἠτιμώθην LA ‖ 15. πεινῆν — διψῆν L ‖ 16. χρείας LG ‖ 17. χρηστέον αὐτοῖς* Ak αὐτὰς L ‖ 19. ἔφην AkG ‖ 20. διπλάσια Cob = K 47. 16 ἐπίτιμόν τε* ἐπιτιμῶν τε L ἔντιμον Cob ‖ 21. ὄνθ' ὡς ex ὄντως (L)* οὕτως ὡς O Pr. XXV sq. ‖ 22. πρὸς τ. τ. ἄσκησον μόνην ἂν εἶπον ἐγὼ L ἄσκησιν μόνην ἂν εἶσον ἐγὼ AB ἀπεῖδον*

σιν μόνην ἀπεῖδον ἐγὼ διὰ μνήμης ἔχων καὶ μελετῶν ἀεὶ καὶ σκοπούμενος, εἰ ἀληθεύω, μέχρι περ ἂν τούτῳ πεισθῶ, ὡς τῷ τὰ δὶς δύο τέτταρα εἶναι.]

Cap. IX. *Θεασόμεθα γάρ, ἔφην, ἐπὶ σχολῆς, ὁποῖόν τι πάθος ἐστὶν ἡ ἀπληστία. Τὴν δ' ἀρχὴν τῆς σκέψεως ἡ περὶ τὰς τροφὰς ἀπληστία παρέξει. τὸ γοῦν ἐπέκεινα τοῦ συμμέτρου προσφέρεσθαι σιτίων ἀπληστίαν ὀνομάζουσι. τὸ σύμμετρον δ' αὐτῶν κρίνουσι τῇ χρείᾳ τῆς τροφῆς· χρεία δ' αὐτῆς ἐστι τὸ θρέψαι τὸ σῶμα· θρέψει δὲ πεφθεῖσα καλῶς, πεφθήσεται δ', εἰ σύμμετρος, τὴν γὰρ πολλὴν ἀπεπτουμένην ἴσμεν. Εἰ δ' ἅπαξ τοῦτο γένοιτο, διαφθείρεσθαι τὴν χρείαν αὐτῆς ἀναγκαῖον. εἰ δέ γ' ὑπὸ τῆς δήξεως τῶν ἀπεπτηθέντων σιτίων ἡ γαστὴρ ἀνιαθεῖσα πᾶν ἐκκρίνειε, ‖ διάρροια μὲν ὀνομάζεται τὸ σύμπτωμα, διαφθείρεται* 46 *δ' ἡ χρεία τῆς τροφῆς. οὐ γὰρ ἐφ' ᾧτε διεξελθεῖν τὰ ἔντερα λαμβάνομεν αὐτήν, ἀλλ' ἕνεκα τοῦ προστεθῆναι πᾶσι τοῖς μορίοις τοῦ σώματος. εἰ δ' ἀναδοθείη μὴ καλῶς πεφθεῖσα, κακοχυμίαν ἐν ταῖς φλεψὶν ἐργάζεται. Ἐπεὶ τοίνυν ἐπὶ τῷ σώματι ἡμῶν ἔμαθες, ὁποῖόν τι πρᾶγμά ἐστιν ἡ ἀπληστία, μεταβὰς ἐπὶ τὴν ψυχὴν ἤδη θέασαι κἀνταῦθα τὴν φύσιν αὐτῆς ἐφ' ἑκάστης ὕλης πραγμάτων ἐπισκοπούμενος ἀπὸ τῶν κτημάτων ἀρξάμενος. Ἐν τούτοις οὖν ἔνια μὲν οὐκ ὀρθῶς ἐσπούδασται, καθάπερ οἱ μαργαρῖται καὶ οἱ σαρδόνυχες αἵ τ' ἄλλαι λίθοι πᾶσαι ἅσπερ αἱ γυναῖκες οἷον κόσμον*

2. εἰ ἀληθεύω* ἢ ἀληθεύω L πεισθῶ* πεισθῇς L ἐπείσθην O ‖ 3. τῷ τὰ* τὸ τὰ LO ‖ 4. Θεασόμεθα L θεασάμεθα A ἔφην* ἔχων L εἶπον AkG σχολῆς LK ‖ 7. σιτίων* σίτου LO ‖ 16. ἐφ' ᾧτε* ἐφο^τ L ἐφ' ὅτι O ‖ 17. λαμβάνομεν* λαμβανόμενα L ‖ 19. φλεψὶν ἐργάζεται L ‖ 23. ἀρξάμενος LBCh ἀρξόμενος AK ‖ 26. ἅσπερ — οἷόν τινα κόσμον φέρουσιν ἐξαρτησάμεναι ἑαυτῶν * Pr. XLIII

φέρουσιν ἐξαρτησάμεναι ἑαυτῶν· τούτου τοῦ γένους ἐστὶ καὶ τὰ χρυσοϋφῆ τῶν ἱματίων ἤ τι περίεργον ἔργον ἔχοντα, ἢ ὕλης δεόμενα πόρρωθεν κομιζομένης, ὥσπερ τῆς σηρικῆς ὀνομαζομένης. ἔνια δὲ τῶν κτημάτων εἰς τὴν τοῦ σώματος ὑγίειαν διαφέροντα προσηκόντως σπουδάζεται, πρῶτα μὲν ἐξ ὧν τρεφόμεθα καὶ ἀμφιεννύμεθα καὶ ὑποδούμεθα, ἐν οἷς ἐστιν ἡ οἴκησις.
47 ἐκείνου δὲ τοῦ ‖ γένους φαίνεται καὶ τὰ τοῖς νοσοῦσιν ἐπιτήδεια. τινὰ δ' ὥσπερ τοὔλαιον ἀμφοτέροις ὑπάρχει χρήσιμα τοῖς ὑγιαίνουσι καὶ τοῖς νοσοῦσιν, ἔνια δὲ τοιαῦτα τὰ μὲν μείζω, τὰ δ' ἐλάττω τὴν ὠφέλειαν παρεχόμενα τοῖς τῶν ἀνθρώπων σώμασιν. Καὶ τοίνυν ἤδη τοῦ πλήθους τὸν ὅρον καὶ τῆς κτήσεως αὐτῶν ἐναργῶς οἶμαί σε τεθεᾶσθαι. [Ὥσπερ γὰρ τὸ πηχυαῖον ὑπόδημα πρὸς τέλος ἐστὶν ἄχρηστον, οὕτω καὶ τὸ πλείονα ἔχειν ὑποδήματα πλὴν δυοῖν, οἷς χρώμεθα, περιττόν τε καὶ ἄχρηστον, ἐπειδὴ δυοῖν πάντως αὐτάρκης ἡ χρεία. οὕτω δὲ καὶ τὴν ἐσθῆτα διπλῆν ἔχειν αὔταρκες, οἰκέτας τε καὶ σκεύη.] [ἐν ἡμῖν, ἔφην, οὐ μόνον ἐσθὴς ὑπάρχει περιττοτέρα τῆς διττῆς, ἀλλὰ καὶ οἱ οἰκέται καὶ σκεύη καὶ πάνθ'

'quibus ornantur mulieres intendentes et opinantes magnificare inde earum decorem et pulchritudinem' D πᾶσαι κόσμον (om. καθάπερ) ὥσπερ αἱ γυν. οἷόν τι φέρουσαι ταῖς ἐξαρτησαμέναις αὐταῖς L καθάπερ κόσμος, ὃν αἱ γυν. οἷόν τι μέγα φέρουσι τοῖς ἐξαργησαμένοις αὐτῶν G 'cuiusmodi item est ornatus, quem foeminae ut magnum quiddam gestant, iis ancillis quae ab ipsis dum incedunt pendent' Don ‖ 2. καὶ τὰ* τὰ τὰ L ἤ τι περίεργον ἔργον ἔχοντα ἢ* ἢ τινὰ — ἔχων L 'Et similiter est de pannis deauratis, in quorum compositione laborant longo tempore absque ratione' D. Hic explicit codex Dresd. ‖ 3. δεόμενα LAB ‖ 4. τῆς σηρικῆς ὀνομαζομένης* ὀνομαζομένης L[1] quod eadem manus correxit in ὀνομαζομένων ‖ 5. εἰς τὴν L ‖ 7. ἐν οἷς ἐστὶν ἡ L ‖ 15. τὸ πλείονα ἔχειν* τὸ ἑ καὶ ἱ ἐχ. LO ‖ 16. πλὴν δυοῖν οἷς χρώμεθα περιττόν τε καὶ ἄχρηστον L ἐπειδὴ δυοῖν* τῆδ' οὐ δυοῖν L πλὴν δυοὶν. ἄλλα τε γὰρ ὄντα πάντως (ceteris omissis) O Pr. XXXIV

ἁπλῶς τὰ κτήματα πολὺ πλείω τῶν διττῶν ἐστιν. πρόσοδον γὰρ ἔχομεν ἀφ' ὧν κεκτήμεθα πολλαπλασίαν ἢ ὡς εἰς ὑγίειαν μόνην ἐξ αὐτῶν ὑπηρετεῖσθαι τῷ σώματι.] Τινας οὖν, ἔφην, ὁρῶ τὸν ἀπολαυστικὸν ὀνομαζόμενον ἑλομένους βίον οὐ διπλάσια μόνον ἢ τριπλάσια δαπανῶντας ἡμῶν, ἀλλὰ καὶ πενταπλάσια καὶ δεκαπλάσια καὶ τριακονταπλάσια. Σὲ δ' ὁμοίως ἐμοὶ ‖ διαιτώμενον 48 *θεῶμαι, λυπούμενον δ' ἀνομοίως ἐμοί, καίτοι τῆς οὐσίας σου ἕκαστον ἔτος αὐξανομένης, ἐπεὶ τῶν σεαυτοῦ προσόδων ἀναλίσκεται μέν σοι τὸ δέκατον ἴσως μέρος, αἱ λοιπαὶ δ' ἐννέα μοῖραι τοῖς ὑπάρχουσι προστίθενται. Βλέπω γάρ σε μήτ' εἰς τὰ καλὰ τῶν ἔργων δαπανῆσαι τολμῶντα, μήτ' εἰς βιβλίων ὠνὴν καὶ παρασκευὴν καὶ τῶν γραφόντων ἄσκησιν ἤτοι γ' εἰς τάχος διὰ σημείων ἢ εἰς κάλλος καὶ ἀκρίβειαν, ὥσπερ γ' οὐδὲ τῶν ἀναγιγνωσκόντων ὀρθῶς. οὐ μὴν οὐδὲ κοινωνοῦντά σε θεῶμαι καθάπερ ἐμὲ σὺ βλέπεις ἑκάστοτε τοῖς μὲν ἱμάτια, τοῖς δ' εἰς τροφὰς ἢ νοσηλείαν. τινῶν δ' ἐθεάσω με καὶ τὰ χρέα διαλυσάμενον. Ἐγὼ μὲν οὖν καταλείπω πᾶσαν ἣν ὁ πατὴρ κατέλιπέ μοι πρόσοδον οὐδὲν ἐξ αὐτῆς περιττὸν ἀποτιθέμενος, οὐδὲ πολλαπλάσια τῶν ἀναλισκομένων προστιθέμενος. Ὅμως*

3. *τινὰς οὖν** *τίνα* LA ‖ 7. *σὲ δ' ὁμοίως ἐμοὶ** *αἵ δ' ὡσαύτως ὁμοίως ἐμοὶ* L ‖ 8. *ἀνομοίως** *ἂν ὁμοίως* L *αὖ οὐχ ὁμ.* AKG ‖ 9. *οὐσίας σου** *οὐσίας οὐχ* LO *τῶν σεαυτοῦ προσόδ.** *τῶν ἐξαυτῶν πρ.* L ‖ 10. *μέν σοι* L *σοι* om. O *ἴσως μέρος* L ‖ 12. *μήτ' εἰς τὰ καλὰ** *μὴ δ' εἰς*$^{τ'}$ *καλὰ* L ‖ 13. *μήτ' εἰς** ‖ 14. *γ' εἰς* L ‖ 15. *εἰς κάλλος καὶ ἀκρίβειαν** *εἰς καλ' ἀκρίβ.* L; Versiones: 'figuris ad *pulchritudinem*'; 'sive notis et signis id faciant, ut citius, sive exquisitis figuris, ut pulchrius' Don. *γ' οὐδὲ* L ‖ 18. *τοῖς μὲν ἱμάτια** *τοῖς μὲν ἱματίοις* LO *οἰκετῶν* eieci* ‖ 19 *ἐθεάσω με* Ak *ἐθεάσ*^{ομ} L *διαλυσάμενον* Ak ‖ 21. [*οὐδὲ θησαυρίζων*] expunxi* Pr. LVII ‖ 22. *προστιθέμενος** *ἀποτιθέμενος* LO

ἀνιώμενον οὐκ ἂν φαίης πολλάκις ἐμέ, καθάπερ αὐτὸς ὁμολογεῖς, οὐδέποτε λυπούμενόν μ᾽ ὁρῶν. Ἀρ᾽ οὖν ἤδη δύνασαι καθορᾶν τῆς λύπης σου τὴν αἰτίαν ἢ παρ᾽ ‖
49 *ἐμοῦ καὶ τοὔνομα αὐτῆς ἀκοῦσαι ποθεῖς; ἤδη σοι καὶ τοῦτ᾽, εἰ βούλει, γενέσθω· μίαν ἴσθι πασῶν λυπῶν αἰτίαν, ἣν ὀνομάζουσιν οἱ Ἕλληνες ἐνίοτε μὲν ἀπληστίαν, ἔστι δ᾽ ὅτε πλεονεξίαν. [ἀπληστίαν μὲν ἀπὸ τοῦ τὰς ἐπιθυμίας ἀπληρώτους ἔχειν· ἀεὶ γὰρ ποθοῦσι τῶν ἔμπροσθεν οἱ ἄπληστοι. ὥστε κἂν διπλάσιον ἔχωσι, τριπλάσιον προσκτήσασθαι σπεύδουσι κἂν τριπλάσιον ἔχωσι, τετραπλασίων ἐφίενται. καὶ οὕτως ἐφορῶσι τοὺς πλείονα κεκτημένους αὐτῶν, οὐ τοὺς ἐλάττονα καὶ τούτους ὑπερβάλλεσθαι ζητοῦσι καὶ τούτων πλέον ἔχειν ἐπιθυμοῦσι.] Σὺ γοῦν οὕτως, ἔφην, ἐὰν σκοπῇς ἅπαντας ἡμῶν τοὺς πολίτας, εὑρήσεις οὐ πολλοὺς πλουσιωτέρους σεαυτοῦ, ὥστε τῶν ὑπολοίπων ἁπάντων εἶναι πλουσιώτερος. [εὔδηλον δέ, ὡς καὶ τῶν δούλων αὐτῶν καὶ προσέτι καὶ γυναικῶν τοσούτων.] εἴπερ οὖν ἡμῖν οἱ πολῖται πρὸς τοὺς τετρακισμυρίους εἰσίν, ὁμοῦ ἐὰν προσθῇς αὐτοῖς τὰς γυναῖκας καὶ τοὺς δούλους, εὑρήσεις σεαυτὸν δώδεκα μυριάδων ἀνθρώπων οὐκ ἀρκούμενον εἶναι πλουσιώτερον, ἀλλὰ καὶ τούτους*
50 *βουλόμενον ὑπερβαλέσθαι, καὶ ‖ πάμπλουτον ἐν πλούτῳ γενέσθαι σε σπεύδοντα, καίτοι πολλῷ ἐστιν ἄμεινον ἐν αὐταρκείᾳ πρῶτον ὑπάρχειν, ὅπερ ἐστὶν ἐπί σοι. τὸ δ᾽ ἐν πλούτῳ πρωτεύειν οὐκ ἀρετῆς ἀλλὰ τύχης ἔργον,*

1. *ἀνιώμενον ⟨οὐκ ἂν⟩ φαίης** *ἀνιώμενον φαίη* L *οὐδ᾽ ἀνιώμενον φαίης* Ak *ἀνιέμενον φαίης* CkK ‖ 2. *μ᾽ ὁρῶν** *οὖν ἤδη* L ‖ 5. *τοῦτ᾽ εἰ βούλει γενέσθω** ‖ 7. *ἔστι δ᾽ ὅτε* L ‖ 16. *εἶναι πλουσιώτερος** *ἢ πλουσ.* L *ἔσῃ* O *εὔδηλον ὥστε καὶ* L ‖ 19. *πρ. αὐτοῖς** *αὐτοὺς* L ‖ 20. *δώδεκα** ‖ 21. *ἀρκούμενον** coll. infra *ἀρκεσθήσῃ* et Plut. Coriol. XIII. *ἀρνούμενον* LO ‖ 22. *ὑπερβαλλέσθαι* L ‖ 23. *πολλῷ ἐστιν ἄμ.** *πολλ᾽ τὴν ἀμείνω* L *πολίτην ἄμεινον* O

ἥτις καὶ δούλους καὶ ἀπελευθέρους ἐργάζεται πλουσιωτέρους ἡμῶν τῶν ὀνομαζομένων εὐγενῶν. Ἀλλὰ σύγε, κἂν σχῇς, ὡς εὔχῃ, πλέον τῶν πολιτῶν ἁπάντων, οὐκ ἀρκεσθήσῃ, περισκέψῃ δ' αὐτίκα, μή τις ἐν ἄλλῃ πόλει πλουσιώτερος εἴη, κἂν ὑπηρετοῦσάν σοι σχῇς καὶ πρὸς τούτοις τὴν τύχην, ἐπὶ τἄλλα μεταβὰς ἔθνη καὶ τῶν ἐν ἐκείνοις πλουσίων ἐθελήσεις γενέσθαι πλουσιώτερος. ὥστ' οὐ πάντων πλουσιώτερος, ἀλλ' ἀεὶ πένης ἔσῃ διὰ τὰς ἀορίστους ἐπιθυμίας. εἰ δέ γε τῇ χρείᾳ τῶν κτημάτων ἐμέτρεις τὸ σύμμετρον, ἐκ τῶν πλουσίων ἂν ἤδη σαυτὸν ἠριθμήκεις, ἢ πάντως γε τῶν εὐπόρων. Ἐγὼ γοῦν ἐμαυτὸν ἐκ τούτων ἀριθμῶ, καίτοι γ' ἐλάττω σοῦ κεκτημένος. ἐὰν οὖν τοῦτο πείσῃς σαυτόν, οὐκέτ' ἀνιάσει σε τῶν ἀπολλυμένων οὐδέν, ἔσῃ τε μακάριος, ὅσον ἐπὶ τῷ μὴ λυπεῖσθαι διὰ χρήματα. τὴν δ' αὐτὴν ταύτην τὴν ἀπληστίαν ‖ ἐὰν ἐξέλῃς τοῦ τιμᾶσθαι βού- 51
λεσθαι, καὶ κατὰ τοῦτ' ἄλυπος ἔσῃ. Σοὶ δ' οὐ μόνον ⟨οὐκ⟩ ἀρκεῖ τιμᾶσθαι πρὸς τῶν συνήθων, ἀλλὰ καὶ πάντας ἐθέλεις τοὺς κατὰ τὴν πόλιν ἐπαινεῖν σε. Οἵ δ' εἰ μὴ γιγνώσκουσί σε τὴν ἀρχήν, ἴσως οὖν βουλήσῃ πρότερον αὐτοῖς γνωσθῆναι, δεύτερον δὲ τιμᾶσθαι. Τοῦτο δὲ τὸ μὲν γνωσθῆναι πᾶσιν ἐθέλειν ἀπλήστου φιλοδοξίας ἔργον ἐστίν, τὸ δὲ τιμᾶσθαι ματαίας φιλοτιμίας. Ἀναγκαῖον οὖν ἔσται σοι, καθάπερ ἐπὶ χρημάτων κτήσει νῦν ἀγρυπνεῖς, οὕτως, ἐὰν εἰς φιλο-

1. ἐργαζ. πλουσ. ἡμῶν L ‖ 3. πλέον* ‖ 5. εἴη, κἂν* εἶτ' ἂν O τ' ἂν L ‖ 10. Post ἐμέτρεις delevi σαυτοῦ (σαυτὸν L)* ‖ 13. τοῦτο πείσῃς* τ. πείσῃ σαυτὸν L ‖ 15. ταύτην τὴν L ‖ 17. σοὶ δ' οὐ μόνον οὐκ ἀρκεῖ* Pr. XXXI ἰδὼν μόνον ἀρκεῖ L εἰ δ' οὐ μόνον ἀρκεῖ O ‖ 19. Post ἐπαινεῖν in L leguntur haec: 'καίτοι πρὸς τῶν οὕτω μέρος ἐστὶ τῶν καθ' ὅλην τὴν οὐσίαν.' οἵ δ' εἰ μὴ* οἱ δὲ μὴ γιγν. L οἵ τε μὴ γ. O ‖ 21. αὐτοῖς L ‖ 25. ἀγρυπνεῖς* ἀγρυπνίας LO

δοξίαν ἢ φιλοτιμίαν ἐκτείνῃς τὴν ἐπιθυμίαν, ἀνιαθήσεσθαι μειζόνως ἐπὶ τοῖς μὴ γιγνώσκουσί σε καὶ τιμῶσι, πολλοῖς οὖσιν. Ἥνπερ οὖν εὕρωμεν ταῦτα καὶ ἀσκήσωμεν ἐπ' αὐτῶν διὰ παντὸς ἡμᾶς αὐτούς, ἄλυποι γενησόμεθα. Πῶς οὖν ἀσκήσομεν; ἐὰν πεισθῶμεν, πότερον ὀρθῶς εἴρηται, πάθος εἶναι ψυχῆς μοχθηρότατον ἀπληστίαν. κρηπὶς γάρ τις αὕτη φιλοχρηματίας ἐστί, καὶ φιλοδοξίας καὶ φιλοτιμίας, καὶ φιλαρχίας καὶ φιλονεικίας.

Πρῶτον μὲν οὖν ἀεὶ πρόχειρον ἔχειν δεῖ τὸ περὶ
52 τῆς αὐταρ‖κείας δόγμα συνημμένον δῆλον ὅτι τῷ περὶ τῆς ἀπληστίας. ὁ γὰρ μισήσας τὴν ἀπληστίαν, ἐφίλησε τὴν αὐτάρκειαν. Εἴπερ οὖν ἐν τούτῳ μόνῳ κεῖται τὸ ἄλυπον εἶναι, τοῦτο δ' ἐφ' ἡμῖν, ἤδη πᾶν ἐφ' ἡμῖν ἀλύποις γενέσθαι, πρόχειρον μὲν ἔχουσι τὸ περὶ τῆς ἀπληστίας τε καὶ τῆς αὐταρκείας δόγμα, τὴν δ' ἐκ τῶν κατὰ μέρος ἔργων ἄσκησιν ἑκάστης ἡμέρας ποιουμένοις ἐπὶ τοῖσδε τοῖς δόγμασιν. Ὅπερ γὰρ ἐκ τῆς πρώτης παιδείας ἑτέροις ὑπῆρξε, τοῦτο τοῖς ἀτυχήσασιν ἐκείνης ὕστερόν ποθ' ὑπάρξει, δι' ἧς εἶπον ὁδοῦ. Τίς γὰρ οὐκ ἂν ἐθελήσειεν ἄλυπος εἶναι παρ' ὅλον αὐτοῦ τὸν βίον; ἢ τίς οὐκ ἂν τοῦτο προέλοιτο τοῦ πλούτου κινητοῦ τε καὶ μιαροῦ μᾶλλον;

Cap. X. Ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ ἄλλα πολλὰ διῆλθον ἐκείνῳ τε καὶ ἄλλοις ὕστερον πολλοῖς, καὶ πάντας ἔπεισα τόγε παραυτίκα, τὴν δ' ἐκ τῶν ῥηθέν-

3. ἥνπερ οὖν* εἴπερ οὖν L ‖ 4. καὶ ante ἄλυποι om. L ‖ 5. πεισθῶμεν* πεισμεν L γνῶμεν O ‖ 15. ἀλύποις* τὸ π. τῆς ἀπληστ. καὶ αὐταρκ.* ἀπληστ. τὲ αὐταρκ. L ‖ 17. ποιουμένοις* ποιου$^{μ'}$ L ‖ 18. Post ὅπερ inserui γὰρ* ‖ 20. ἐκείνης* ἐκείνοις LO ‖ 21. ἐθελήσειεν* ἐθελήσῃ LG Pr. XXVII et XLIX ἄλυπος LAk ‖ 22. πλ. κινυροῦ L ‖ 26. ῥηθέντων L ὑστέρων O Pr. XLI

των ὠφέλειαν ὀλιγίστους εἶδον ὕστερον ἔχοντας. τηλικαῦτα γὰρ ἤδη τὰ πάθη τῆς ψυχῆς ηὐξήκασιν οἱ πολλοὶ τῶν ἀνθρώπων, ὡς ἀνίατα ὑπάρχειν. Εἰ δέ τις ἔτι μετρίοις δουλεύει πάθεσι ‖ γνῶναί τ' αὐτὸς δύναταί τι 53 *τῶν πρότερον εἰρημένων, ἐπιστήσας ἑαυτῷ, καθάπερ ἔμπροσθεν εἶπον, ἐπόπτην τινὰ καὶ παιδαγωγόν, ὅς θ' ἑκάστοτε τὰ μὲν ἀναμιμνήσκων αὐτόν, τὰ δ' ἐπιπλήττων, τὰ δὲ προτρέπων τε καὶ παρορμῶν ἔχεται τῶν κρειττόνων, ἑαυτόν τε παράδειγμα παρέχει ὧν λέγει τε καὶ προτρέπει, δυνήσεται κατασκευάσαι λόγῳ ἐλευθέραν τε καὶ καλὴν τὴν ψυχήν. Αἰσχρὸν γὰρ τὴν μὲν κατὰ νόμους ἀνθρωπίνους ἐλευθερίαν ἀντὶ πολλῶν πεποιῆσθαι, τὴν δ' ὄντως καὶ φύσει μὴ σπουδάζειν, ἀλλ' αἰσχραῖς καὶ ἀσελγέσι καὶ τυραννικαῖς δεσποίναις δουλεύειν φιλοχρηματίᾳ καὶ σμικρολογίᾳ καὶ φιλοδοξίᾳ καὶ φιλαρχίᾳ καὶ φιλοτιμίᾳ.*

Καίτοι τούτων ἁπασῶν οὐκ ἂν ὀκνήσαιμι φάναι μητέρα πλεονεξίαν. Τίς οὖν ἔχων ταύτην ἐν τῇ ψυχῇ δύναται καλὸς κἀγαθὸς γενέσθαι; τίς δ' οὐκ ἂν εἴη θανάτων ἄξιος μυρίων, εἰ μὴ μισήσειε τὸ τοιοῦτον αἶσχος τοῦτο; πολὺ δὴ μᾶλλον ἔτι μισητέον ἐστὶ καὶ φευκτέον αὐτὸ τοῖς σωθῆναι βουλομένοις νέοις, ὡς, ἐὰν φθάσωσιν ἐκτραφέντες ἀπλήστως χρημάτων ἐπιθυμεῖν, δυνατὸν ‖ οὐκέτ' αὐτοῖς μετὰ τετταρακοστὸν 54 *ἔτος ὠφεληθῆναι. τίθει δ' εἰ βούλει πεντηκοστόν, ἵνα*

4. *γνῶναί τ' αὐτὸς δ.* γν. τ' ἂν οὕτως δύνασθαι* L *τι τῶν πρότερον εἰρ.* τι τῶν πρῶτον εἰρ.* O *τί πρὸ τῶν* L ‖ 6. *ὅς θ'* ὅστις* LO ‖ 7. *ἀναμ. αὐτ̃* L ‖ 8. *ἔχεται* ἔχεσθαι* LO ‖ 9. *ἑαυτοῦ τε παράδ.* L *παρέχει ὧν* παρέχων ἐν ἅπασιν, ὧν* L *λέγειν — προτρέπειν* L ‖ 15. *φιλοχρηματίᾳ καὶ σμικρολογίᾳ* -τίαις, -γίαις* L ‖ 21. *μᾶλλον ἔτι* L ‖ 22. *αὐτὸ τοῖς* αὐτοῖς* L Pr. XXXVI ‖ 24. *οὐκέτι αὐτοῖς ἔτι* L

μή τις ημᾶς ἀπανθρώπους φῇ, καθάπερ ἤκουσά τινος λέγοντος ἥττονος μὲν ἀνθρώπου καὶ λιχνείας καὶ ἀφροδισίων καὶ δόξης καὶ τιμῆς, οὐκ ἔχοντος δὲ πλοῦτον, εἶτ' ἀνιωμένου, διότι μηδενὸς ἐτύγχανεν ὧν ἐφίετο. Καὶ γὰρ οὖν καὶ οὗτος ἐπειδὴ πολλῷ χρόνῳ μετ' ἐκείνην τὴν ἡμέραν ἑώρα φαιδρὸν ἐμέ, αἰσθόμενος ἑαυτοῦ κακοδαιμονοῦντος, ἐδεῖτο διδάσκειν ὅπως ἂν αὐτὸς μὴ ἀνιῷτο. Φάντος δ' ἐμοῦ, ἔτι πλειόνων ἐτῶν δεῖσθαι πρὸς ἐπανόρθωσιν ὧν ηὔξησε μέχρι δεῦρο παθῶν, ἀνακραγὼν εἶπεν· 'Οὐδὲν ἀπανθρωπότερον σοῦ' ὥσπερ ἐμοῦ σπουδάζειν δυνηθέντος μὲν ἄν, εἰ ἐβουλήθην, ἄλυπον αὐτὸν ἐργάσασθαι τάχιστα, φθονήσαντος δ' αὐτῷ τῆς εὐεργεσίας, καίτοι μόνου τούτου τῶν μαθημάτων οὐδεὶς τῷ πέλας δύναται φθονῆσαι. Συμφέρει γὰρ ἡμῖν, ἅπαντας ἀνθρώπους οἷς συνδιατρίβομεν ἔξω τῶν ψυχικῶν παθῶν εἶναι μήτε φιλοδοξίαν μήτ' ἄλλο τι τοιοῦτο τὴν ψυχὴν λελωβημένους.
55 *Ὅσῳ γὰρ ἂν ὦσι βελτίονες οἵδε, τοσούτῳ καὶ ‖ ἡμῖν ὠφελιμώτεροι φίλοι γενήσονται. Πάλιν οὖν ἐπὶ τὸν καλὸν κἀγαθὸν ἄνδρα γενέσθαι βουλόμενον ἐπανελθὼν ὑποθήσομαι τὴν κοινὴν ὁδὸν εἰς ἅπαντα τὰ κατὰ τὴν ψυχὴν ἡμῶν καλά. χρὴ γὰρ ἑαυτῷ ἐπιστάτην ἐπιστῆσαι τό γε κατ' ἀρχάς, ὅς ἐφ' ἑκάστῳ τῶν πραττομένων*

2. *ἥττονος μὲν ἀνθρώπου* L ‖ 3. *οὐκ ἔχοντος δὲ* οὐκ ἔχοντὸν δὲ* L *οὐκ ὀλίγον τὸν δὲ πλούσιον* AB ‖ 4. *εἶτ' ἀνιωμ.* εἴτ' ἀνιωμένου* L *ἑνὸς ἡττώμενον* K ‖ 5. *καὶ γὰρ οὖν καὶ οὗτος ἐπειδὴ* L *πολλῷ χρόνῳ* μετ' ἐκείνην τὴν* μεθ' ἑκάστην* L ‖ 6. *αἰσθόμενος ἑαυτοῦ κακοδαιμ.* L *αὐτοῦ κακοπραγ.* ChK *ἐμὲ αὐτὸν κακο* . . . . AB ‖ 8. *φάντος δ' ἐμοῦ* L *ἔτι πλειόνων ἐτῶν* ἢ πάλ ἐτῶν* L *οἱ πάλιν ἐτῶν* AB *οἱ πλεόνων ἐτῶν* ChK ‖ 9. *ὢν μέχρι δ. ηὔξ.* L ‖ 12. *φθον. δ' αὐτῶ τῆς* φθον. δέ τινος* LO ‖ 13. *μόνου τούτου** ‖ 14. *τῷ πέλας* τῶν πέλας* LO ‖ 20. *καλὸν κἀγαθὸν ἄνδρα* ἀληθῆ ἄνδρα* L Pr. LIII ‖ 22. *χρὴ γὰρ ἑαυτῷ* αὐτῷ τὸ ἐπιστατεῖν ἐπιστῆσαι* L ‖ 23. *ὃς ἐφ' ἑκάστῳ* ὅστις*

ἀναμνήσει τὸ παρορώμενον. ἔστι γὰρ ἐνίοτε δυσδιό-
ριστον ἐν ταῖς πράξεσι τὸ κατὰ σμικρολογίαν πραττό-
μενον τοῦ κατ' οἰκονομίαν. [ὥστ' ἀδύνατόν ἐστι νῦν
ὁρίσαι τοῦτο τῷ πρῶτον ἀρχομένῳ τὸ τῆς φιλοχρηματίας ἐκ-
κόπτειν πάθος. ὥσπερ δ' ἐν τούτῳ ἡ ἀρετὴ γειτνιᾷ τῇ κα-
κίᾳ, κατὰ τὸν αὐτὸν τρόπον τῆς φιλοτιμίας ἐκκοπτομένης.
ἀναίσχυντον γὰρ κατὰ τὰς καλῶς πεφυκυίας ψυχάς.] ἑτέ-
ρους οὖν εἶναι ⟨χρὴ⟩ τοὺς ὀψομένους τὰ τῶν σωθῆ-
ναι δυναμένων νέων ἁμαρτήματα, πρεσβύτας μὲν τὴν
ἡλικίαν, ἐν ὅλῳ δὲ τῷ βίῳ πεῖραν ἱκανὴν δεδωκότας
ἐλευθέρας γνώμης, οἷς ἐπιτιμῶσιν οὐκ ἀντιτείνειν
οὐδ' ἀπεχθάνεσθαι προσήκει, ἀλλὰ χάριν εἰδέναι καὶ
παρακαλεῖν ἀεὶ λέγειν τἀληθῆ καὶ γνόντας αὐτὸ πει-
ρᾶσθαι — κἂν εἰ μὴ κατὰ μεγάλα μόρια, κατὰ σμικρὰ 56
γοῦν ἀποκόπτειν τι τοῦ μεγέθους τῶν παθῶν, εἰ καὶ
χαλεπὸν ἐν ἀρχῇ τοῦτο καὶ μετὰ πολλῆς ταλαιπωρίας
φαίνοιτο γιγνόμενον, ἐννοοῦντας, οὐχ ὁμοίως ἔτι χα-
λεπὸν ἔσεσθαι τοῦ χρόνου προϊόντος. Ὅσῳ γὰρ ἂν
αὔξηται ἡμῶν τὸ λογιστικὸν ἐν ταῖς τοιαύταις ἀσκή-
σεσι, καθ' ἅσπερ ἡττᾶται καὶ μειοῦται τὰ πάθη,
τοσούτῳ ῥᾷον ὕστερον ἡ παντελὴς ὑποταγή. Ὅπου
γὰρ ἔτι μεγίστων ὄντων ἐκράτησεν ὁ λογισμὸς ἀγύ-
μναστος ὤν, εὔδηλον, ὡς μᾶλλον κρατήσει διττῆς ὑπερ-
οχῆς ἐν τῷ χρόνῳ προσγενομένης αὐτῷ. καὶ γὰρ
αὐτὸς ἐξ ὧν ἐγυμνάσατο πολὺ γενναιότερος ἔσται, κἀ-
κείνοις λυσιτελήσει μικροτέροις γιγνομένοις. ἤρκει δὲ

ἐφ' ἐκ. L; utrumque abest O πραττομένων ἀναμνήσει om. ὃς L ‖ 4. τούτῳ τῷ πρώτῳ ἀρχομένῳ L ‖ 7. ἀναισχυντία γὰρ L τὰς καλῶς πεφυκ. L ‖ 8. ἑτέρους οὖν L εἶναι ⟨χρὴ⟩* ‖ 14. κἂν εἰ L ‖ 17. ἔτι χαλεπόν* ἀπὸ χαλεπὸν L ‖ 18. ὅσῳ γὰρ L ‖ 20. καθ' ἅσπερ* Pr. XXXVI ‖ 21. τοσούτῳ* ‖ 23. κρατήσειν L ‖ 24. προσγενομένης L ‖ 26. λυσιτελήσει* διαπελέσαι L

καὶ θάτερον αὐτῶν μόνον εἰς τὴν τοῦ μέλλοντος ἐλπίδα, διόπερ ἐν ἀρχῇ τῆς ἀσκήσεως οὐ προσήκει ἀθυμεῖν, ὀλίγην ἐπίδοσιν ἑαυτῷ γιγνομένην αἰσθανόμενον ἐν τῇ τῶν παθῶν ἰάσει. Μεγάλη γὰρ ἔσται τοῦ χρόνου προϊόντος, ἐὰν μόνον ὑπομείνῃ τις ἀκούειν ὧν ἁμαρτάνει τὴν ἀληθινὴν φιλίαν ἑαυτὸν φιλήσας καὶ
57 *βουληθεὶς γενέσθαι καλὸς κἀγαθός, ‖ οὐ φαίνεσθαι μόνον.*

Ἡ μὲν δὴ τῶν παθῶν τῆς ψυχῆς γνῶσις τε καὶ θεραπεία κατὰ τὴν εἰρημένην ὁδὸν γίγνεται. περὶ δὲ τῶν ἁμαρτημάτων ἐφεξῆς εἰρήσεται.

4. *μεγάλη* Ak *μεγάλα* LO ‖ 5. *ὑπομείνῃ* L ‖ 10. *γίγνεται* L

LIBER SECUNDUS.

Cap. I. *Ἡ μὲν δὴ τῶν παθῶν ἐν ἑκάστου ψυχῇ* K. p. 58 *διάγνωσίς τε καὶ θεραπεία κατὰ τὴν εἰρημένην ὁδὸν ἐν τῷ πρὸ τούτου γράμματι λέλεκται, περὶ δὲ τῶν ἁμαρτημάτων ἐφεξῆς ἂν εἴη ῥητέον. Ἄρχομαι οὖν καὶ νῦν ἀρχὴν ἀρίστην, ὡς ἅπαντες ὁμολογοῦσιν, εἰ καὶ μὴ διὰ τῶν ἔργων ἐπιδείκνυται, τί ποτε λέγουσιν ἁμάρτημα λόγῳ διελθών, ὅπως θ' ἡμῖν ἀμφιβολία μηδεμία κατὰ τὸν ἑξῆς λόγον ὑπολείποιτο, ‖ δεικνὺς ὥς γ'* 59 *εἰώθασι χρῆσθαι τῇ φωνῇ ταύτῃ πάντες οἱ Ἕλληνες. Ἐνίοτε μὲν γὰρ ἰδίως ἐπὶ τῶν κατὰ κρίσιν οὐκ ὀρθῶς γιγνομένων, ὡς εἶναι τοῦ λογιστικοῦ μόνου τῆς ψυχῆς, ἐνίοτε δὲ κοινῇ, ὡς καὶ τῆς ἀλόγου δυνάμεως ἅπτεσθαι* . . . . *τί συγκατάθεσις συνωμολόγηται πᾶσι· τί δὲ συγκατάθεσις ἀσθενής, οὐκέτι·*

1. *παθῶν ἐν ἕκαστον ψυχῇ* LO *π. τῆς ἐν ἑκάστου ψυχῆς* l *τῆς ἐν ἑκάστῃ ψυχῇ* M ‖ 4. *ἁμ. ἐφεξῆς* K *ἐφ. ἁμαρτ.* LlMO *οὖν* LO *γοῦν* lM ‖ 5. *ὡς ἅπαντες* LlM *ἦν ἀπ.* O ‖ 6. *ἐπιδείκνυται* LlAB *-νυνται* ChK ‖ 7. *θ'* ante *ἡμῖν* addidi* ‖ 10. *μὲν γὰρ ἰδίως** *μὲν ἰδίως* lM *μὲν γὰρ* O *μὲν* (om: *γὰρ* et *ἰδίως*) L ‖ 12. Post *ἅπτεσθαι* in codd. spatium trium versuum vacuum relictum ‖ 13. Post *συγκατάθεσις* eieci ineptum *ἁμαρτήματος** ‖ 14. *τί δὲ συγκατάθεσις ἀσθενής** *τί δὲ καὶ εἰς ἀσθενεῖς* LlM *τί δὲ καὶ ἀσθενὴς* O

μεταξὺ γὰρ δοκεῖ τισιν ἄμεινον εἶναι τίθεσθαι την ἀσθενῆ συγκατάθεσιν ἀρετῆς τε καὶ κακίας. ἀσθενῆ δὲ λέγουσι συγκατάθεσιν, ὅταν μηδέπω πεπεικότες ὦμεν ἡμᾶς αὐτοὺς οὕτως ἀληθῆ τήνδε τινὰ δόξαν ὑπάρχειν, ὡς τὸ Πέντε δακτύλους ἔχειν, εἰ τύχοι, καθ' ἑκατέραν χεῖρα, καὶ τὸ Τὰ δὶς δύο τέτταρα εἶναι. [ἴσως μὲν ἐπὶ πρεσβύτου δι' ὅλου τοῦ βίου σχολάσαντος εὑρέσει τῶν ἀληθῶν [ἁμαρτημάτων] ἢ συγκαταθέσθαι τινὶ τῶν ἀπόδειξιν ἐπιστημονικὴν ἐχόντων ἀσθενῶς.] Ἐπιστήμη γοῦν ἐστι τοῦ γεωμετρικοῦ τοιαύτη περὶ τὰ δεδιδαγμένα διὰ τῶν Εὐκλείδου στοιχείων, ὁποία τῶν πλειόνων ἐστὶ τοῦ Τὰ δὶς δύο τέτταρα εἶναι. τὴν δ' αὐτὴν ἐπιστήμην
60 *ἔχει καὶ περὶ τῶν ἐφεξῆς τούτοις ‖ διδασκομένων σφαιρικῶν θεωρημάτων, ὥσπερ γε καὶ τῶν κατ' αὐτὰ ἀναλυομένων ἁπάντων, ἔτι τε τῶν κωνικῶν καὶ τῶν γνωμονικῶν. Ἐὰν οὖν ἀμφιβάλληταί τις βραχυ καὶ μηδ' ἰδίαν ἐν τούτοις ἔχῃ συγκατάθεσιν, ἣν κατάληψιν ὀνομάζουσί τινες, ἁμάρτημα τοῦτ' εἶναι συγχωρήσειεν ἄν τις, ὡς γεωμετρικοῦ δῆλον ὅτι τἀνθρώπου. Τοῦ μέντοι κατὰ τὸν βίον ἁμαρτάνοντος ἐν τοῖς περὶ ἀγαθῶν τε καὶ κακῶν γνώσεώς τε καὶ κτήσεως καὶ φυγῆς αἱ μοχθηραὶ δόξαι συνίστανται καὶ ψευδὴς συγκατάθεσις ἢ προπετὴς ἢ ἀσθενής. Ἐνταῦθ' οὖν ἤδη κίνδυνος·*

1. *μ. γὰρ τοῦτο δοκεῖ* lM ‖ 5. *ὡς τὸ π.** G *ὥστε* O ‖ 6. *καὶ τὸ τὰ** ‖ 7. num *ἔστι πρεσβύτου*?* ‖ 8. *εὑρέσει* LlM *εὑρήσεις* O — [*ἁμαρτημάτων*] inclusi. * Pr. LXIII ‖ 10. *δεδιδαγμένα* LM *δεδειγμένα* O ‖ 11. *τῶν πλείονων** *τῶν πόνων* LM *τῶν μορίων* (?) O ‖ 15. *ἔτι τε τῶν* LM *κωνικῶν* GK *κωμικῶν* O ‖ 16. *τις* ante *βραχὺ* * ‖ 17. *ἐν τούτοις* * *μήτ' ἰδ. ἑαυτοῖς* LO ‖ 18. *τοῦτ' εἶναι** *εἶναι τοῦτο* LO ‖ 22. *καὶ ψ. συγκ. ἢ προπετὴς ἢ ἀσθενής** *κατὰ ψεύδους ἐγκατάθεσις* LAB *καὶ ψευδεῖς ἐγκατάθεσις* Ch G *ψευδεῖς, συγκατάθεσις* K

ὡς μικρὸν ἁμάρτημα μέγιστον, ἐὰν ψευδῶς συγκαταθώμεθα τῇ περὶ τῶν ἀγαθῶν τε καὶ κακῶν δόξῃ.

Κατὰ μὲν τοὺς Ἀκαδημαϊκούς τε καὶ Πυρρωνείους οὐ συγχωροῦντας ὧν ζητοῦμεν ἀπόδειξιν ἐπιστημονικὴν ἔχειν ἡμᾶς, ἅπασα συγκατάθεσις ἐξ ἀνάγκης μέν ἐστι προπετής, ἐνδέχεται δ' αὐτὴν εἶναι καὶ ψευδῆ. καὶ τὰς τῶν ἀποφαινομένων φιλοσόφων ὑπὲρ ἀγαθῶν τε καὶ κακῶν ἀλλήλαις μαχομένας δόξας οὐκ ἐγχωρεῖ, φασίν, ἁπά||σας ἀληθεῖς εἶναι, δύνασθαί γε μὴν ἴσως 61
εἶναι ψευδεῖς ἁπάσας, ὡς μήθ' ἡδονὴν τὸ ἀγαθὸν εἶναι μήτ' ἀοχλησίαν μήτ' ἀρετὴν ἢ τὴν κατ' αὐτὴν ἐνέργειαν ἢ ὅλως ὁτιοῦν ἄλλο τῶν εἰρημένων τοῖς φιλοσόφοις. Πρῶτον οὖν ἐπισκέψασθαι δεῖ τὸν ἀναμάρτητον εἶναι βουλόμενον, εἰ ἔστιν ἀπόδειξις ἀδήλου πράγματος, εἶθ' ὅταν εὕρῃ, ζητῆσαι μὴ κατὰ τὸ πάρεργον αὐτὸν μόνον, ἀλλ' ἐν χρόνῳ συχνῷ μετα τῶν ἀληθεστάτων ἀνδρῶν καὶ φύσει συνετῶν καὶ γεγυμνασμένων ἐν θεωρίαις λογικαῖς, ὁποία τίς ἐστιν ἡ ἀποδεικτικὴ μέθοδος, εἶτ' ὅταν πεισθῇ τοιαύτην εὑρηκέναι, μετὰ τοῦτο χρόνῳ πολλῷ πάλιν ἀσκηθῆναι, πρὶν ἐπὶ τὴν τῶν μεγίστων ἰέναι ζήτησιν, ἣ διὰ τὸ ἀγαθόν, ὅπερ δὴ καὶ τέλος ὀνομάζουσι τοῦ βίου, κτηθὲν εὐδαίμονας ἡμᾶς ἢ μακαρίους ἢ ὅπως ἂν ἄλλως ὀνομάζειν ἐθέλῃ τις, ἐργάζεται.

1. ἅμα ante ἁμάρτημα expunxi* Pr. XXXIV ὡς μικρῷ τὸ ἁμαρτ. M συγκαταθώμεθα τῇ περὶ τῶν L συγκατατιθέμεθα τῇ περὶ τῶν M ‖ 5. ἅπασα συγκατάθεσις * ἅπασα νῦν κατάθεσις M ἅπασαι συγκ. LO ‖ 6. ἐστὶ προπ. M εἰσὶ προπ. LO ‖ 7. ἀποφαινομένων L — φηναμ. MO ‖ 14. ἢ ἔστιν LAB ἢ ἐστὶν M ‖ 15. εἶθ' ὅταν* ἦτ' ἂν M καὶ ὅταν G ‖ 16. αὐτὸν μ.* ‖ 17. φύσει συν.* ‖ 19. τοιαύτην* πεισθῇ τις αὐτὴν K πεισθείη τῆς αὐτῆς LM ‖ 20. ἀσκηθῆναι ἔστι M

Cap. II. Ἀρ' οὖν, ὦ πρὸς θεῶν, οἱ χωρὶς τοῦ
πεῖσαι πρότερον ἑαυτούς, ὅτι τὴν ἀποδεικτικὴν μέθο-
62 δον ἴσασιν, ‖ ἐπιχειροῦντες εὑρέσει μεγίστων πραγμά-
των, οὐ φανερῶς εἰσι προπετεῖς; ἐμοὶ μὲν καὶ πάνυ
δοκοῦσι· παραπλήσιον γάρ τι ποιοῦσι τοῖς πρὸ τοῦ
πεῖσαι σφᾶς αὐτοὺς ἱκανῶς ἐπὶ τῶν ἀριθμῶν γεγυ-
μνάσθαι τολμῶσιν ἀποφαίνεσθαί τι περὶ λογιστικῶν ἢ
ἀριθμητικῶν θεωρημάτων. Ὥσπερ οὖν τούτους ἀναγ-
καῖον σφάλλεσθαι πολλαχόθι, κατὰ τὸν αὐτὸν τρόπον
ὅσοι πρὸ τοῦ γυμνάσασθαι κατὰ τὴν ἀποδεικτικὴν μέθ-
οδον ἐπιχειροῦσιν ἀποδεικνύειν, ἀδύνατον αὐτοῖς μὴ
σφαλῆναι. Ὅτι μὲν γὰρ ἔνιοι τῶν ψευδολόγων πεί-
θουσί τινας, εὔδηλον ἐκ τοῦ πλήθους τῶν αἱρέσεων,
ὅτι δ' οὐκ ἂν ἔπειθον, ὡς ἀληθῶς, εἰ μή τις ἦν ἐν
τοῖς λόγοις ὁμοιότης, οὐδὲ τοῦτ' ἄδηλον. καὶ πάνυ σμι-
κράν γε χρὴ νομίζειν εἶναι τὴν ὁμοιότητα· ῥᾷστα γὰρ
ἂν ἐφωράθη καὶ οὐ πολλῷ χρόνῳ βασανιζομένη πρὸς
ἀνδρῶν ἀξιολόγων. Ὅπερ οὖν Ἱπποκράτης ἐπὶ τῶν
κατὰ τὴν ἰατρικὴν τέχνην εἶπε, τοῦτο φαίνεται καὶ
κατὰ φιλοσοφίαν ὑπάρχειν. Ἱπποκράτης δ' εἶπε, τὰς
63 ὁμοιότητας πλάνας καὶ ἀπορίας ‖ ἐργάζεσθαι καὶ τοῖς
ἀγαθοῖς ἰατροῖς, ὡς οὐ μόνον τῶν ἐπιτυχόντων ἰατρῶν
ἐν ταῖς ὁμοιότησι σφαλλομένων, ἀλλὰ καὶ τῶν ἀρίστων.

5. πρὸ τοῦ MO πρὸς τοῦ L ‖ 6. ἀριθμῶν GK ἀρετῶν LMO τολμῶσιν ἀποφ. G τελείωσιν τολμῶσιν ChK τελείωσιν (om. τολμῶσιν) LMAB Pr. XXXIV ‖ 8. ἀναγκαῖον σφ. L ἀναγκ. ἐστι σφ. MO ‖ 12. σφαλῆναι M σφαλθῆναι LO ‖ 14. ὅτι δ' οὐκ LM ἦν ἐν τοῖς λόγοις ὁμ.* Pr. XXXII ἦν αὐτοῖς ὁμ. LO ‖ 15. τοῦτ' ἄδηλ.* ταῦτα δῆλον LMO οὐδὲ ταῦτ' ἄδηλον Cob. VIII, 244 καὶ πάνυ σμικρὰν* καὶ οὐ σμικρὰν L ὡς οὐ σμικρὰν MO ‖ 17. καὶ οὐ πολλῷ χρ.* Pr. XLIII ‖ 19. ἰατρικὴν τέχνην M ἰατρ. πραγμάτων LO ‖ 20. καὶ κατὰ φ.* καὶ φιλοσ. M κατὰ φιλ. LO

Ὥστ' οὐκ ἀπεικός ἐστι καὶ τοῖς ἀγαθοῖς φιλοσόφοις ἐν τοῖς κατὰ φιλοσοφίαν ἀπορίας τε καὶ πλάνας γίγνεσθαι. ὥσπερ γὰρ τὰς ὁμοιότητας τῶν διδύμων οἱ συνήθεις μὲν ἑτοίμως διαγιγνώσκουσιν, οἱ δ' ἀήθεις οὐ δύνανται, κατὰ τὸν αὐτὸν λόγον οὐδὲ τὰς ἐν τοῖς λόγοις ὁμοιότητας ὅσοι μὴ πάνυ τρίβωνες λόγων ὑπάρχουσι μήδ' ἑκάστης ἡμέρας ὥσπερ οἱ τῶν διδύμων ἀδελφῶν ὁμοδίαιτοί τε καὶ ἐθάδες, ἱκανοὶ διαγιγνώσκειν εἰσίν. Ἓν μὲν δὴ πρῶτον τοῦθ' ἁμάρτημα μέγιστόν ἐστι τῶν προπετῶς ἀποφηναμένων τι περὶ τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἀγαθῶν τε καὶ κακῶν ἐκ φιλαυτίας ἢ ἀλαζονείας ἢ δοξοσοφίας ἢ φιλοτιμίας φυόμενον. ἐνίους μὲν γὰρ ἀναπεπεικότας ἑαυτοὺς ὁρῶμεν, ὡς ὀρθῶς δοξάζουσιν, ἐνίους δὲ τιμῆς ἕνεκεν ἢ πρὸς χρηματισμὸν τοὺς πέλας μὲν ἀναπείθοντας, αὐτοὺς δ' ὑπόπτως ἔχοντας, ὑπὲρ ὧν λέγουσιν. Ἁμαρτάνουσιν ἑκάτεροι δῆλον ὅτι γιγνώσκοντες μὲν οἱ δεύτεροι — καὶ εἴη ἂν αὐτῶν ἐμπαθὲς ‖ τὸ κακόν — ἀγνο- 64
οῦντες δ' οἱ πρότεροι — καὶ εἴη ἂν αὖ καὶ τούτων τὸ σφάλμα κατὰ τὸ καλούμενον ἰδίως ἁμάρτημα.

Καλῶς οὖν ποιήσουσιν οὗτοι τῶν Αἰσώπου πηρῶν ἀναμνησθέντες ἐπιτρέψαντές τε κρῖναι τὰς ἑαυτῶν δόξας ἑτέροις, οὐ μὰ Δία τοιούτοις, οἷοί περ αὐτοὶ τυγχάνουσιν ὄντες, οὐ μόνον ἀγύμναστοι μεθόδων ἀποδεικτικῶν, ἀλλὰ καὶ τῶν ἄλλων μαθημάτων, ἐν οἷς ἡ ψυχὴ θήγεται, γεωμετρίας ἀριθμητικῆς λογιστι-

1. *ὥστ' οὐκ* ChK ‖ 3. *ὥσπερ γὰρ τὰς* * Cob *περὶ τὰς* LO ‖ 8. *ἐθάδες* LM ‖ 9. *μέγ. ἐστι* M *ἐστὶ μέγ.* LO ‖ 12. *ἀλαζ. ἢ δοξ.* LM *δοξοσ. ἢ ἀλαζ.* O ‖ 14. *ὁρῶμεν* inserui* Pr. XXXII *ἔστιν ἰδεῖν* G ‖ 15. *πρὸς χρηματισμόν** Pr. XXXVI *προχρηματισμοῦ* L *προσχηματισμοῦ* MO ‖ 22. *τε κρῖναι** *εἶναι* om. *τε* L

κῆς ἀρχιτεκτονίας ἀστρονομίας. Ἔνιοι δ' αὐτῶν οὔτε ῥήτορος οὔτε — τὸ προχειρότατον δὴ τοῦτο — γραμματικοῦ διδασκαλίας τυχόντες φαίνονται ἀλλ' οὕτως ἀγύμναστοι περὶ λόγους ὄντες, ὡς μὴ παρακολουθεῖν οἷς ἀκούουσιν ὑφ' ἡμῶν λεγομένοις. Ἅπερ ἐγὼ κατανοήσας ὅταν εἴπω τινὰ λόγον, ἀξιῶ παρ' αὐτῶν ἀκοῦσαι τὰ ῥηθέντα· φαίνονται γὰρ ὄντως καθάπερ οἱ ὄνοι τῆς λύρας οὕτω καὶ αὐτοὶ μηδ' ὅλως οἷς εἶπον ἠκολουθηκότες· ἀλλ' ὅμως καὶ αὐτοὶ θράσους ἢ τόλμης εἰς τοσοῦτον ἥκουσιν, ὡς μηδὲ καταγελώμενοι 65 *πρὸς τῶν τὰ γράμματα μεμαθηκότων ἐπὶ ‖ τῷ μὴ δύνασθαι διελθεῖν, ἃ ἤκουσαν, αἰδεῖσθαι, νομίζειν δὲ τὴν ἀλήθειαν ἑαυτοῖς ἐγνῶσθαι, τοὺς δὲ πεπαιδευμένους μάτην ἀπολωλεκέναι τὸν χρόνον. Ἀλλ' οὐ τούτους ἐλπίζων ὠφελήσειν εἰς τόνδε τὸν λόγον ἧκον· οὐδὲ γάρ, εἰ βουληθεῖεν, οἵ γε πλείους αὐτῶν ὠφεληθῆναι ἄν τι δυνήσονται, μηδὲ τὴν ἡλικίαν ἐπιτήδειον ταύτην τὴν πρὸς παίδευσιν ἔχοντες. Ὅστις δὲ φύσει συνετός ἐστι καὶ μέχρι τούτου γοῦν ἐγυμνάσατο κατὰ τὴν πρώτην παιδείαν, ὡς, ὅσα περ ἂν ἀκούσῃ, μάλιστα μὲν ἀπὸ στόματος αὐτίκα δύνασθαι λέγειν, εἰ δὲ μή, γράψαι γε δύνασθαι, βοήθειαν ἕξει τόνδε τὸν λόγον, ἤν γ' ὅλως ἀληθείας ὀρεχθῇ. τοῦτο γὰρ ἐπ' ἐκείνῳ σύμπαν ἐστί, καὶ χρὴ πεφυκέναι μὲν πρῶτον πρὸς ἀλήθειαν, εἶτα δεῖται παιδείαν τετράφθαι χρηστήν.*

3. Post *τυχόντες* inserui *φαίνονται** ‖ 5. *οἷς ἀκ.** *τοῖς ἀκ.* L O ‖ 6. *ὅταν εἴπω τι λόγον* L M *ὅταν τι λόγον εἴπω* O *τινα λ.* G K ‖ 12. *ἤκουσαν* M G *ἤκουσα* L O ‖ 13. *ἑαυτοῖς ἐγνῶσθαι** *ἑαυτοὺς* L M O ‖ 18. *ταύτην τὴν πρὸς** *αἰτεῖν πρὸς* L ‖ 20. *ὡς ὅσα** Pr. XXX ‖ 22. *τόνδε τ. λ.* L M ‖ 24. Post *σύμπαν ἐστὶ* Ch K perperam inseruerunt '*πρὸς ἀλήθειαν*' quae nos transposuimus Pr. XLII ‖ 25. *παιδείαν τετράφθαι χρηστήν** *τετράφθαι χρηστῆς* M *χρη-*

τῷ δὲ μήτε φύντι πρὸς ἀλήθειαν, ἐν ἐπιτηδεύμασί τε μοχθηροῖς τε καὶ ἀσελγέσι τραφέντι παντάπασιν ἀδύνατόν ἐστιν ὀρεχθῆναί ποτ' ἀληθείας ἢ ἐξ αὐτοῦ λαβόντι τὴν τοιαύτην ὁρμην ἢ ὑπ' ἄλλου προτραπέντι. Οὔκουν οὐδ' ἐγώ ποτ' ‖ ἐπηγγειλάμην ὠφελήσειν τὸν 66 *τοιοῦτον, ἀλλ', ὡς ἔφην, ὃς ἂν ἀληθείας ᾖ φίλος, ἐκείνῳ τὴν ὁδὸν ἐπιδεῖξαι καθ' ὅσον οἷός τ' εἰμί, πειράσομαι, ζητήσας μὲν αὐτὴν ἐν ὅλῳ τῷ βίῳ, πεπεικὼς δ' ἐμαυτὸν ἣν ἐρῶ νῦν εἶναι μόνην.*

Cap. III. *Ἀξιῶ γὰρ ἐκμαθόντας, ὅσα περὶ τῆς ἀποδεικτικῆς μεθόδου γέγραπται τοῖς πρὸ ἡμῶν ἐπ' ἄλλων πραγμάτων πρότερον αὐτῆς λαβεῖν πεῖραν, εἰ ὄντως εὑρίσκει τι τῶν ζητουμένων, εἶναι δὲ τῶν τοιούτων πραγμάτων φύσιν ἱκανὴν μαρτυρῆσαι τοῖς εὑροῦσιν αὐτά, καθάπερ ἐπὶ τῷδε τὴν δοθεῖσαν εὐθεῖαν εἰς τὰ ἐπιταχθέντα μέρη διελεῖν.*

Ἴσως δ' οὐ νοοῦσιν οἱ παντάπασιν ἀμαθεῖς, ὅ τι ποτὲ λέγεται. ἐγὼ δὲ καθάπερ ὅλοις αὐτοῖς ἐπιχειρήσω σαφέστερον εἰπεῖν· εὐθεῖαν μὲν δοθεῖσαν ὁ λόγος λέγει τὴν προτεθεῖσαν ἐπί τινος ἀκριβῶς ὁμαλοῦ ἐπιπέδου, τὰ δ' ἐπιταχθέντα μέρη κατὰ τὴν βουλὴν τοῦ προλαβόντος, εἴτ' εἰς πέντε διελεῖν ἴσα τὴν προτεθεῖσαν εὐθεῖαν εἴτ' εἰς ἑπτὰ κελεύσειεν εἴτ' εἰς εἴκοσιν ἢ ἑκατόν. Ἐὰν γὰρ εὑρὼν μέθοδον ἰδίαν ἢ παρ' ἑτέρου ‖

στόν L1 ‖ 2. *τε μοχθηροῖς* LM ‖ 5. *τὸν τοιοῦτον* M *ποτε τοιοῦτ.* O Utrumque om. L ‖ 6. *ὃς ἂν — ᾖ φ.** *εἰ — ᾖ φίλος* M *ὃς ἂν — ἐστὶ φίλος* LO ‖ 9. In verbis *ἣν ἐρῶ νῦν εἶναι μόνην* desinunt codices M et 1 ‖ 10. *ἀξιῶ γὰρ ἔφην* LO ‖ 16. *εἰς τὰ** *ἢ τὰ* LO ‖ 22. *εἴτ' εἰς π.** *εἴ τις εἰς* LO ‖ 23. *εἴτ' εἰς ἑπτὰ** *ἢ τοῖς ἑπτὰ* LAB *ἢ ἑπτὰ* ChK *ἢ εἰς ἑπτὰ* G *κελεύσειεν* GChK *κελεύουσιν* LAB *εἴτ' εἰς εἴκοσιν** *ἓν εἴτ εἰσ* L *ἓν ἤτοι εἰς* AB *ἤτοι εἰς* om. *ἓν* K *ἓν* et *ἤτοι* om. Ch ‖ 24. *ἢ ἑκατὸν* om. *εἰς* L *εὑρὼν** *εὕρῃς* LO *ἰδίαν** *μίαν* LO

4*

67 διδαχθείσῃ χρώμενος εἰς ὅσα περ ἂν ἐθέλῃς μέρη τὴν
προτεθεῖσαν εὐθεῖαν διορίσῃς, αὐτὸ μαρτυρήσει σοι
τὸ πρᾶγμα, φανεῖ θ' ἅπαντα τὰ μέρη τῆς οὕτω διαι-
ρεθείσης ἀκριβῶς ἴσα, φανεῖ τε καὶ τὰ τοιαῦτα πάντα
προβλήματα βεβαίως εὑρημένα δι' αὐτῶν τῶν ἐναργῶς
φαινομένων, οἷον ὅταν περιγράψαι τῷ δοθέντι τετρα-
γώνῳ κύκλον ἐπιταχθῶμεν, κατὰ ταὐτὰ δὲ καὶ τῷ δο-
θέντι κύκλῳ τετράγωνον περιγράψαι ἢ ἐγγράψαι, καὶ
πάλιν περὶ τὸ δοθὲν πεντάγωνον ἰσόπλευρόν τε καὶ
ἰσογώνιον κύκλον περιγράψαι. Ἐὰν γάρ τις ἕκαστον
τῶν τοιούτων δι' ἧς ἔμαθεν μεθόδου περιγράψαι πα-
ραχρῆμα δυνηθῇ, πρὸς αὐτοῦ τοῦ πράγματος μαρτυ-
ρήσεται τὸ ζητούμενον εὑρηκώς, οὐ μὴν εἰ γέγονεν ἢ
ἀγέννητος ὁ κόσμος ἐστὶ δύναται τὸ πρᾶγμα αὐτὸ
μαρτυρῆσαι, καθάπερ οὐδ' εἰ πεπερασμένον ἢ ἄπειρον
τὸ πᾶν ἢ πόσος ὁ τῶν κυμάτων ἀριθμός· οὐδὲν γὰρ
τῶν τοιούτων ζητημάτων ὑπ' αὐτοῦ τοῦ δοκοῦντος
εὑρίσκεσθαι πράγματος ἐπικρίνεται, καθάπερ, ἐὰν ἐπι-
ταχθῇς τῷ κύκλῳ δωδεκάγωνον ἰσόπλευρόν τε καὶ
68 ἰσογώνιον περιγράψαι ‖ ἢ ἐγγράψαι, εὐθέως τοῦτο ποιή-
σεις. καὶ γὰρ ἐγγραφόμενόν τε καὶ περιγραφόμενον
ἐναργῶς ὁρᾶται, ὥσπερ γε καὶ ὁ κύκλος ἐγγραφόμενός
τε καὶ περιγραφόμενος τῷ τοιούτῳ πολυγώνῳ. Ὅταν

1. διδαχθείσῃ* διδαχθεὶς LO ‖ 2. διορίσῃς* διορίσεις LO ‖ 3. φανεῖ θ'* φαίνοιτο LO τῆς — διαιρεθείσης* τῆς — διαιρεθεῖσιν L ‖ 4. ἴσα φανεῖ τε καὶ* εἰσ ἀφανῆ τὲ καὶ LAB ἴσα, καὶ ChK ‖ 8. περιγρ. τετράγ. L τετραγ. περιγρ. O ‖ 12. μαρτυρήσεται* ἐμαρτυρήθη LO ‖ 14. αὐτὸ μαρτυρ. L μαρτ. αὐτὸ O ‖ 18. ἐὰν ἐπιταχθῇς* ἐὰν ἐπιταχθεὶς LO δωδεκάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον* Pr. XXXIX δωδεκάπλευρον ἰσόγωνόν τε καὶ ὀρθογώνιον LO ‖ 20. περιγρ. ἢ ἐγγράψαι, quae absunt a codice et AB, iure a Ch. K. addita sunt ‖ 21. ποιήσεις* ποι^η' L ‖ 23. ὅταν γοῦν ChK γοῦν om. LAB

γοῦν εὕρωμεν ἀποδεικτικὴν μέθοδον, ἣ ἐπὶ τὸ ζητούμενον ἡμᾶς ἄγει μαρτυρεῖταί τε πρὸς αὐτοῦ τοῦ πράγματος ἐναργῶς, βασάνους οὐ σμικρὰς ἐκ τοῦδε τῆς κατ' αὐτὴν ἀληθείας ἕξομεν, ὥστε τολμᾶν δύνασθαί ποτ' αὐτῇ χρήσασθαι κἀπὶ τῶν μὴ δυναμένων μαρτυρεῖν ἐναργῶς. οὔκουν ἀξιῶ τινα περὶ τῶν μεγίστων πραγμάτων εὐθέως ἀποκινδυνεύειν, εἰ δὲ δὴ μέγιστά ἐστι τὰ πρὸς εὐδαιμονίαν ἄγοντα, προγυμνάσασθαί γε πρότερον ἐν ὕλαις πραγμάτων ἐλεγχούσαις μὲν τὸν ψευδῶς οἰόμενον εὑρηκέναι τὰ ζητούμενα, μαρτυρούσαις δὲ τοῖς ἀληθῶς εὑρηκόσιν.

Τοιαύτη δὲ μέθοδος ἡ κατὰ γεωμετρίαν ἐστὶν ἀριθμητικήν τε καὶ λογιστικὴν ἀστρονομίαν τε καὶ ἀρχιτεκτονίαν· ἐνὶ γὰρ ὀνόματι τῷ τῆς ἀρχιτεκτονίας ὑπογράφω τὰς καταγραφὰς ὡρολογίων καὶ κλεψυδρῶν ὑδροσκοπίων τε καὶ μηχανημάτων ἁπάντων, ἐν οἷς || ἐστι καὶ τὰ πνευματικὰ προσαγορευόμενα. Μαρτυρεῖ 69 γοῦν ἅπαντα ταῦτα τοῖς εὑρίσκουσιν αὐτά, καθάπερ τὰ κατὰ τὴν ἀστρονομίαν. καὶ γὰρ ταῦτα πρὸς αὐτῶν τῶν ἐναργῶς φαινομένων ἐπικρίνεται βασανίζεταί τε καὶ μαρτυρεῖται, εἴ γε δὴ τῶν ἐναργῶς φαινομένων ἐστὶν ἔκλειψις ἡλίου καὶ σελήνης, ὅσα τε κατὰ τοὺς ἀπλανεῖς καὶ πλανήτας ἀστέρας ὁρᾶται. Εὖ οἶδ' ὅτι δάκνονται τὴν ψυχὴν ἅπαντες ἐπὶ τοῖς λόγοις τούτοις, ὅσοι προβεβηκότες ἤδη κατὰ τὴν ἡλικίαν οὐκέτι καιρὸν

1. ἣ ante ἐπὶ τὸ ζ. inserui* ‖ 3. βασάνους οὐ σμικρὰς* Pr. XXX βασ. [οὐ] σμικρὰς G ‖ 4. κατ' αὐτὴν* κατ' αὐτῆς L O ὥστε τολμᾶν δύνασθαί* ὥστε τολμήσασθαι L O Pr. XXXV sq. ‖ 5. αὐτῇ addidi* μὴ δυναμ.* Pr. XXX αὐτὸ quod exhibent L O ante μαρτυρεῖν in αὐτῇ mutatum ante χρήσασθαι transposui ‖ 10. ψευδῶς οἰόμ.* τὸ ψεῦδος οἰόμ. L O ‖ 14. ἑνὶ γὰρ Cob ‖ 15. τὰς καταγρ.* τὰς om. L O ‖ 19. τὰ κατὰ τὴν* G καὶ τὴν L O ‖ 23. εὖ οἶδ' ὅτι δ.* οἳ δὲ ὅτι δ. L ὅτι δὲ δ. O

ἔχουσι χρόνῳ πολλῷ βασανίσαι τὴν ἀποδεικτικὴν μέθοδον ἐπὶ πραγμάτων ἐναργῶς αὐτῇ μαρτυρῆσαι δυναμένων. ἤτοι γάρ, ὡς ἔφην, διὰ φιλαυτίαν, ἢ διὰ δοξοσοφίαν ἢ φιλοτιμίαν ἢ φιλοδοξίαν ἢ ἀλαζονείαν ἢ χρηματισμὸν ἔνιοι μὲν ἑαυτούς, ἔνιοι δ' ἄλλους ἀναπείθουσιν ἐπίστασθαί τι βέβαιον. Οὐδὲν οὖν ἐστι θαυμαστόν, ἐν ταῖς ἰδίαις ἕκαστον διατριβαῖς τοὺς φοιτητὰς ἀναπείθειν, ἐνίους μὲν ὀνώδεις ὄντας φύσει, τινὰς δὲ δριμεῖς μέν, ἀλλ' ἀγυμνάστους ἐν τοῖς πρώ- 70 *τοις* || *μαθήμασιν· συμφέρει γάρ, οἶμαι, διδασκάλοις ἀλαζόσι τοιούτους ἔχειν μαθητάς, ὡς ὅ τε συνετὸς φύσει καὶ προγεγυμνασμένος ἐν τοῖς μαθήμασιν εὐθέως αὐτῶν καταφρονεῖ, καθάπερ κἀγὼ πολλῶν διδασκάλων ἔτι μειράκιον ὢν ὑπερεφρόνησα, τολμώντων μὲν ἀποφαίνεσθαί τινα μαχόμενα τοῖς ἐπιστημονικῶς ἀποδεδειγμένοις ἐν γεωμετρίᾳ, γιγνωσκόντων δ' αὐτῶν οὐδ' εἴδωλον ἀποδείξεως. ['Εὰν οὖν ἐξέλῃς τοῦ μέλλοντος ἀλήθειαν ζητήσειν ἀλαζονείαν φιλαυτίαν φιλοτιμίαν φιλοδοξίαν δοξοσοφίαν φιλοχρηματίαν, ὅδ' ἀφίξεται μὲν ἴσως ἐπ' αὐτὴν προγυμνασάμενος, οὐ μησίν, ἀλλ' ἔτεσί ποθ' ὕστερον, ζητήσας τε τὰ πρὸς εὐδαιμονίαν τε καὶ κακοδαιμονίαν ἄγειν δυνάμενα δόγματα· τὸν δ' ὑπό τινων παθῶν, ὧν εἶπον, οἰστρούμενον πρὸς μὲν τὴν οὕτω μακρὰν ὁδὸν ὀκνῶ·] 'Εκείνους δὲ μισῶ ὡς ἐπίβουλόν τι καὶ*

2. *αὐτῇ μαρτ.* L || 8. *ὄντας φύσει** *ὁ τὰς φύσεις* L Pr. XXXIII || 13. *καταφρονεῖ* LABG — *φρονῇ* ChK || 17. *ἐὰν οὖν ἐξέλῃς τοῦ μέλλοντος* L *ἐὰν οὖν ἐξέλοι* (*ἐξέλῃ* K) *ὁ μέλλων* O *ζητήσειν** *ζητήσῃ* L || 19. *φιλοχρηματίαν ἐφ' εἶπον* L *ὅδ' ἀφίξεται* L || 20. *μὲν ἴσως** *μὲν πάντως* LO *ἐπ' αὐτὴν** *ἐπ' αὐτῇ* LO || 21. *τε τὰ** *τὲ* om. LO || 23. *πρὸς μὲν τὴν οὕτω μ. ὁδὸν ὀκνῶ* LO. Locus corruptus ac mutilus! Pr. LXIII *εἰς ἡμᾶς δὲ μισῶ. ἐπίβουλον* L *ἐκείνους δὲ μισῶ ἐπίβουλόν τε* O *ἐκείνους δὲ μισῶ ὡς ἐπίβουλόν τι καὶ διάβ. κατασκ. εἰς ἡμᾶς**

διάβολον κατασκευάζοντας εἰς ἡμᾶς. Τούτοις γαρ εἰώθασι προκαταλαμβάνειν τοὺς ἑαυτῶν μαθητάς, ὡς μηδ' ὑπομεῖναί ποτε τὸ ‖ παρασχεῖν τὰ ὦτα τοιούτοις 71 λόγοις, ὁποίους ἐγὼ μέχρι δεῦρο προὐχειρισάμην. ἑτοιμότατον δ' ἐστίν, ὑποτίθεσθαι μειρακίοις ἀπαιδεύτοις διδάσκαλον τὸν ἐροῦντα σεμνῷ προσώπῳ, ῥᾴστην εἶναι την ὁδὸν ἐπὶ σοφίαν ὑφηγημένην παρὰ τοῖς Κυνικοῖς ὀνομαζομένοις. καὶ γὰρ καὶ οὗτοι σύντομον ἐπ' ἀρετὴν ὁδὸν εἶναί φασι τὸ σφέτερον ἐπιτήδευμα. τινὲς δ' αὐτῶν ἐλέγχοντες οὐκ ἐπ' ἀρετήν, ἀλλὰ δι' ἀρετῆς ἐπ' εὐδαιμονίαν ὁδὸν εἶναι φάσκουσι τὴν κυνικὴν φιλοσοφίαν. Ἀλλ' ἕτεροί γ' ἀληθέστερον αὐτὴν ἀποφαινόμενοι, σύντομον ἐπ' ἀλαζονείαν ὁδὸν εἶναί φασι δι' ἀμαθείας τὴν τῶν τοιούτων ἀνθρώπων τόλμαν. Ὥσπερ οὖν οἱ Κυνικοὶ πάντες, οὕς γε δὴ τεθέαμαι κατὰ τὸν ἐμαυτοῦ βίον, οὕτω καὶ τῶν φιλοσοφεῖν ἐπαγγελλομένων ἔνιοι φεύγειν ὁμολογοῦσι τὴν ἐν τῇ λογικῇ θεωρίᾳ γυμνασίαν. εἶθ' ὅταν ἡμῶν ἀπαλλαγῶσιν, οὐκ ἀξιοῦσι διαλέγεσθαι τοῖς ἐπιτυγχάνουσιν ἀνθρώποις, αἰπόλοις καὶ βουκόλοις καὶ σκαπανεῦσι καὶ θερισταῖς, ὅτι μὴ παρακολουθοῦσιν, ὥς φασι, τοῖς λεγομένοις ἀγύμναστοι περὶ ‖ λόγους ὄντες, ὥσπερ ἂν αὐτοὶ γεγυμνα- 72 σμένοι ποτὲ κατὰ τὰ πρῶτα μαθήματα, καὶ οὐκ ἐξαίφνης περὶ τέλους βίου καὶ εὐδαιμονίας καὶ κακοδαιμονίας

5. ὑποτίθεσθαι* (cf. περὶ παθῶν p. 26, 25 ἅπαντα ταῦτ' — τοῖς βουληθεῖσιν ὑποτίθεμαι et p. 42, 21 ὑποθήσομαι τὴν κοινὴν ὁδόν) πείθεσθαι LO ‖ 7. ὑφηγημένην * G ὑφηγμ̃ L ὑφηγμένον AB ὑφηγημένον ChK ‖ 10. οὐκ ἐλέγχοντες L ‖ 12. ἕτεροι γ' L αὐτὴν ἀποφ. L = Vers. lat. 'verius *ipsam* declarantes'. ἀποφαινόμενοι, αὐτὴν — εἶναι O ‖ 14. δι' ἀμαθείας L δ' ἀμαθῆ AB δι' ἀμαθῆ — τόλμαν G τὴν τῶν* ‖ 16. φιλοσοφεῖν ἐπαγγ.* G Pr. XXXVII φιλοσόφων ἐπαγγ. LAB φιλοσόφων εἶναι ChK ‖ 18. ἀπαλλαχθῶσιν L ‖ 22. ἂν αὐτοὶ* ‖ 23. ἐξαίφνης* αἴφνης LO ‖ 24. κ. εὐδαιμονίας in LABG omissa recte a ChK addita

ἀκούσαντες τοῦ διδασκάλου λόγους τινὰς ἀποδεικτικούς, ὡς ἐκεῖνος ἐνόμιζε, πεισθέντες δὲ δι᾽ ἀγυμνασίαν. Ὅπου γὰρ αὐτοῖς, ὡς ἔφην, αἱ ὁμοιότητες τῶν ψευδῶν λόγων πρὸς τοὺς ἀληθεῖς αἰτίαι τῶν ψευδῶν δογμάτων εἰσί, τὰς δ᾽ ὁμοιότητας οἱ μάλιστα τετριμμένοι καθ᾽ ἑκάστην ὕλην πραγμάτων ἀκριβῶς διαγιγνώσκουσιν, ἀναγκαῖόν ἐστι, τὸν ἐξαίφνης προσελθόντα κρίσει λόγου ἀδυνατεῖν διαγνῶναί τε καὶ διακρῖναι τοὺς ψευδεῖς ἀπὸ τῶν ἀληθῶν. Ἐναργὲς δὲ τούτου τεκμήριόν ἐστι τὰ καλούμενα σοφίσματα, λόγοι τινὲς ὄντα ψευδεῖς εἰς ὁμοιότητα τῶν ἀληθῶν πεπανουργημένοι. τὸ μὲν οὖν ψεῦδος αὐτῶν πρόδηλον φαίνεται διὰ τοῦ συμπεράσματος οὐκ ὄντος ἀληθοῦς. ἐπεὶ δὴ οἱ ψευδεῖς λόγοι πάντες ἤτοι τῶν λημμάτων ἔχουσί τι ψευδές, ἢ τὸ συμπέρασμα κακῶς ἐπιφερό-
73 μενον, οὐ φαίνεται δὲ προχείρως ταῦτα κατὰ τὰ ‖ σοφίσματα, διὰ τοῦτο δύσοπτοι τοῖς ἀγυμνάστοις περὶ λόγους. Ὅπου τοίνυν πᾶσιν ὁμολογούμενόν ἐστι, ψευδῆ τὸν λόγον εἶναι διὰ τὸ φαίνεσθαι ἐναργῶς τὸ συμπέρασμα αὐτοῦ ψευδές, ὅμως ἡ λύσις ἀπορεῖται τοῖς ἀγυμνάστοις. [ἀσφαλὲς ἂν αὐτοῖς εἴη πάντας ὑποπτεύειν λόγους, συγκατατίθεσθαι δὲ μηδενὶ πρότερον, ἄχρι περ ἂν

3. ὅπου γὰρ αὐτοῖς* ἅπερ αὐτοῖς ABG ἃ τοῖσι γὰρ L αἱ ὁμοιότ.* δι᾽ ὁμ. LO ‖ 5. δογμάτων εἰσὶ L ‖ 6. ὕλην πραγμάτων* Pr. XXXIII ὅλην πραγματείαν LO ‖ 7. ἀναγκ. ἐστὶ L (om. δὲ) προσελθόντα* ‖ 10. τούτου *G τοῦτο LO ‖ 11. ὄντα L ψευδεῖς μὲν εἰς L ‖ 12. πεπανουργημένοι * πεπανουργευμένοι LO ‖ 14. ἐπεὶ δὴ* ἐπειδὴ L ἐπειδὴ δὲ O πάντες* πάντως LO ‖ 15. τι ψευδές* ψεῦδος LO ‖ 17. δύσοπτοι* ‖ 18. πᾶσιν ὁμολογούμενόν ἐστι* ὁμολογοῦμεν τὸ LO ψευδῆ τὸν λ.* ψεῦδος τὸν LO ‖ 19. φαίνεσθαι πᾶσιν ἐναργῶς LO. Nos πᾶσιν in superiorem versum transposuimus cf. Pr. XL sq. ‖ 20. αὐτοῦ ψευδές G ψεῦδος LO ἀπορεῖται LO. Nonne ἀπορ[ίας ποι]εῖται? cf. Pr. XXXVI ‖ 21. ἀσφαλὲς αὐτούς L

ἀκριβῶς ἑαυτοὺς πείσωσιν, ἱκανοὶ γιγνώσκειν εἶναι τὰς ὁμοιότητας τῶν ψευδῶν λόγων πρὸς τοὺς ἀληθεῖς. πείσουσι δὲ προβάλλειν ἐπιτρέποντες τοῖς βουλομένοις τῇ πείρᾳ γνῶναι τὴν δι[άνοιαν] αὐτῶν. ἆρ' οὖν ἄλλο τι συμβουλεύουσιν ἢ γυμνάζειν ἀξιοῦσιν ἐν τῇ τῶν σοφισμάτων λύσει τοὺς μαθητάς; οὐδαμῶς οὐδὲν ἄλλο.] Τῆς γὰρ λύσεως οὔσης, ὡς ἔφην, ἐν τῷ φωρᾶσαι τὴν πρὸς τὸν ἀληθῆ λόγον ὁμοιότητα τοῦ ψευδοῦς, ἀναγκαῖόν ἐστι προμεμαθηκέναι περὶ τῆς τῶν ἀληθῶν λόγων φύσεως. ὁ γὰρ ἐν ἐκείνοις γυμνασάμενος ὥστ' ἀκριβῶς θ' ἅμα καὶ ταχέως γιγνώσκειν αὐτῶν τὸ εἶδος, οὐ χαλεπῶς ἂν ἔτι διαγιγνώσκοι τοὺς ψευδεῖς. Ἐγὼ τοῦτ' ἔδειξα μειράκια προγεγυμνασμένα ‖ [ἐν μαθήμασι] διδάξας γνωρίζειν 74 *ἀληθεῖς λόγους ἀξιώσας τέ τι προβάλλειν αὐτοῖς σοφισμάτων τοὺς βουλομένους τῶν παρόντων. αὐτὰ γὰρ ἐγνώρισε τὴν ἀτοπίαν αὐτῶν, ἤτοι κατὰ τὸ σχῆμα γεγενημένην οὐκ ὂν συλλογιστικὸν ἢ κατά τι τῶν λημμάτων ψευδὲς ὄν, ὥστε κἀκ τούτου φανῆναι σαφῶς τοῖς δοξοσόφοις τούτοις πρεσβύταις, ὅσοι σοφίσματα λύειν ἀδυνατοῦσιν, ὅτι διὰ τὴν ἄγνοιαν τῶν ἀληθῶν λόγων τοῦτο πεπόνθασιν. Εἶτ' οὐκ ἐσχάτης καταγνώσεως ἄξιοί εἰσι, διὰ προπετῆ συγκατάθεσιν ἐν κακοδαίμονι βίῳ γενόμενοι; ἡ γὰρ περὶ τέλους δόξα ψευ-*

1. *ἀκριβῶς ἑαυτὸν πείσω^μσιν ἱκανοὶ γιγν. εἶναι* L ‖ 2. *πείσουσι* πείσωσι* LO ‖ 4. *τὴν διάνοιαν αὐτῶν* G *τὴν δι' αὐτῶν* LO Pr. XXXIII ‖ 6. *τῆς γὰρ λύσεως* γὰρ* om. LO ‖ 7. *φωρᾶσαι* φράσαι* LO ‖ 8. *ἀναγκ. ἐστὶ om. οὖν* LAB *οὖν* add. ChK ‖ 9. *περὶ τῆς* πρὸ τῆς — φύσεως* LO ‖ 11. *ἂν ἔτι* L *ἂν ἔφην* O ‖ 13. *προγεγυμν.* L *πω γεγυμν.* O [*ἐν μαθήμασι*] inclusi.* Pr. XLIX ‖ 14. *ἀξιώσας τέ τι** ‖ 15. *τοὺς βουλομένους* τοῖς — μένοις* LO ‖ 17. *κατά τι τῶν λ.* κατὰ τῶν λ.* LO ‖ 18. *ψευδὲς ὄν* ψευδ' ὢν* L ‖ 21. *οὐκ ἐσχάτης* L *ἐκ ἐσχ.* B *οὐκ* om. AChK

δὴς ὡμολόγηται πᾶσι πρὸς κακοδαιμονίαν ἄγειν. Οὕτω δ' ἀγύμναστοί τινές εἰσι περὶ διαγνώσεως ἀληθῶν τε καὶ ψευδῶν λόγων, ὡς ἐνίοτε πιστεύοντές τινος νοεῖν ἀλήθειαν δόξης, ἀγνοοῦσι μέν, ὅτι λόγον ἐνδεχόμενον εἰρήκασιν, ὡς φαινομένων ἐναργῶς ὧν δοξάζουσι, κελεύουσι δ' ἡμᾶς ἕπεσθαί τε καὶ πείθεσθαι χωρὶς ἀποδείξεως, πολλάκις δὲ μόνης ἐνδείξεως δεομένου τοῦ λόγου, δι' ἀποδείξεως ἐπιχειροῦσιν αὐτὸν πιστοῦσθαι. 75 τινὲς δ' ‖ οὐκ ἀγνοοῦντες, ὅπῃ διαφέρει τὸ τῆς ἐνδείξεως δεόμενον ἢ τὸ πρῶτόν τε καὶ ἐξ αὑτοῦ πιστόν, ὅμως ἐπιχειροῦσιν ἀποφαίνεσθαι περὶ πραγμάτων ἀκριβοῦς ἐπισκέψεως μὴ γιγνομένης. καὶ ταῦτα πεπόνθασι πολλοὶ τῶν ἤδη γεγηρακότων ἐν φιλοσοφίᾳ. τί οὖν, ὦ πρὸς θεῶν, ἡ τῶν τοιούτων ἀμάθειάν τε καὶ δοξοσοφίαν δοκεῖ σοι δύνασθαι θεραπευθῆναι ῥᾳδίως; [ἢ ὅστις μὲν σκιρρώδης ἐτῶν ἤδη τριῶν ἢ τεττάρων ἄλυτον ἔχει τὸν σκίρρον; ἡ δὲ τῶν τοιούτων γερόντων ψυχὴ τὸν τῆς ἀμαθείας τε καὶ δοξοσοφίας σκίρρον ἐτῶν τριάκοντα ἔχουσα δύναται λυθῆναι; θές, εἰ βούλει, καὶ δύνασθαι καὶ σκέψαι, πότερον ἡμερῶν ἢ μηνῶν ἢ ἐτῶν τοῦ τοιούτου σκίρρου θεραπεία δεῖται;] μὴ τοίνυν θαυμάζῃς διὰ τί πολλοῖς τῶν φιλοσοφεῖν ἐπαγγελλομένων οὐδ' ὅλως ἀξιῶ διαλέγεσθαι· οὐ χείρους γὰρ αὐτῶν οἶδα πάντας ἰδιώτας τε

1. οὕτω δ' * οὗτοι δ' LO ‖ 3. ὡς ante ἐνίοτε inserui * Pr. XXX πιστεύοντες* πιστευόμενοι τινὲς ἀγνοεῖν L πιστευόμενοί τινος νοεῖν K ‖ 9. οὐκ ἀγν.* οὖν ἀγν. L τὸ τῆς ἐνδ. δεόμενον ChK τὸ ἐνδείξεως (om. τῆς et δεόμενον) LAB ‖ 10. ἢ τὸ* ἢ ὡς LO ἐξ αὑτοῦ * ἐξ αὐτοῦ LO ‖ 12. ἀκριβοῦς ἐπ. μὴ γιγνομένης* Pr. l. l. ἀκριβοῦς ἐπ. γιγνομένης L ἀκριβοῦς ἐπισκ. δεομένων ChK ‖ 15. ἢ ὅστις μὲν ἐσκιρ`` ἐν ὦ τὸ ἤδη L (num ἐσκιρρωμένος*?) ‖ 16. ἄλυτον * ἄλυπον LO ‖ 17. ἡ δὲ τῶν L ‖ 18. τριακ. καὶ τεσσαράκοντα ἔχουσαν L ‖ 21. θαύμαζαι L πολλοῖς ChK πολλοὶ LAB ‖ 22. ἀξιῶ ChK ἀξίως L ἀξίους ABG ‖ 23. οὐ χείρους* χείρους om. οὐ L ἀμείνους O

καὶ συνετοὺς φύσει καὶ πεπαιδευμένους τὴν παρ' Ἕλλησιν ἐξ ἀρχῆς εὐδοκιμοῦσαν παιδείαν. Οὗτοι μὲν καὶ γνωρίζουσι ῥᾳδίως, ὅσα τ' ἐναργῶς ‖ ἀκολουθεῖ, ὅσα 76 *τε τοῖς δόγμασιν αὐτῶν ἐναντιοῦται· τῶν δ' ὡς ἐριζόντων μόνον ἢ προσποιουμένων γνωρίζειν πολλάκις ἐπειράθην· περὶ γοῦν τῶν ἑπομένων ἑκάστῳ τέλει βίου μυριάκις ἤδη λόγων ἡμῖν γεγονότων πρὸς πολλοὺς τῶν φιλοσόφων, οἱ μὲν ἄλλοι πάντες διὰ τὸ πεπαιδεῦσθαι τὴν πρώτην παιδείαν ὀξεῖς εἰσι τὴν διάνοιαν, αὐτοί τε τοὺς ἀκολούθους βίους ἔλεγον, ἡμῶν τὸν λόγον γνωρίζοντες, οἱ δ' ἄλλοι, ὡς εἴρηται, γεγηρακότες ἐν δοξοσοφίᾳ μόνοι τἀναντία λέγοντες, εἶτα καταγελώμενοι πρὸς ἁπάντων τῶν παρόντων εἰς λοιδορίαν αὐτῶν ἐτρέποντο.*

Ἀλλὰ τὰ μὲν ἐξητημένα πολλάκις ἡμῖν αμα πολλοῖς ἀνδράσι περὶ τῶν ἀκολούθων ἑκάστῳ τέλει βίων ἐν ἑτέροις ὑπομνήμασιν ἔχεις· καὶ δῆλον ὅτι πολλὰ παραδείγματα τῶν ἁμαρτημάτων ὧν ἁμαρτάνουσιν ἐν αὐτοῖς γέγραπται. Πάντα γὰρ ὅσα καθ' ὅλον τὸν βίον ἐναντίως ἀλλήλοις πράττουσιν ὅσα τε καὶ λέγουσιν οἱ ἀπὸ τῶν διαφόρων αἱρέσεων ἀναγόμενοι, κατὰ

4. Verba *τῶν δ' ὡς ἐριζόντων μόνον** (*ἐριζομένων ὄντων* LO) nos transposuimus. Pr. XXXIX) ‖ 5. Post *προσποιουμένων* delevi *μὲν μή* ‖ 6. *ἐπειράσθην* LAB *περὶ γοῦν* om. *μὲν* L *τέλει βίου* τέλει μυριάκις βίον ἤδη* L ‖ 7. *πρὸ πολλοῦ* L ‖ 10. *βίους ἔλεγον ἡμῶν τ. λ. γνωρ.* βίους ὀλίγους ἡμῶν τ. λ. γνωρ.* L *βίους ὀλίγον ἡμῶν τε λόγον* A *βίους τοῖς αὐτῶν δόγμασιν ἔλεγον τ. ἡμῶν λόγον* ChK ‖ 11. *οἱ δ' ἄλλοι* add. K ‖ 15. *ἐξητημένα* ἐξηγημένα* LO ‖ 16. *ἑκάστοτε βιβλίων* L, quod idem vitium invenies Gal. XIX, p. 46, 3: '*περὶ τῶν ἀκολούθων ἑκάστου τῶν βιβλίων ἕν*' ubi corrigendum est: *ἑκάστῳ τέλει βίων*, Fleck. Ann. 103, p. 108 ‖ 19. *καθελόντες τὸν βίον* LABG ‖ 21. *κατὰ κρίσιν ψευδῆ γ.* κατάκρισις ψευδὴς γ.* LO *κατὰ κρίσεις* G Pr. XXXVI

77 *κρίσιν ψευδῆ ‖ γίγνεται, καὶ πρόδηλόν γ' ἐστίν, ὡς
κακά τε γίγνεται πάντα, καὶ ἁμαρτήματά ἐστι τὰ κατὰ
πᾶσαν αἵρεσιν πλημμελήματα, τῆς ἀληθοῦς εὑρηκυίας
οὐ μόνον τὸ τέλος, ἀλλὰ καὶ τὸν ἀκόλουθον αὐτῷ βίον.
[ἔνθα καὶ σαφῶς ὅπῃ διαφέρει πάθος ἁμαρτήματος, ἔνεστί
σοι μαθεῖν. ὁ μὲν γὰρ εὐεργετεῖν, εἰ οὕτως ἔτυχε, τοὺς ἀν-
θρώπους δόγμα θέμενος, ὡς ἀληθὲς ἢ τέλειον εὐεργετῆσαί
τινας, ἐκλείπων τὴν βοήθειαν ἢ δι' ὕπνον ἢ ἀργίαν ἢ φι-
ληδονίαν ἤ τι τούτων κατὰ πάθος ἐσφάλη. κεκρικὼς δέ τις
ἑαυτῷ μόνῳ τὰς ἡδονὰς ἢ τὴν ἀοχλησίαν ἐκπορίζειν, ἀπο-
σχόμενος δὲ διὰ τοῦτο πολίταις ἢ οἰκείοις ἀδικουμένοις βοη-
θῆσαι διὰ μοχθηρὰν δόξαν, οὐ διὰ πάθος ἥμαρτε.]*

Cap. IV. *Ἀρχὴ μὲν οὖν ἐστι πολλῶν ἁμαρτημά-
των ἡ περὶ τέλους ἑκάστου βίου ὑπόληψις ψευδής·
φύεται γὰρ ὥσπερ ἐκ ῥίζης τινὸς ταύτης τὰ κατὰ μέρος
ἁμαρτήματα. δύναται δέ τις ἐν τῇ περὶ τέλους δόξῃ
μὴ σφαλεὶς ἔν τινι τῶν κατὰ μέρος σφαλῆναι, μὴ ‖
78 συνεὶς τῆς ἀκολουθίας. ἐπὶ πλέον δέ σοι, καθάπερ ἔφην
ἄρτι, τὰς ἀκολούθους πράξεις ἑκάστῳ τέλει δι' ἑτέρων
ὑπομνημάτων ἤθροισα. Νυνὶ δὲ τὰ κεφάλαια μόνα
τῶν ἁμαρτημάτων εἴπω, ἃ καὶ βέλτιον εἶναι νομίζω
πάλιν ἀναλαβεῖν ἕνεκα τοῦ σύνοψίν τινα τῶν προκει-
μένων εὐμνημόνευτον γενέσθαι. Ἐπειδὴ γὰρ ἐν τῇ
περὶ τέλους σκέψει τὸ κῦρός ἐστι τῆς ἀνθρωπίνης εὐ-
δαιμονίας, εἰκότως ἐπὶ τὴν ζήτησιν αὐτοῦ πάντες ἧκον·
οἱ δὲ τιμήσαντες ἑαυτοὺς προπετῶς ἀπεφήναντο [ἀπε-*

2. *κακά τε γ.** *κακῶς τε γ.* LO ‖ 14. *ἑκάστου βίου* om. L ‖ 21. *εἴπω* LO *εἶπον* K ‖ 25. *ἧκον οἱ τιμήσ. ἑαυτοὺς* LAB *ἧκον· οἱ δὲ τιμήσ.* ChK ‖ 26. *προπετῶς ἀπεφήναντο· ἀπεφήναντο δὲ προπετῶς* O. Nos alterum *προπ. ἀπεφ.* tanquam dittographia ortum expunximus; *προπετῶς* bis, *ἀπεφήναντο* *semel* scriptum L Pr. LIX

φήναντο δὲ προπετῶς ἤτοι πάντες ἢ χωρὶς ἑνός] [οὐδ᾽ αὐτός ἐστι φανερός.] ἄνευ τοῦ κρῖναι τὰς ἀποδείξεις, εἴτ᾽ ὄντως εἰσὶν ἀποδείξεις, εἴτ᾽ εἶναι φαίνονται. Τὸν οὖν ἐπιτηροῦντα καὶ παραφυλάττοντα τὰς ἰδίας ἁμαρτίας αὐτὸ τοῦτο χρὴ πρῶτον ἐννοῆσαι, τὸ δίκαιον εἶναι πάντως, ἐπιμελῶς τε καὶ ἀκριβῶς ἀκοῦσαι τῶν οἰομένων ἀποδεδειχέναι τὰ ζητούμενα, μετὰ ταῦτα κρίνειν αὐτὰ πειρᾶσθαι, πάλιν κἀνταῦθα παρ᾽ αὐτῶν ἀκούσαντα, τίνα τίθενται κριτὴν τῆς ἐν λόγοις ἀληθείας, ‖ 79
αὐτὰ ταῦτα πῶς εἶναι χρὴ βουλευόμενον αὐτὸν ἐπισκεψάμενόν τε, μή τι πάλιν ἕτερον ἀκούει κριτήριον ἄλλου κριτηρίου δεόμενον, εἶτ᾽ ἐπ᾽ ἐκείνῳ πάλιν ἄλλου, καὶ τὴν εἰς ἄπειρον ἔκπτωσιν ὑποπτεύσαντα μετὰ πολλῆς ἀσφαλείας ἐν χρόνῳ πολλῷ σὺν τοῖς ἀληθεστάτοις αὐτῷ φανεῖσιν ἀνδράσιν οὕτως ἐπισκέψασθαι, τί πρῶτον ἁπάντων ἐστὶ κριτήριον, [ὃ δῆλον καί τινα λαβὴν ἄκριτον χρὴ καταλαβόντα μεμνῆσθαι πᾶσιν ἀνθρώποις. ὁμολογούμενον δ᾽ ἦν αὐτὸ καὶ χωρὶς κρίσεως ἱκανὸν ἐνδείκνυσθαι τὴν αὐτὴν δύναμίν ἐστι τοῦτο πάσης ἀποδείξεως.] εἶτα τὸ λοιπὸν ἐπ᾽ αὐτὸ βλέποντα, πάντ᾽ ἀνάγειν τὰ κατὰ μέρος, ὅ περ ἀνάλυσιν ἐκάλεσαν ἔνιοι τῶν φιλοσόφων, ὡς ἄνοδόν τινα τῶν μεταξὺ γιγνομένων ἐπὶ τὸ πρῶτον κριτήριον. Ἅτε δ᾽ ὄντος τούτου ἱκανῶς χαλεποῦ πράγματος, ὡς ἔργῳ πολλάκις ἔμαθες ἐπὶ τῶν δοξοσόφων ἀσχημονούντων τε καὶ καταγελωμένων, διὰ τὸ μηδὲ τὰ τυχόντα τῶν ζητουμένων δύνασθαι

3. ἡ^τ᾽ ὄντως ἧς ἡ ἀποδείξεις εἴτε κείνοις φαίν. L εἴτ᾽ — εἴτ᾽ εἶναι* ‖ 5. τὸ δίκαιον LO ‖ 6. ἀκοῦσαι* ἀκούσαντα LO ‖ 9. Post ἀληθείας delevi εἶτα καὶ πάλιν* ‖ 11. ἀκούει* ἀκούουσι LO ‖ 12. ἐπ᾽ ἐκείνῳ* ἐπ᾽ ἐκείνου LO πάλιν ἄλλου L ‖ 15. τί πρῶτον* τὸ πρῶτον LO ἁπάντων ἐστὶ L Pr. LXI ‖ 20. εἶτα τὸ λοιπόν* οὕτως τὸ λ. LO

80 *πρὸς τὸ πρῶτον ἀνάγειν κριτήριον, ἑαυτῷ χρὴ ‖ παρακολουθεῖν τὸν ἐπιστημονικὸν γενέσθαι βουλόμενον, ἐπὶ πολλῶν τῶν κατὰ μέρος, ὡς ἔμπροσθεν ἔφην, γυμναζόμενον, ἃ μαρτυρῆσαι δύναται τοῖς εὑρίσκουσιν αὐτά· τοιαῦτα δ' ἐστὶ τὰ κατὰ τὴν ἀριθμητικήν τε καὶ γραμμικὴν θεωρίαν, αἷς οἷον ἐπιβάσεσιν ἀστρονομία καὶ ἀρχιτεκτονία χρῆται.*

Cap. V. *Φέρε γάρ, ἵνα σαφηνείας ἕνεκεν τῆς ἀρχιτεκτονίας τι λέξω παράδειγμα, πόλεως κτιζομένης προκείσθω τοῖς οἰκήσουσιν αὐτὴν ἐπίστασθαι βούλεσθαι, μὴ στοχαστικῶς, ἀλλ' ἀκριβῶς ἐφ' ἑκάστης ἡμέρας, ὁπόσον τε παρελήλυθεν ἤδη τοῦ χρόνου τοῦ κατ' αὐτήν, ὁπόσον θ' ὑπόλοιπόν ἐστιν ἄχρι δύσεως ἡλίου. Τοῦτο τὸ πρόβλημα κατὰ τὴν ἀναλυτικὴν μέθοδον ἐπὶ τὸ πρῶτον ἀναχθῆναι χρὴ κριτήριον, εἰ μέλλοι τις εὑρήσειν αὐτὸ καθ' ὃν ἐμάθομεν τρόπον ἐν τῇ γνωμονικῇ πραγματείᾳ, πάλιν ἐξῆς ἐκείνου τὴν αὐτὴν ὁδὸν ὑπεναντίως ἰόντος, συντεθῆναι, καθότι καὶ τοῦτ' ἐμάθομεν ἐπὶ τῆς αὐτῆς πραγματείας. Εὑ-*
81 *ρεθείσης δ' οὕτω ‖ καθόλου τε καὶ κοινῆς ὁδοῦ, καὶ γνόντων ἡμῶν, ὅτι διὰ γραμμῶν τοιάνδε τὴν μέτρησιν τῶν μερῶν τοῦ χρόνου τῆς ἡμέρας ἀναγκαῖόν ἐστι ποιεῖσθαι, μεταβῆναι προσήκει ἐπὶ τὰ μέλλοντα σώματα δέξασθαι τὴν τῶν γραμμῶν καταγραφὴν καὶ τὸν γνώμονα, καὶ πρῶτον μὲν ζητῆσαι, τίνα σχήματα σωμάτων ἐπιτήδεια πρὸς τὴν εὑρημένην καταγραφήν ἐστιν,*

4. *εὑρ. αὐτά* αὐτὴν* ChKG *ἑαυτήν* LAB ‖ 17. *πάλιν ἑξῆς* π. ἐξ* LO *ἐκείνου — ἰόντος* ἐκείνου — ἰόντων* L *ἐκείνων — ἰόντων* O; num forte *ἡμῶν ἰόντων* ut infra v. 21 *γνόντων ἡμῶν?** ‖ 21. *γραμμῶν τοιάνδε* γρ. τοιῶνδε* LO ‖ 22. *χρ. τῆς ἡμέρας* L *χρ. τις ὅτι* ABG *τις ὅτι* om. ChK Pr. XXXII ‖ 24. *τὴν τῶν* L *εἰς τὴν τῶν* O *καταγραφὴν τὸν γνώμονα* L *καὶ τὸν* O

εἶτα καθ' ἕκαστον αὐτῶν ἐξ ἀναλύσεώς τε καὶ συνθέσεως εὑρεῖν, ὁποία ἂν αὕτη γίγνοιτο, κἀπειδὰν ἡ λογικὴ μέθοδος ἐναργῆ τὴν πίστιν ἡμῖν ἐνδείξηται τῆς τῶν προκειμένων εὑρέσεως, ἑξῆς ἐπὶ τὸ πράττειν ἔργῳ τὰ δι' αὐτῆς εὑρεθέντα παραγενομένους ἐπισκέψασθαι πάλιν, ὅπως ἂν ἐπιφάνειαν ὁμαλὴν ἐργασώμεθα τοῦ μέλλοντος καταγράφεσθαι σώματος. Εὑρόντας δὲ τοῦτ' ἐξ ἀναλύσεώς τε καὶ συνθέσεως εἶτα κατασκευάσαντάς τι τοιοῦτον σῶμα, διὰ τῶν ὀργάνων αὐτὸ δεῖ καταγράψαι ζητῆσαι· καὶ πάλιν ἐξ ἀναλύσεώς τε καὶ συνθέσεως εὑρεθέντος αὐτοῦ, πειρᾶσθαι κατασκευάσαι τοιαῦτα τὸ εἶδος, οἷά περ ἡ μέθοδος ἐδίδαξεν· εἶτα ποιήσαντας ἐφεξῆς καταγραφὴν ἐπὶ πολλῶν σχημάτων δοῦναι τοῖς ‖ ἀνθρώποις ἔργῳ πειραθῆναι, εἰ γεγονὸς 82
ἤδη τὸ προβληθέν. Ὅταν γὰρ ἥ τε πρώτη γραμμὴ τὴν πρώτην ἀκτῖνα δέχηται τοῦ ἡλίου, κατὰ ταὐτὰ δὲ καὶ τὴν τελευταίαν ἡ ὑστάτη, [καὶ τοῦτ' ἐπὶ πάντων φαίνηται τῶν καταγεγραμμένων ὡρολογίων ἡλιακῶν,] ἤδη μέν πως ἕν τι γνώρισμα ἕξομεν ἐναργὲς τοῦ τὸ προβληθὲν εὑρῆσθαι· πάλιν δ' ἄλλο, ὅταν ἀλλήλοις τὰ καταγραφέντα πάντα συμφωνῇ καὶ τρίτον, ὅταν ὕδατος ὁμαλὴ ῥύσις αὐτοῖς μαρτυρῇ. καὶ γὰρ τοῦθ' ὁ λόγος

11. *πειρᾶσθαι** *πειρᾶσαι* LO ‖ 13. *ποιήσαντες* LABG ‖ 14. *καὶ* ante *δοῦναι* delevi* *εἰ* ante *γεγονός* addidi* Inde a verbis *ὅταν γὰρ ἥ τε πρώτη* secutus sum recensionem H. Sauppii (Philol. XXIII, 3, p. 449 sq.) *πρώτην ἀκτῖνα* Saup. *πρώτην* om. LO ‖ 16. *κατὰ ταὐτὰ* Saup. *κατὰ ταῦτα* LO ‖ 17. De verbis inclusis vid. Pr. XV ‖ 18. *ὡρολογίων ἡλιακῶν* om. *τῶν* LABChG ‖ 19. *μέν πως* L *μέν που* O Saup. ‖ 20. *εὑρῆσθαι. ἔσται δὲ πάλιν* Saup. *πάλιν δεύτερον δ' ἄλλο* L; nos *δεύτερον* expunximus Pr. XVI *εὑρῆσαι δὲ πάλιν δεύτερον ἄλλο* O *τὰ* ante *καταγρ.* add. S ‖ 22. *ὁμαλὴ* S *ὁμαλὴς* L *ὁμαλοῦ* O. Verba *καὶ γὰρ τοῦθ' — ἀληθείας* nescio quo casu apud S. omissa sunt.

εὑρίσκει κριτήριον ἐσόμενον τῆς τῶν καταγεγραμμένων ὡρολογίων ἀληθείας. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν.

Ἀγγεῖον τρήσας ἐξ ἧς ἂν ὕλης ἐθέλῃς γεγονός, ἐπίθες ὕδατι καθαρῷ τὴν πρώτην ἀκτῖνα τοῦ ἡλίου θεασάμενος· εἶθ' ὅταν σοι τὸ καταγεγραμμένον ὡρολόγιον ἀγγείλῃ, τὴν πρώτην ὥραν ἠνύσθαι, σημηνάμενος ὅσον ἐπληρώθη τοῦ ἀγγείου μέρος ὑπὸ τοῦ ὕδατος, εἶτ' ἐκκενώσας εὐθέως αὐτὸ πάλιν ἐπίθες ἐπὶ ταὐτὸν ὕδωρ.

Ὅταν δὲ τὴν δευτέραν ὥραν ἀγγείλῃ τὸ ἡλιακὸν ὡρολόγιον, ἐπίσκεψαι τὸ ἀγγεῖον· εἶθ' ὅταν εὕρῃς ἐν
83 *αὐτῷ* ‖ *τὸ ὕδωρ ἐπὶ ταὐτὸ μέρος ἀφιγμένον, ὡς κατὰ τὴν πρώτην ὥραν ἐσημαίνου, ταχέως ἐκχέας αὖθις θὲς κατ' αὐτοῦ τοῦ ὕδατος καὶ ἐπισκέπτου πάλιν, εἰ μέχρι τῆς τρίτης ὥρας ἐνδείκνυσι τὸ ὡρολόγιον ἐπὶ τὴν αὐτὴν χώραν ἀφικνεῖσθαι τοῦ ἀγγείου τὸ ὕδωρ, ἐφ' ἣν κατὰ τὴν πρώτην καὶ κατὰ τὴν δευτέραν.*

Ὅταν οὖν εὕρῃς οὕτω γεγονός, ἐκχέας αὖθις ἐπίθες ἄχρι τῆς τετάρτης ὥρας, ἰδών τε πάλιν ἐπὶ ταὐτὸ μέρος τοῦ ἀγγείου τὸ ὕδωρ ἀναβεβηκός, ἐκχέας αὐτὸ παραχρῆμα πάλιν ἐπιθεὶς ὁμοίως ἐξέταζε κατὰ τὴν πέμπτην ὥραν. Ὅταν καὶ κατὰ ταύτην εὕρῃς ἐπὶ τὴν αὐτὴν χώραν ἀφιγμένον τὸ ὕδωρ, εἶτα καὶ κατὰ την

2. Hinc incipit Ioach. Marquardti restitutio contextus in libello, qui inscribitur: Galeni locus qui est de horologiis veterum emendatus et explicatus. Gothae 1865 ‖ 8. *εἶτ' ἐκκενώσας* S *ἔτι ἐκκ.* LO ‖ 12. *ταὐτὸ* * *ὡς* ante *κατὰ* add. Marq. S ‖ 13. *ἐσημαίνου* S *ἐνσημαῖνον* LB *ἓν σημαῖνον* A *ἐνσήμανον* ChKMarq *ἐκχέας αὖθις θὲς* S *ἐγχέας αὖθις* LAB *καὶ ἐκχέας ἔνθες* ChKMarq ‖ 14. *καὶ* post *ὕδατος* om. LAB ‖ 16. *χώραν* MarqS *ὥραν* LO *ἀφικνεῖται* LAB ‖ 17. *καὶ κατὰ* S *ἢ κατὰ* LO ‖ 19. *ἄχρι* LMarqS *μέχρι* O *ταὐτὸ** ‖ 22. *καὶ κατὰ ταύτην** Pr. XVII *καὶ ταύτῃ* S *καὶ ταύτης* LABMarq ‖ 23. *καὶ κατὰ* LMarqS

ἕκτην τε καὶ κατὰ τὰς ἐφεξῆς ἄχρι τῆς δωδεκάτης, εἰ μὴ παντελῶς ἄνους εἶ, πεισθήσῃ καλῶς καταγεγράφθαι τὸ ὡρολόγιον, εἴ γε τὸ προκείμενον ἐπεδείξατο.

Προκείμενον δ' ἦν εἰς δώδεκα μοίρας ἴσας νεμηθῆναι τὸν χρόνον τῆς ὅλης ἡμέρας. Ἀλλὰ τοῦτον μὲν τὸν ἀριθμὸν ὡς χρησιμώτατον προείλοντο· καὶ γὰρ ἥμισυ ἔχει καὶ τρίμοιρον καὶ τέταρτον, ἕκτον τε καὶ δωδέ|κατον, ἅπερ οὐδεὶς ἄλλος ἔχει πρὸ αὐτοῦ καθά- 84
περ οὐδὲ μετ' αὐτὸν ἄχρι τοῦ εἰκοστοῦ τετάρτου. Τοῦτον μὲν ὡς μακρὸν παρῃτήσαντο, σύμμετρον δ' εἶναι κρίναντες τὸν δωδέκατον εἰς τοσαῦτα μέρη τὸν χρόνον τῆς ὅλης ἡμέρας ἔτεμον. Ὅτι δὲ χρήσιμός ἐστιν ἡ τοιαύτη τομή, τῇ πείρᾳ βασανίσαντες, αὐτῇ γ' ἄλλοι τε πολλοὶ καὶ Ῥωμαῖοι χρῶνται, τὴν οὐσίαν ἅπασαν, ὅταν διατίθωνται, διαιροῦντες εἰς δώδεκα μέρη καὶ τῶν ἐν τῷ βίῳ σταθμῶν τε καὶ μέτρων εἰς δώδεκα μοίρας τέμνοντες τὰ πλεῖστα. Σὺ δ' εἰ κελεύεις, καταγράψομέν σοι κατὰ τὴν μέθοδον ὡρολόγιον, εἴτ' εἰς δώδεκα τὴν ὅλην ἡμέραν διαιρεῖν ἐθελήσεις, εἴτ' εἰς ἄλλον τιν' [τῶν ἐφεξῆς] ἀριθμόν. Εὑρήσεις γὰρ ἐπ' ἐκείνου πάλιν ὃ προὔβάλου γεγονὸς ἔκ τε τοῦ συμφωνεῖν τὴν διὰ τῶν τετρημένων ἀγγείων ἐκμέτρησιν κἀκ

1. ἄχρι L μέχρι O ‖ 2. εἰ μὴ παντελῶς ἄνους εἶ* Pr. XVII εἰ μὴ παντελῶς γνώσῃ LABMarq ὅμοια παντελῶς γνῷς S ‖ 5. ἡμέρας. Ἀλλὰ MarqS ὅτι ἀλλὰ LAB ἡμέρας ὅτι ἀλλὰ ChK ‖ 7. τρίμοιρον MarqS δίμοιρον LO ‖ 8. ἔχει πρὸ αὐτοῦ καθ. οὐδὲ μετ' αὐτὸν S ἔχει ταῦτα καθ. οὐδὲ μ. αὐτὸν L ἔχει μετ' αὐτὸν om. ceteris MarqO ‖ 12. ὅλης ἡμέρας ἔτεμον MarqS ὅλης ὅτι ἔτεμον L ὅλης διέτεμον ABChG ‖ 13. αὐτῇ γ' * αὐτῇ S αὐτὴν O ‖ 15. διατίθενται L ‖ 17. τέμνοντες S τέμνονται LO καταγράψομεν* καταγράψομαι LO ‖ 19. δώδεκα om. L ‖ 20. [τῶν ἐφεξῆς] inclusi* Pr. XVII τινὰ τῶν ἐφ. ἀριθμὸν Marq τινὰ τῶν ἐφ. ἀριθμῶν Saup τινὰ τὸν ἐφ. ἀριθμὸν LO ‖ 21. προὔβάλου * προυβαλ` L προὔβαλον MarqSaup προὔβαλες ChKG ‖ 22. τὴν — ἐκμέτρησιν Saup τῇ ἐκμετρήσει LO

τοῦ πάντ' ἀλλήλοις ὁμολογεῖν τὰ καταγεγραμμένα, πρός τε τούτοις ἐκ τοῦ τὰς τελευταίας ἐν αὐτοῖς γραμμὰς ὁρίζειν τὰ πέρατα τῆς ἡμέρας.

Οὕτω δὲ καὶ κλεψύδρας καταγραφὴν ὁ λόγος εὗρεν ἀναλυτικῇ μεθόδῳ ζητήσας, ἧς πάλιν ἡ βάσανος ‖
85 *ἐναργής ἐστι καὶ τοῖς ἰδιώταις. Ἡ γὰρ ἀνωτάτω γραμμὴ ἡ τὴν δωδεκάτην ὥραν σημαίνουσα ὅτι μέγιστον μὲν ὕψος ἔχει καθ' ὃ μέρος ἡ κλεψύδρα τὴν μεγίστην ἡμέραν ἐκμετρεῖ, βραχύτατον δὲ καθ' ὃ τὴν ἐλαχίστην, ἐν τῷ μέσῳ δ' ἀμφοῖν ἐστι τὰ τὰς ἰσημερινὰς μετροῦνθ' ἡμέρας· [τὸ δὲ μεταξὺ τῶν τμημάτων ἐπὶ τοῦ χείλους τοῦ τῆς κλεψύδρας δηλοῖ σοι τὰς εἰρημένας τέτταρας ἡμέρας] τὰ δὲ μετ' ἐκεῖνα καὶ πάλιν τρίτα τἀπὶ τῆς δωδεκάτης γραμμῆς ⟨τὴν δευτέραν τε καὶ τρίτην⟩ ἡμέραν σοι δηλώσει τὸ δ' ἐφεξῆς τὴν τετάρτην. ἐπεξιὼν τε κατὰ τὸν αὐτὸν τρόπον πάσας τοῦ ἐνιαυτοῦ τὰς*

1. *πάντ' ἀλλήλ.* L Pr. XVIII *πάντοτα* A *πάντοτε* O Marq Saup *τὰ καταγεγρ.* S ‖ 2. *πρός τε τούτοις* πρός τε* S *πρός τι* L A *ἐκ τοῦ* S ‖ 7. *ἡ τὴν* add. S *ὅτι μέγιστον* L Marq S ‖ 10. *ἀμφοῖν ἐστι τὰ τὰς ἰσημερινὰς μετροῦνθ' ἡμέρας* ἐστὶν ἢ τὰς ἰσημ. μέτρον ἡμ.* L *ἢ τὰς ἰσημ. μετρεῖ ἡμέρας* Saup Pr. XIX *ἡ τῆς ἰσημερινῆς μέτρον* A ‖ 11. *τὸ δὲ μεταξὺ τῶν τμημάτων* S *τὸ δὲ μετ. τῶν ἰσημερινῶν τμημ.* L K Marq *μέτρον ⟨σοι δηλώσει· τὸ δ' ἐφεξῆς τὴν τετάρτην ἐπεξιὼν κατὰ τὸν αὐτὸν τρόπον πάσας τὰς ἐνιαυτοῦ μετρήσεις⟩· τὸ δὲ μεταξὺ μέχρι τῶν ἰσημερινῶν τμημάτων* O ita ut verba *σοι δηλώσει — ἐνιαυτοῦ μετρήσεις* ex alio loco huc falso irrepserint ‖ 12. *τοῦ τῆς κλεψ.* Marq S *τοῦ κλεψ.* L *τῆς κλεψ.* O *δηλοῖ σοι τὰς εἰρημένας* O *δηλοῦσι τῶν τὰς εἰρημένας* L *τέτταρας ἡμέρας* L O Marq *τέτταρας* om. Saup. Sequentem locum nos transposuimus. Vid. Pr. XIX sq. ‖ 13. *τὰ δὲ μετ' ἐκεῖνα* L O *τὸ δὲ μετ' ἐκεῖνο* Saup *καὶ πάλιν* Marq Saup *καὶ* om. L O *τρίτα τἀπὶ τῆς δωδεκάτης γραμμῆς ⟨τὴν δευτέραν τε καὶ τρίτην⟩ ἡμέραν* τρίτα ἀπὸ τῆς δωδεκάτης τροπῆς* L O *τρίτον τὰς ἐπὶ τῆς δευτέρας καὶ τρίτης τροπῆς* Saup ‖ 14. *ἡμέραν σοι δηλώσει, τὸ δ' ἐφεξῆς τὴν τετάρτην* L ‖ 15. *ἐπεξιών τε* ἐπεξιὼν τὴν* L ‖ 16. *κατὰ τὸν αὐτὸν τρόπον* O *κατὰ τὴν αὐτὴν τροπὴν*

ἡμέρας εὑρήσεις μετροῦσαν τὴν μίαν ἐκείνην ἐν τῇ κλεψύδρᾳ γραμμήν, ἣν ὑψηλοτάτην ἔφην εἶναι. Ἀφ' ὧν τμημάτων ὁρμηθεὶς ἐφεξῆς τῷ σημαίνοντι τὴν μεγίστην ἡμέραν εὑρήσεις δηλούμενον, ἄχρι τίνος μέρους τῆς ὑψηλῆς γραμμῆς ἐπὶ τῇ κλεψύδρᾳ τὸ ὕδωρ ἀναβήσεται τῆς δωδεκάτης ὥρας συμπληρουμένης. Καὶ μέντοι καὶ τὰς ἄλλας γραμμάς, ὅσαι τῆς ὑψηλοτάτης εἰσὶν εὐτελέστεραι, τὰς ἄλλας ὥρας ἐκμετρούσας εὑρήσεις, τὴν μὲν ἀπὸ τῆς δωδεκάτης ἐν ἁπάσαις τοῦ ἐνιαυ||τοῦ ταῖς ἡμέραις τὴν ἑνδεκάτην ὥραν σημαίνου- 86
σαν ἐν διαφέρουσιν αὐτῆς μέρεσιν, ὡς ἐπὶ τῆς ὑψηλοτάτης προείρηται, τὴν δ' ἐφεξῆς ἐκείνης τὴν δεκάτην ὥραν δηλοῦσαν ὡσαύτως κατὰ διαφέροντα μέρη, καὶ τὴν ἐφεξῆς γε πάλιν τὴν ἐνάτην καὶ ὀγδόην τε καὶ τὰς ἄλλας ἄχρι τῆς κατωτάτης γραμμῆς, ἣ τὴν πρώτην εὑρίσκει, ἣ ἐπὶ τῶν ἡλιακῶν ὡρολογίων φαίνεται. Συμπεπληρωμένου δὲ τοῦ κατὰ τὴν κλεψύδραν ὕδατος, ὥσπερ γ' ἡ πρώτη καὶ αἱ λοιπαὶ μέχρι τῆς δωδεκάτης ἀλλήλαις μὲν ἴσαι καθ' ἑκάστην ἡμέραν ἡντινοῦν

(*τροπ'* i. e. *τρόπον*) L *τροπῆς ἡμέραν σοι δηλώσει, τὸ δ' ἐφεξῆς τὰς κατὰ τὴν τετάρτην τροπήν· ἐπεξιὼν δὲ πάσας* Saup ‖ 3. *ὁρμηθεὶς* Saup *ὁρμηθήσομαι* LO ‖ 4. *εὑρήσεις δηλούμενον** *εὑρήσει δηλοῦν* L *δηλοῦσθαι* Saup ‖ 6. Post *συμπληρουμένης* addidit Sauppe [*ἐπὶ τῆς πρώτης τροπῆς*] ‖ 8. *εὐτελέστεραι* ChK *τελειότεραι* L *τὰς* ante *ἄλλας* add. S ‖ 9. *τὴν μὲν ἀπὸ* MarqS *τὴν τετάρτην μὲν ἀπὸ* LO *ἐν ἁπάσαις* GMarqS *ἐν ἅπασι* LO ‖ 10. *σημαίνουσαν* GMarqS *σημαίνουσιν* LO ‖ 12. *ἐκείνης τὴν δεκάτην ὥραν* S *ἐκείνην τε τὴν ὥραν* L *ἐκείνην γε τὴν ὥραν* Marq *τὴν δ' ἐφεξῆς πέμπτην ἢ ἕκτην ὥραν* O ‖ 14. *πάλιν τὴν ἐνάτην καὶ ὀγδόην* S *πάλιν ἐννάτην ἢ ὀγδόην* LO *π. ἑβδόμην ἢ ὀγδόην ἢ ἐννάτην* ChK ‖ 15. *ἣ τὴν πρώτην εὑρίσκει* S *ἢ τὴν ὥραν πρ. εὑρίσκειν ποιεῖ* Marq *τὴν ὥραν* (om. *ἢ*) *πρώτην εὑρίσκειν* LO *ἣ ἐπὶ* S *ὥσπερ ἐπὶ* Marq *ἐπὶ τῶν* om. *ἢ* LO ‖ 17. *συμπεπληρωμένου δὲ τοῦ* S *φαίνεται δέ σοι πεπληρ.* Marq *φαίνεταί σοι πεπληρ.* LO ‖ 18. *ὥσπερ γ' ἡ πρώτη* S *ὥσπερ γε ἡ τετάρτη* LO

φαίνονται, ταῖς δ' ἄλλαις ἄνισοι ταῖς προγεγενημέναις τε καὶ μελλούσαις.

Εἶτα τὴν τοιαύτην μέθοδον εὑρίσκειν οὐκ ἐπεθύμησας, ὦ οὗτος, τί ποτ' ἐστίν; οὐκ ᾔσθου τῆς ἐν αὐτῷ δοξοσοφίας, ἀμαθὴς ὅστις ὢν τούτων τῶν προβλημάτων οὐδὲν ἂν εὕροις ἐνιαυτῷ, βέλτιον δ' εἰπεῖν, ὅλῳ τῷ βίῳ; οὐδὲ γὰρ εὗρεν αὐτὰ βίος ἀνδρὸς ἑνός, ἀλλὰ κατὰ σμικρὸν προῆλθεν ἡ γραμμικὴ θεωρία, πρῶτον μὲν τῶν στοιχειωδῶν ἐν αὐτῇ θεωρημάτων ζητηθέντων αὐτῇ, ὁπότε δ' εὑρέθη ταῦτα, προσθέντων αὐ-
87 τοῖς τῶν ‖ ἐφεξῆς γενομένων ἀνδρῶν τὴν θαυμασιωτάτην θεωρίαν, ἣν ἀναλυτικὴν ἔφην ὀνομάζεσθαι, καὶ γυμνασάντων ἑαυτούς τε καὶ τοὺς βουληθέντας ἐπὶ πλεῖστον ἐν αὐτῇ· καίτοι μηδὲν ἔχουσι δεῖξαι χειρούργημα τοιοῦτον, οἷα μέχρι δεῦρο διῆλθον ἐπί τε τῶν ἡλιακῶν ὡρολογίων καὶ τῶν κλεψυδρῶν.

Ἀλλ' οὐκ ἦσαν οὔτε προπετεῖς οὔτ' ἀλαζόνες οἱ τὰ τοιαῦτα ζητήσαντες ὁμοίως τοῖς ἐπαγγελλομένοις σοφίαν ἢ ζητεῖν ἢ εὑρηκέναι, τιμήσαντες δ' ἑαυτοὺς τὴν ἀληθεστάτην τιμὴν ὠρέχθησαν, ἣν εἶχον ἐν τῇ ψυχῇ δύναμιν ἀρίστην, ταύτην ἀσκῆσαί τε καὶ εἰς τέλος ἀγαγεῖν. Εὔδηλον, ὅτι τὴν λογικὴν λέγω, ἧς γυμναζομένης τε καὶ τὴν οἰκείαν εὐεξίαν λαμβανούσης, εὐφραίνονται μειζόνως ἢ οἱ ταῖς διὰ τοῦ σώματος ἡδοναῖς δουλεύοντες. οὐδὲ γὰρ διαφέρομεν ἄλλῃ τινὶ δυ-

3. εὑρίσκειν S εὑρίσκων LO ‖ 4. τῆς ἐν αὐτῷ δοξ. Marq S τῆς ἐν αὐτῷ L τῆς ἐν σαυτῷ O ‖ 6. οὐδὲν ἂν S οὐκ ἂν ChKMarq ‖ 10. αὐτῇ S αὐτῷ LO ὁπότε δ' LMarqS ἐπεὶ δὲ O προσθ. αὐτοὶς MarqS προσθ. αὐτῶν αὐτοῖς LBCh ‖ 13. γυμν. ἑαυτοὺς LG MarqS γ. ἐν αὐτῇ ἑαυτοὺς O ‖ 16. τῶν κλεψ. S τῶν om. O. Hic desinunt recensiones Marquardti et Sauppii ‖ 22. εὔδηλον ὅτι om. δὲ LAB ‖ 24. ἢ οἱ ταὶς G οἱ ταὶς LAB ἢ ταῖς ChK ‖ 25. διαφέρομεν Cob τὰ διαφερόμενα L -μεθα O

νάμει τράγων καὶ σκυλάκων ὑῶν τε καὶ προβάτων καὶ ὄνων· οὐδ᾽ ἄλλη τις θεωρία μειζόνως εὐφραίνει τὴν ψυχὴν ἀνδρὸς εὐφυοῦς τῆς ἀναλυτικῆς, ὅταν γέ τις ‖ ἐν αὐτῇ προέλθῃ. Κατ᾽ ἀρχὰς μὲν γὰρ ἐπίπονός ἐστιν, 88 ὥσπερ καὶ αἱ ἄλλαι σχεδὸν ἅπασαι. καίτοι κἂν εἰ μηδεμίαν εὐφροσύνην εἶχε, δι᾽ αὐτό γε τὸ μέλλειν αὐτῇ χρῆσθαι πρὸς τὰ μέγιστα, καλῶς ἂν εἶχεν ἀσκηθῆναι κατ᾽ αὐτὴν ἐξαίρετον ἔχουσαν, ὡς ἔφην, τὸ μαρτυρεῖσθαι πρὸς αὐτῶν τῶν εὑρημένων, ὅπερ οὐκ ἔστιν ἐν τοῖς κατὰ φιλοσοφίαν εὑρισκομένοις. Καὶ διὰ τοῦτο τοῖς προπετῶς ἐν αὐτῇ φλυαροῦσιν ἔξεστιν ἀναισχυντεῖν· οὐ γάρ, ὥσπερ ὁ κακῶς καταγράψας ὡρολόγιον ἢ κλεψύδραν ὑπ᾽ αὐτοῦ τοῦ πράγματος ἐλέγχεται προφανῶς, οὕτω κἀν τοῖς ἐν φιλοσοφίᾳ θεωρήμασιν ἐναργής ἐστιν ὁ ἔλεγχος, ἀλλ᾽ ἔξεστι λέγειν, ὥσπερ ἂν ἐθέλῃ τις, ὅταν γ᾽ ἅπαξ ἀναίσχυντος ἄνευ μεθόδου λογικῆς ὑπ᾽ αὐτῶν τῶν πραγμάτων διδάσκεσθαι λέγῃ. Ἀλλ᾽ εἰ μὲν ἐκείνοις μόνοις διελέχθη τὰ πράγματα λαβόντα φωνήν, εὐλόγως ἀλαζονεύονται, σιγώντων δ᾽ αὐτῶν ἀεὶ καὶ μήθ᾽ ἡμῖν μήτ᾽ ἐκείνοις διαλεγομένων, εὔδηλον ὅτι μόνος ὁ ἐν ἡμῖν λόγος εὑρήσει τὴν τῶν πραγμάτων φύσιν. Ἐπιδειξάσθω τοίνυν πρότερον εὑρίσκειν αὐτὴν ‖ δυνάμενος ἐν πράγμασιν ἐναργῶς αὐτῷ μαρ- 89 τυροῦσιν, εἰπάτω τε μέθοδον ἡμῖν, ᾗ πᾶν ἀναλυτικῶς ὑποπίπτει πρόβλημα, καὶ δειξάτω προκρίνας τὰς ὁμοιό-

1. σκυλάκων* = Gal. III, 6 K σκωλήκων LO ‖ 6. δι᾽ αὐτό γε G in marg. K ἔχ αὐτό γε L εἶχεν αὐτό γε A ‖ 7. καλῶς εἶχεν LO ἂν add.* ‖ 8. μαρτυρεῖσθαι L μαρτυρῆσαι O ‖ 9. εὑρημένων G εἰρημένων LO post εὑρημένων expunxi: εὐφραντόν GChK (εὐφρανθὲν L) ‖ 14. κἀν τοῖς* καὶ τοῖς LO ‖ 16. ἄνευ μεθ. λογικῆς LAB ἄνευ τῆς λογ. μεθ. K ‖ 22. ἐπιδείξασθαι LABG ‖ 23. αὐτὴν * αὐτὰ LO αὐτῷ μαρτ. L ‖ 25. δειξάτω L

τητας τῶν ἀληθῶν τε καὶ ψευδῶν λόγων, οὐ δυνατὸν φωρᾶσαι τὴν κακίαν, ἢ οὐκ ἂν ἔτι πιστὸς ἐπὶ τῶν ἀδήλων εἴη. Ταῦτα πάντες ἄνθρωποι καλῶς φασι λέγεσθαι πλὴν τῶν δοξοσόφων τε καὶ προπετῶν, οἷς ἡ ἐπὶ τὴν ἀλήθειαν ὁδὸς οὐ μακρά τίς ἐστιν, οὐδ' ἀνάντης, ὁποίαν Ἡσίοδος ἐπὶ τὴν ἀρετὴν εἶναί φησιν, ἀλλὰ σύντομος καὶ βραχεῖα, μᾶλλον δ' οὐδ' ὅλως ἐστίν. Εἰ γὰρ αὐτὰ τὰ πράγματα διδάσκει τὴν ἑαυτῶν φύσιν ἅπαντας ἀνθρώπους, οὐ χρὴ κατατρίβεσθαι γυμναζομένους ἐν ταῖς λογικαῖς μεθόδοις. Ἆρ' οὖν, ὦ δοξοσοφώτατοι, κἂν τοῦτό γε συγχωρήσετ' εἶναι πρόδηλον ἡμῖν τοῖς ἄλλοις, ὁπόσοι μήπω τὴν ὑμετέραν σοφίαν ἐσμὲν σοφοί, τὸ πάντας ἀνθρώπους ἐγνωκέναι δεῖν ἁπάντων πραγμάτων τὴν ἀλήθειαν, εἴπερ ἡ φύσις αὐτῶν ἱκανὴ διδάσκειν ἐστὶν ἑαυτήν; ἀναδύονται πάλιν, ὅταν
90 *οὕτως ἐρωτηθῶσι,‖ καί φασιν, οὐ πάντας ὑπὸ τῶν πραγμάτων διδάσκεσθαι. Τίνες οὖν εἰσιν οἱ διδασκόμενοι, πάλιν ἐρωτώντων ἡμῶν, ἑαυτοὺς μόνους φασίν· τί γὰρ ἔχουσιν εἰπεῖν ἄλλο φυλάττειν γε τὴν ἐξ ἀρχῆς ἀλαζονείαν προῃρημένοι;*

Ἀλλ' οὐχ ἡμεῖς γε πιστεύομεν αὐτοῖς ἀποφαινομένοις, ὃ βούλονται. διὰ τί γάρ, ὦ πρὸς θεῶν, μόνοις αὐτοῖς τὰ πράγματα τὴν αὑτῶν φύσιν ἐπιδείκνυται; πότερον, ὅτι μόνοι μηδὲν τῶν πρώτων μαθημάτων μεμαθήκασιν; ἀλλὰ ψεῦδος τοῦτο, καὶ γὰρ ἄλλοι πολλοὶ τούτων οὐδὲν ἔμαθον. ἀλλ' εἰ τὴν λογικὴν

2. ἢ ante *οὐκ ἂν* add. * ‖ 3. *πάντες ἄνθρ.* L *πάντα ἄνθρωποι* O ‖ 5. *οὐδ' ἀνάντης* G Pr. XXXVII coll. Hesiod. Opp. I, 7, 288; *οὐδ' ἂν αὐτῆς* L *οὐδ' ἂν αὐτὴ* AB *οὐδ' ἂν τοιαύτη* Ch *οὐδ' αὖ τοιαύτη* K ‖ 11. *συγχωρήσετε* K *συγχωρήσητε* LO ‖ 19. *φυλ. τὲ τὴν* L ‖ 22. *μόνοις αὐτοῖς* G *μόνοις αὐτὰ* LO ‖ 23. *τὴν αὑτῶν φ:* GChK *τὴν αὐτὴν* LAB *ἐπιδείκνυται* * ‖ 26. *ἀλλ' εἰ* O *ἄλλδ* ·6· (= *ἄλλως ὅτι*) L

ψυχῆς δύναμιν ἤσκησαν ἐν μαθήμασιν, ἔργῳ μαρτυρεῖν ἠδύναντ' ἂν αὐτό· καὶ μὴν οὐδέποθ' ἥψαντο τοιαύτης θεωρίας. ἴσως δὲ φήσουσι μόνοι τε γενέσθαι συνετοὶ καὶ βλέπειν [ἐπιληπτικῶς] τὰ πράγματα, καθάπερ Λυγκεὺς τὰ κατὰ γῆς.

Τί ποτ' οὖν, εἰ οὕτως αὐτῶν ἐστιν ὀξυδερκὴς ἡ ψυχή, καταγελαστότατοι πάντες εἰσὶν ἐν τοῖς τοιούτοις προβλήμασιν ὧν ἡ εὕρεσις αὐτὴ μαρτυρεῖ τοῖς εὑρίσκουσιν ἀληθῶς αὐτά; τούτων γὰρ ἂν οὐδὲν οὐ- 91
δέποτ' αὐτῶν οὐδεὶς εὑρεῖν ἠδυνήθη, ὅπου γε, καὶ τῶν εὑρηκότων λεγόντων καὶ διδασκόντων, οἱ μὲν ἄλλοι μανθάνουσιν, ἐκεῖνοι δὲ μόνοι δι' ἀγυμνασίαν καὶ βραδύτητα ψυχῆς μὴ μανθάνουσιν. Εἶτα παρακαλοῦσιν ἐμέ, καί τις ἐξ αὐτῶν κατὰ τύχην παρακολουθήσειεν ⟨ἂν τοῖς λεγομένοις⟩, ἀλλ' εἰπεῖν γε τὸ εἰρημένον οὐ δύναται. Τίς οὖν μείζων τυφλότης εἰς τὴν τῶν ἰδίων ἁμαρτημάτων γνῶσίν ἐστι τῆς τοιαύτης τῶν τοιούτων, ὅταν ἄνθρωποι τῶν ἐπιτυγχανόντων ἑαυτοὺς ὁρῶντες ἀφυεστέρους εἴς τε τὸ νοῆσαι καὶ μνημονεῦσαι καὶ τὰ δι' ἀριθμητικήν τε καὶ γεωμετρίαν ἀρχιτεκτονίαν τε καὶ ἀστρονομίαν εὑρισκόμενα, τὰ τῆς φιλοσοφίας εὑρηκέναι νομίζωσιν οὕτω ῥᾳδίως, ὡς ἀποφαίνεσθαι τολμᾶν αὐτὰ ἑαυτὰ δεικνύναι τὰ πράγματα χωρὶς ἀποδείξεως καὶ μεθόδου λογικῆς; Ὅτι δ' ἑκόντες ἑαυτοὺς

1. ἔργῳ μαρτυρεῖν ἠδύναντ' ἂν αὐτό· * cf. K. V, p. 224, 13 ἔργῳ μαρτυρεῖ ἢ δυναμένοις αὐτὴν L ἔργον μαρτυρεῖ δυναμένους αὐτὴν O ‖ 2. οὐδέποθ' * Pr. LII ‖ 4. περιληπτικῶς G ἐπιληπτικῶς O quod nos inclusimus; ἐπιβλητικῶς L ‖ 6. ἐστιν ὀξυδ. L ‖ 9. ἂν οὐδὲν οὐδέποτ' αὐτῶν οὐδεὶς εὑρ.*; ἐν οὐδὲν — οὐδεὶς εὑρ. L ἓν οὐδὲν οὐδέποτ' αὐτῶν εὑρεῖν AB ἓν οὐδεὶς οὐδέπ. αὐτῶν εὑρεῖν ChK ‖ 12. ἀγυμναστίαν LO ‖ 13. μὴ μανθ. om. L ‖ 14. παρακολουθήσειεν ⟨ἂν τοῖς λεγομένοις⟩ ἀλλ' * ‖ 17. γνῶσιν GChK γνώσεως LAB ‖ 21. τὰ τῆς φιλοσ. ChK ‖ 23. αὐτὰ ἑαυτὰ *

κολακεύουσιν, οὐκ ἀλήθειαν ζητοῦσιν, ἔνεστί σοι γνῶναι κἀκ τοῦ κατά τινος ἕκαστον αὐτῶν ἀνατείνεσθαι παρὰ τοῖς φοιτηταῖς, ἅπαντάς τε διαβάλλειν τοὺς ἄλλους ὡς ἐσφαλμένους. Ἐγὼ δ' εἰ συνάγοιμ' αὐτοὺς
92 *εἰς ταὐτόν, οὐχ ὑπομένουσιν,* ‖ *ἀλλ' αἰδῶ τινα καταπροτείνονται καὶ φάσκουσι μὴ δύνασθαι φθέγξασθαι παρόντων ἀνθρώπων πλειόνων· καίτοι τινὲς αὐτῶν ἀκροατὰς ἔχουσιν ἑκάστης ἡμέρας ὁ μὲν εἴκοσιν, ὁ δὲ τριάκοντα καί ποτε καὶ πλείονας, οὐκ αἰσχυνόμενοι λέγειν ἐπ' αὐτοῖς. Ἀλλ' ὅταν ἐγὼ μὲν τρεῖς ἢ τέτταρας ἀξιώσω παρεῖναι τῷ συλλόγῳ Πλατωνικοὺς καὶ τρεῖς ἢ τέτταρας Ἐπικουρείους ἴσους τε τὸν ἀριθμὸν ἄλλους Στωϊκούς τε καὶ Περιπατητικούς, ἢ τρεῖς πρὸς τούτοις ἢ τέτταρας Ἀκαδημαϊκοὺς ἢ Σκεπτικούς, ὡς γίγνεσθαι πάντας ἐκ φιλοσοφίας ἀνθρώπους εἴκοσιν, ἄλλους τε πρὸς αὐτοῖς τοσούτους τῶν γεγυμνασμένων μὲν ἐν μαθήμασι τὴν λογικὴν δύναμιν, ἀγνοούντων δὲ τοὺς κατὰ φιλοσοφίαν λόγους, οὐδεὶς αὐτῶν ὑπομένει τηνικαῦτα τὸ τοιοῦτον συνέδριον. εἰ δέ γέ ποτ' ἀναγκασθέντες ὑπὸ τῶν ἐλευθέρων μὲν αἱρέσεως, γεγυμνασμένων δ' ἐν λόγοις ὑπομείνειαν ἀπαντῆσαι τοιούτοις συνεδρίοις, φιλονεικούντων μὲν αὐτῶν ἐπὶ τούτοις, ἑλιττόντων δὲ τοὺς αὐτοὺς λόγους, πολλάκις μὲν*
93 *ἧκεν ἐν τούτοις καὶ γεωμετρικός,* ‖ *ἧκον δὲ καὶ τῶν ἰατρῶν ἔνιοι καὶ ἄλλοι τινὲς τῶν φιλολόγων ἀνδρῶν καὶ πεπαιδευμένων ἐν τοῖς μαθήμασιν οὔτε τέχνην*

1. *σοὶ γνῶναι* L ‖ 3. *διαβάλλειν** ‖ 4. *εἰ συνάγοιμ'* * *συνάγων* LO ‖ 5. *ὑπομένω* L *αἰδῶ τινα* * *τὴν αἰδῶ τινι* ChK *αἰδὼ τινὶ* LA *καταπροτείνεσθαι* LAB ‖ 6. *φάσκειν* LA ‖ 8. *ἑκάστης ἡμέρας* L ‖ 11. *Πλατ. καὶ* * *Πλατωνικοὺς δ'* (= *τέτταρας*) LO ‖ 14. *ἢ τέτταρας* * *ἤτοι τ'* LABG *ἤτοι γ'* ChK ‖ 17. *ἀγνοούντων* L *ἀγνοοῦντες* AB *ἀγνοοῦντας* ChK ‖ 26. *οὔτε τέχνην ἐργαζομένων** coll. Gal. V, 901, 2 et I, p. 7 *αὐτὸ δέ τ' ἔχειν* L *αὐτὸ δ' ἔχειν ἐργ.* O

ἐργαζομένων δι' εὐπορίαν κτημάτων οὔτε δουλευόντων αἱρέσει τινὶ τῶν κατὰ φιλοσοφίαν.

Ὥσπερ εἴωθα καὶ τότε κρῖναι τοὺς λόγους ἠξίωσα, καί τις ἐξ αὐτῶν ἔφη, κάλλιστ' ἂν κριθῆναι τὴν ἀμφισβήτησιν, εἰ πορευθέντες εἰς ὃ λέγουσιν οὗτοι περιέχειν τὸν κόσμον κενὸν εἴδομεν ἐν αὐτῷ σαφῶς, εἴτ' ἐν μιᾷ χώρᾳ πέφυκε μένειν εἴτε καὶ φέρεσθαι πρὸς ἄλλον τινὰ τόπον ὅπερ ἂν ἐν αὐτῷ τεθῇ σῶμα. Τοὺς μὲν ἄλλους πάντας ἤρεσε τὰ λεχθέντα, μόνοι δ' οὐκ ἐπαύοντο φιλονεικοῦντες ἀλλήλοις καὶ ἡμῖν οἱ φιλόσοφοι, μὴ δυνάμενοι διακρῖναι τοὺς ἐνδεχομένους λόγους ἀπὸ τῶν ἀναγκαίων. Ἐνδέχεται μὲν γὰρ καὶ μένειν ἐν τῷ κενῷ καθ' ἕνα τόπον ἕκαστον τῶν σωμάτων, ἐνδέχεται δὲ καὶ μὴ μένειν, ἀναγκαίαν ἀπόδειξιν οὐδ' ἑτέρας τινὸς αἱρέσεως ἐχούσης.

Cap. VI. *Καιρὸς οὖν ἥκειν δοκεῖ φθέγξασθαί τι κἀμέ, βραχεῖαν μὲν ἐλπίδα τοῦ φράξειν τὴν δοξοσο|φίαν ἔχονθ', ὡς μή τι καταλείπειν ἀπείραστον,* 94 *ἡγούμενον δ' εἶναι μηδ' αὐτὸ τοῦτο βραχύ. Καὶ τοίνυν, ἔφην, ὡμολόγηται μὲν ἀπὸ τῶν ἐναργεστάτων ἀρχὴ πάσης ἀποδείξεως, ἀλλ' εὐθὺς ἡ πρώτη μετάβασις ἀπ' αὐτῶν ἐπὶ τὰ τῶν ἀδήλων, οὐ συγχωρεῖται μὲν ὑπὸ τῶν Ἀκαδημαϊκῶν τε καὶ Σκεπτικῶν, ἡμεῖς*

3. *τότε κρῖναι** *τὸ κεκρικέναι* L *τότε κεκρικέναι* O ‖ 4. *ἔφη, κάλλιστ' ἂν κρ.** *ἔφην κάλλιστα κριθῆναι* O ‖ 6. *εἴδομεν ἐν αὐτῷ** *οἱ δ' οἱ μὲν ἐν αὐτῷ* L *εἴτ' ὁ μὲν ἐν αὐτῷ* A *εἶθ' ὁ μὲν* K ‖ 7. *μένειν εἴτε καὶ φέρεσθαι** *μὲν εἶναί τε καὶ φ.* LO ‖ 14. *δὲ καὶ* ChK *μὲν καὶ* LAB ‖ 16. *φθέγξ. τι κἀμὲ* L ‖ 17. *βραχεῖαν μὲν* L *φράξειν** Pr. XLVII ‖ 18. *ἔχονθ' ὡς** *ἔχοντος* LB *ἔχοντες* A *ἔχοντα* ChK *μή τι καταλείπειν* translato *τι* ex inferiore versu * ‖ 19. *ἡγούμενον δ' εἶναι** *ἡγούμενον μὲν τὶ δ' εἶναι* LO ‖ 20. *ἔφην ὡμολ.* L *ἐφ' ᾧ ὡμολ.* O ‖ 23. *ἡμεῖς — συγχωροῦμεν, ἄλλο δ' εὑρίσκειν οἰόμεθα** Pr. XXXVI *ἡμῖν —*

δὲ τοῦτο μὲν ἀλλήλοις συγχωροῦμεν, ἄλλο δ' εὑρίσκειν οἰόμεθα τὴν ἐκείνων ἀπορίαν κρατῦνον.

Ὄντων γὰρ ἐναργῶν τῶν μὲν πρὸς νόησιν, τῶν δὲ πρὸς αἴσθησιν, ἀλλήλοις ἐνίοτε μὲν δοκεῖ μάχεσθαι ταῦτα. καὶ πρῶτά γε τοῦτ' αὐτὸ γεγυμνασμένου δεῖται, τοῦ δείξοντος οὐδέποτ' ἀλλήλοις αὐτὰ διαφέρεσθαι. δεύτερον ἐπὶ τῷδε μέγιστόν ἐστιν, ἀπὸ τῶν μὴ ἐναργῶς φαινομένων διορίζειν τὰ τοιαῦτα. τινὲς γὰρ ὑπὸ προπετείας τοῖς μηδέπω φαινομένοις ἐναργῶς ὡς τοιούτοις συγκαταθέμενοι σφάλλονται. Καὶ τί θαυμάζειν ἔφην, εἰ κατὰ τὰ πρὸς διάνοιαν ἐναργῆ τοῦτο συμβαίνει τοῖς προπετέσιν, ὁρῶν ταὐτὸ κἀπὶ τῶν πρὸς αἴσθησιν ἐνίους πάσχοντας ἑκάστης ἡμέρας. Ἐξ ἀπό-
95 πτου γοῦν ‖ θεασάμενοι παραγενόμενόν τινα, Δίωνά φασιν, εἰ οὕτως ἔτυχεν εἶναι τὸν ἀφικνούμενον, ὡς βεβαίως εἰδότες. ὥστ' ἐνίοτ' εἰ πλησίον ὤφθη ὁ παραγενόμενος, ἐφάνη Θέων οὐ Δίων ὑπάρχειν. Εἰ μὲν οὖν ἀπαράλλακτος ἡ φαντασία τῶν πόρρωθεν ὁρωμένων ἐστὶ καὶ τῶν ἔγγυθεν, οἱ διαφωνοῦντες ἀλλήλοις ἐπὶ τῶν πόρρωθεν ὁρωμένων οὔτ' ἐλέγξουσιν οὔτ' ἐλεγχθήσονταί ποτε· εἰ δ' ἐστὶν ἄλλη μὲν ἐνάργεια τῶν πλησίον ὁρωμένων, ἄλλη δὲ τῶν οὐ πλησίον ⟨ὁρωμένων⟩ εἰκότως σφάλλονται.

συνεχώρει, ὅτι μὲν ἄλλο δ' εὑρισκόμεθα LO ‖ 2. κρατῦνον* κρατύνοντες LO ‖ 3. ἐναργῶν* ‖ 7. τῶν μὴ ἐναργῶς φ.* Pr. XXX τῶν ἐναργ. φ. LO ‖ 8. διορίζειν* γνωρίζειν LO ‖ 11. εἰ κατὰ τὰ* ἔφην εἰ κατὰ L ‖ 12. ὁρῶν L ὁρῶντας O ταὐτὸ* αὐτὸ LO ‖ 13. πάσχ. ἑκάστης ἡμέρας L Pr. XXXIII ‖ 16. εἰ πλησίον ὤφθη* πλησίον ὤφθεις LAB ὀφθεὶς ChK ‖ 19. οἱ διαφωνοῦντες* οὐ διαφ. LO ‖ 21. ἄλλη μὲν* ἐνάργεια G in notis ‖ 22. οὐ πλησίον ⟨ὁρωμένων⟩, εἰκότως σφ.* οὐ πλησίον [οἷσι πειρωμένων τὴν ἐκ τοῦ πλησίον γιγνομένην] εἰκότως σφ. O οἷσι — γιγνομένην L εἰκότως δὲ σφ. L. Nobis verba inclusa expungenda videbantur

Τοῦτ' οὖν αὐτὸ πρῶτον ἀναμνήσθητι, πρὶν ἐπὶ τὰ πρὸς διάνοιαν ἐναργῆ μετιέναι, εἶτ' εἶπες καὶ σύ ποτε προπετῶς· Ὅρα τόνδε τινὰ τὸν προσιόντα, φέρε Μένιππον, ὃς ὁπόθ' ἧκε πλησίον ἔγνωσται Θεόδωρος ὤν, ἢ δι' ὅλου τοῦ βίου σαυτὸν ἀπέσχες ἀπὸ τῆς τοιαύτης συγκαταθέσεως, ἣν ὀνομάζουσι πρόπτωσίν τε καὶ προπέτειαν; Ἐγὼ μὲν σοὶ λέγω μόνῳ, οὐδεὶς ἔχει με δεῖξαι τοιοῦτόν ποτ' ἐσφαλμένον οὐδέν. ἐκ μειρακίου γὰρ ἀπέχειν ἐμαυτὸν εἴθισα προπετοῦς συγκαταθέσεως,‖ ὥσπερ ἐν τοῖς πρὸς αἴσθησιν οὕτω κἀν τοῖς πρὸς λόγον φαινομένοις· 96 *ἐφ' ἃ μεταβὰς ἤδη πάλιν ἀναμνησθῆναί σε κἀνταῦθα παρακαλῶ μηδενὶ ψευδῶς συγκαταθέμενον αὐτῶν, ὥσπερ ἑκάστης ἡμέρας ὁρῶ παμπόλλους τῶν φίλων ἐνίους μὲν ἑνὶ τῶν εἰπόντων ὁτιοῦν οὐ πιστεύσαντας, εἰ δὲ δύο καὶ τρεῖς ἢ τέτταρες εἴποιεν ταὐτόν, οὐκ ἀντέχοντας, ἄλλους δὲ πάντως συγκατατιθεμένους ἑνί, προπετῶς δὲ καὶ δυοῖν ἢ τρισὶν ἢ τέτταρσιν, ἄνευ τοῦ διορίσασθαι, πότερον ἐνδέχεται πάντας αὐτοὺς ἐκ μιᾶς αἰτίας κοινῆς ἀληθεύειν ἢ ψεύδεσθαι πάντας ἐκ μιᾶς αἰτίας κοινῆς. Βέλτιον οὖν ἐνταῦθα βραδύνειν, ὥσπερ ἐγὼ ποιῶ κἂν ὅτι μάλιστά με καλῶσιν ἐπισκώπτοντες ἄπιστον οἱ προπετῶς συγκατατιθέμενοι. Τῶν φίλων γοῦν τινές εἰσιν, οἳ πυθό-*

2. *τὰ — ἐναργῆ* GChK *τὰ — ἐναργῶς* LAG in marg. *εἶτ' εἶπες καὶ σύ ποτε** *εἶπες καὶ σύ ποτε* L ‖ 3. *ὅρα τόνδε** *ὁρατὸν δὲ* LO *φέρε Μένιππον** *φέρε μὲν ἵππον* LO Pr. XXXVII ‖ 4. *ὃς ὁπόθ' ἧκε πλησίον** *ὡς ἀποθῆκε πλησίον* L *ὡς ἀποθῆκε* A *ὡς ἔτυχε πλησίον* O *ἔγνωσται** *ἐγνῶσθαι* LO ‖ 5. *ἀπέσχες** *ἀνέσχες* LAB *ἀνάσχες* ChK ‖ 7. *σοὶ λέγω μόνῳ* GChK *μόνος* LAB ‖ 9. *ἀπέχειν** *ἐπέχειν* LO ‖ 10. *κἀν τοῖς* G *καὶ τοῖς* LO ‖ 13. *αὐτῶν (= τῶν φαινομένων)** *αὐτὸν* L *ἑαυτὸν* O ‖ 15. *οὐ πιστεύσαντας** Pr. XXX *ἢ τέτταρες* L ‖ 16. *ἄλλους δὲ πάντως** *ἀλλὰ π.* LO ‖ 17. *δυοῖν ἢ τρισὶν** *ὃ τρισὶν* LO ‖ 23. *τινὲς εἰσὶν* L *εἰσίν τινες* O

μενοι παρά τινος ἀφῖχθαι τόνδε τινὰ τῶν ἀποδημούντων ἤγγειλαν μὲν ἡμῖν ἥκοντα τὸν ἄνθρωπον ἠλέγχθησαν δὲ ψευδόμενοι. Οἷς ὅταν ἐπιτιμήσω τοσοῦτον δέουσιν εἰς τὸν μέλλοντα παρασκευάζειν ἑαυτοὺς ἀσφα-
97 λεστέρους, ὥστ' ἀγανακτοῦσι ‖ πρός με καί φασιν, αὐτοὶ μὲν οὐκ εἶναι τῆς ψευδολογίας αἴτιοι, πιστεῦσαι γὰρ εἰπόντι τόδε τινί, τὸ δ' ἁμάρτημα μὲν ἐκείνου γεγονέναι, μὴ βουλόμενοι ᾐτιᾶσθαι προστιθέντες ἑαυτοὺς ἁπάσαις ταῖς προπετέσι συγκαταθέσεσιν. εἰ μὲν γάρ, ὥσπερ ἐγὼ λέγειν εἴωθα, τόνδε μοί τινα περὶ τοῦδε τόδε τι διηγήσασθαι, καὶ αὐτοὶ κατὰ τὸν αὐτὸν τρόπον ἐποιοῦντο τοὺς λόγους, οὐκ ἂν ἐψεύδοντο. νῦν δ' ἐν τῷ πιστεύειν τῷ λέγοντι σφάλλουσιν οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ σφᾶς αὐτοὺς συνεπέδειξαν αὐτῷ ψευδομένους, ἐνόν γ' αὐτοῖς οὐκ ἀποφαινομένοις εἰπεῖν, ἀφῖχθαι τόνδε τινὰ τῶν ἀποδημούντων φίλων, ἀλλ' ἀκηκοέναι παρὰ τοῦδε. Ὁπότ' οὖν ἐπὶ τοσούτων πραγμάτων, ἃ μικρὸν ὕστερον αὐτοὺς ἐλέγχει ψευδομένους, οὐ παύονται προπετῶς συγκατατιθέμενοι, τί χρὴ νομίζειν ἐπὶ τῶν ἀδήλων αὐτοῖς ὄντων δυσκολωτέρων προσάπτεσθαι; [εὐκολώτερον μὲν γάρ ἐστιν ἑνὸς ἀεὶ μνημονεύειν τοῦ περιμένειν ἐναργῶς ἐν ἀκριβεῖ, χαλεπώτατον δέ, διότι τοῦτ' αὐτὸ ποιεῖν οὐκ ἐθέλουσιν οἱ πολλοί.]

2. ἠλέχθησαν LAB ‖ 3. οἷς ὅταν* ὡς ὅταν O ‖ 4. παρασκευάζειν ἑαυτοὺς L -άζεσθαι AB -άσασθαι ChK ‖ 6. αὐτοὶ μὲν L αὐτοὺς μὲν O αἴτιοι* αἰτίους LO ‖ 8. ᾐτιᾶσθαι προστιθέντες ἑαυτοὺς* ἢ θεάσασθαι τὸ προστιθέμενον εἰς ἑαυτοὺς L ἢ om. O ‖ 9. προπετέσι* προπεταῖς LG προπετῶς O ‖ 11. αὐτοὶ ChK αὐτοὺς LAB ‖ 13. ἐν τῷ πιστεύειν LABG ἐπεὶ τῷ πιστεύειν O σφάλλουσιν* ἐκεῖνον ChK ἐκείνων L ἐκείνους ABG ‖ 14. αὐτῷ ChK αὐτὸ LABG ‖ 15. ἐνόν γ' K ἐνὸν γὰρ LO ‖ 18. ἃ μικρὸν ὕστ.* οὐ μικρὸν ὕστ. A οὐ μακρὸν LB ἐλέγχει LA ‖ 20. αὐτοῖς προσάπτεσθαι ὄντων δ. L αὐτοῖς προσάπτ. οὕτω δυσκ. A αὐτοῖς ὄντων δυσκολωτέρων προσάπτεσθαι ChK

Καὶ ζητοῦντί γέ μοι τὴν αἰτίαν τῆς προπετείας αὐτῶν, εἰ μὴ ἄρα πλεονεξία, ⟨φιλοδοξία⟩ κατεφάνη πάντ' ἐργάζεσθαι τὰ τοιαῦτα. Τὸ γὰρ ταχέως ὁτιοῦν ἢ δι' 98 *αἰσθήσεως ἢ διὰ νοήσεως εὑρίσκειν ἐπαινούμενον ὁρῶντες οἴονται βελτίους ἑαυτοὺς ἐπιδείξειν τῷ πέλας ἐν τῷ τάχει τῆς διαγνώσεως, ⟨οὐ μὴν τό γε τῆς διαγνώσεως⟩ τάχος, ἀλλ' ἀγνοίας ἐπιδείκνυνται. Ταῦτα μὲν οὖν, ἔφην, εὑρῆσθαί μοι κοινῇ πρὸς ἅπαντας, ὅσοι προπετῶς ἀποφαίνονται.*

Cap. VII. *Πάλιν ἐπὶ τούσδε τοὺς φιλοσόφους ἔλθωμεν ἀποφαινομένους προπετῶς περὶ τῶν ἐν τῷ κενῷ σωμάτων ἑστώτων ἢ κάτω φερομένων. Ὁ μὲν γὰρ ἀρχιτέκτων οὕτως οὐκ ἂν ἀπεφήνατο πρὶν εἰς αὐτὸ τὸ κενὸν ἐξελθὼν τοῦ κόσμου τῇ πείρᾳ βασανίσαι τὸ πρᾶγμα καὶ θεάσασθαι σαφῶς εἴτε μένει κατὰ τὸν αὐτὸν τόπον ἕκαστον τῶν ἐν αὐτῷ σωμάτων, εἴτε καὶ μεθίσταται. Τοιαύταις γὰρ ἀρχαῖς εἰς τὰς ἀποδείξεις οἶδα χρώμενον αὐτὸν ἐναργέσι τε καὶ ἀναντιλέκτοις ὑπὸ πάντων* ‖ *ὁμολογουμέναις. Ὑμεῖς δ' οἱ φιλοσο-* 99 *φοῦντες ὧν οὐδεμίαν ἐναργῆ γνῶσιν ἔχετε ταῦθ' ὡς ἐναργῶς γνωσθῆναι δυνάμενα ⟨ἀποφαίνεσθε⟩* . . . .
. . . . *ἤκουσα πρῴην ἀμφισβη-*

2. *εἰ μὴ ἄρα πλεονεξία, ⟨φιλοδοξία⟩** *ἡ μιαρὰ πλεονεξία* G ‖ 3. *ταχέως** *ταχ'* L Pr. XXXIII ‖ 4. *ἐπαινούμενον** G *ἐπαινῶ μόνον* LO Pr. XXXVII ‖ 5. *τῶν πέλας* G *διαγνώσεως ⟨οὐ μὴν τό γε διαγνώσεως⟩ τάχος** Pr. XXXIV *διαγνώσεως ἀλλ' ἀγνοίας τάχος* G *διαγνώσεως τάχος, ἀλλ' ἀγν.* LO ‖ 13. *οὕτως* G *οὗτος* LO ‖ 15. *εἴτε μένει** *εἴτε μένειν* K *ἢ τέμνειν* LAB ‖ 17. *μεθίσταται* L ‖ 18. *χρώμενον αὐτόν** *χρωμένους αὐτοὺς* LO ‖ 20. *ὧν* LAB *περὶ ὧν* ChK *ἐναργῆ** *ἐναργῶς* LO *ταῦθ' ὡς* ChK *τοῦθ' ὡς* LAB ‖ 21. Inserui cum Goulst. verbum ⟨*ἀποφαίνεσθε*⟩ sed vereor, ne plura exciderint ‖ 22. *πρῴην** Cob *πρώτην* LO *ἀμφισβητούντοιν** Pr. XXIX G (in notis) *ἀφιστούντοιν* LAB *ἀπιστούντοιν* ChK

τούντοιν δυοῖν φιλοσόφοιν· ἐδόκει γὰρ αὐτῶν τῷ μὲν ἑτέρῳ τὸ ὕδωρ τῶν ξύλων βαρύτερον εἶναι, τῷ δ' ἑτέρῳ τὰ ξύλα τοῦ ὕδατος, ἑκάτερός τε λόγους ἔλεγε μακροὺς ἐμβλέπων ἄνω καὶ κάτω. κεφάλαιον δ' ἦν τοῦ μὲν ἑτέρου τῶν φιλοσόφων, τὴν πεπιλημένην οὐσίαν βαρυτέραν εἶναι καὶ διὰ τοῦτο τὰ ξύλα τοῦ ὕδατος, τοῦ δ' ἑτέρου, ἔλαττον ἔχειν κενὸν τὰ ξύλα. Καὶ ταῦτ' ἔλεγον δι' εἰς μακρὸν ἐξηκόντων λόγων οὐκ ἀποδεικτικῶν, ποιούμενοι δὲ τὰς πίστεις, ὥσπερ ἀδύνατον ἐν αἰσθήσει διαγνῶναι τὸ πρᾶγμα, καθάπερ ἡμᾶς οἶσθα ποιοῦντας. Οἱ φιλόσοφοι λέγειν ἔτι βουλόμενοι ἠρώτησαν αὐτόν, ὅστις ὁ τρόπος εἴη, καθ' ὃν ἐναργῶς διαγιγνώσκεται, πότερον εἴη βαρύτερον· οὐ γὰρ δὴ διὰ ζυγοῦ γε δυνατὸν ἔφασαν γενέσθαι τοῦτο, καθάπερ οὐδὲ δι' ἀγγείου πληρουμένου· στῆσαι μὲν γὰρ οἷόν τ'
100 εἶναι τὸ ξύλον ‖ οὐ μὴν πληρῶσαι τό γ' ἀγγεῖον ἐξ αὐτοῦ, τὸ δ' ὕδωρ αὐτὸ πληροῦν δύνασθαι. Τοιαῦτ' οὖν αὐτῶν λεγόντων, ὥσπερ εἰώθασι, γελάσας ὁ ἀρχιτέκτων ἔφη· Τοιοῦτοι διὰ παντὸς ὑμεῖς, ὦ δοξόσοφοι, πάντες ἐστέ, τὰ μὲν ἔξω τοῦ κόσμου γιγνώσκειν οἰόμενοι, περὶ ὧν εἰκάσαι μέν ἐστιν ἐνδεχόμενον, γνῶναι δ' ἐπιστημονικῶς οὐκ ἐγχωρεῖ, τὰ δὲ τοιαῦτα καὶ τοῖς τυχοῦσιν ἐνίοτε γιγνωσκόμενα παντάπασιν ἀγνοοῦντες

4. ἄνω καὶ om. τε L δ' ἦν* δὴ LO ‖ 7. ἑτέρου τὴν ἔλαττον ἔχει L Nonnulla hoc loco periisse videntur ‖ 8. δι' εἰς μακρὸν ἐξηκόντων λόγων* (coll. V, pag. 814 'εἰς τοσοῦτον ἀνάγκη τὸν ἀριθμὸν ἐξήκειν τὰς τέχνας') διὰ μακρῶν ἐξηκ. λόγ. LO ‖ 9. ποιούμενοι δὲ* δὲ om. LO ‖ 11. οἱ φιλόσ. om. δὲ LAB βουλόμενοι* ἠρώτησαν αὐτὸν* αὐτὸν ἠρώτησαν O ‖ 13. εἴη* εἰ L ἐστι O ‖ 15. οἷόν τ' εἶναι* οἷον τί ἐστι L ‖ 17. τὸ δ' ὕδωρ αὐτὸ (= τὸ ἀγγεῖον) πληροῦν δυν.* τὸ ὕδωρ (LG) αὖ πληροῦμεν δύνασθαι L τοῦ ὕδατος αὖ πληροῦσθαι δύνασθαι O ‖ 19. ὦ δοξόσ.* ‖ 20. ἔσται L ‖ 22. ἐπιστημόνως LA

ὥσπερ κατὰ τοῦτ' αὐτὸ τὸ νῦν προκείμενον, ὕδατός τε καὶ ξύλων σταθμὸν ἀντεξετάσαι. — Δεηθέντων οὖν ἁπάντων τῶν παρόντων εἰπεῖν τὸν ἀρχιτέκτονα, πῶς ἐπιστημονικῶς καὶ βεβαίως ἀντεξετασθήσεται τὸ τοῦ ξύλου βάρος τῷ τοῦ ὕδατος, ὁ μὲν διῆλθεν ἐν τάχει τε καὶ σαφῶς, ὡς ἅπαντας τοὺς παρόντας νοῆσαι πλὴν μόνων τῶν φιλοσόφων. Ἐκεῖνος δὲ καὶ δεύτερον ἠναγκάσθη καὶ τρίτον εἰπεῖν τὸν αὐτὸν λόγον, ὥστε μόγις ἐνόησαν. ὁ μὲν οὖν ἀρχιτέκτων Εἰκότως, ἔφη, λέγουσι ‖ πάμπολλοι, πλὴν δοξοσοφίας οὐδὲν τούτοις 101 *ὑπάρχειν· οἱ γὰρ ἀνόητοι μὲν ἐν τοῖς ἀγνώστοις ἅπασιν ἐλέγχονται, δοξόσοφοι δ' ἐν τοῖς γνωστοῖς. Ἐγὼ δὲ διαδεξάμενος αὐτὸν τὸν λόγον, εὐλόγως, ἔφην, τοῦτο συμβαίνειν αὐτοῖς, οἳ πῶς χρὴ μεταβαίνειν ἀπὸ τῶν ἐναργῶς γιγνωσκομένων ἐπὶ τὴν τῶν ἀδήλων γνῶσιν, οὐδέποθ' ὑπέμειναν ἀσκηθῆναί τε καὶ μαθεῖν ἐπὶ πραγμάτων μαρτυρῆσαι μὲν τοῖς εὑροῦσιν αὐτὰ δυναμένων, ἐλέγξαι δὲ τοὺς οὐχ εὑρόντας. Ἵνα δ', ἔφην, γελάσητε καὶ γνῶτε τὸν τῦφον αὐτῶν ὁπηλίκος ἐστί, διελθεῖν ὑμῖν ἕν τι καὶ δύο βούλομαι, περὶ ὧν ἀποφαίνονται προπετῶς οἱ τὰς ὀφρῦς ἀνεσπακότες οὗτοι. καὶ πρῶτόν γε τοῦτο λέγω μάλιστ'· ἐπειδὴ τῶν Περιπατητικῶν τις ἀφῖκται τῶν φιλοσόφων, ἕνα τὸν κόσμον τοῦτον εἶναι*

1. *κατὰ τοῦτ** *καὶ τοῦτ'* O ‖ 5. *ξύλου βάρος* LA *βάρος* om. ChK ‖ 9. *οὖν* * ‖ 11. *οἱ γὰρ ἀνοητ.** *οἱ δ' ἀν.* O ‖ 14. *οἳ πῶς χρὴ** *αὐτοὺς ὅπως χρὴ* L ‖ 15. *ἐπὶ τὴν τῶν — γνῶσιν** *ἐπὶ τῇ τῶν —* L *ἐπὶ τὰ τῶν* O ‖ 18. *ἔφην, γελάσητε** *ἔφη, γελάσητε* L *ἔφην καὶ γελ.* G *ἔφη, καὶ γελ.* O ‖ 20. *ἕν τι καὶ δύο*] altera enarrationis pars desideratur et periisse videtur. Attamen, si quid video, ipsa haec altera pars illa est, quam supra legimus, inde a verbis *ἤκουσα πρῴην ἀμφισβητούντων* (pag. 77, 21 — 79, 9) usque ad *ὥστε μόγις ἐνόησαν*, quibus transpositis omnia bene se habent

*πεπεισμένος, ἔξωθέν τ' αὐτοῦ μηδὲν εἶναι κενόν,
ὥσπερ οὐδ' ἔνδον, διαφέρει γε μήν, ἔφην, τοῦδε τοῦ
φιλοσόφου διττὴν διαφορὰν ἑκάτερος τούτων· ἐδεί-*
102 *κνυον δὲ τόν τε Στωικὸν καὶ τὸν ‖ Ἐπικούρειον. ὁ δὲ
Στωικός· οὐκ ἔνδον εἶναί τι κενόν, ἔξωθεν δὲ τοῦ
κόσμου ὑπάρχειν αὐτό. ταῦτα δ' ἄμφω συγχωρῶν ὁ
Ἐπικούρειος ἐν ἄλλῳ τινὶ διαφέρει πρὸς αὐτούς· οὐ γὰρ
ἕνα ὁμολογεῖ κόσμον εἶναι τόνδε καθάπερ ὁ Στωικὸς
οἴεται, κατά γε τοῦτο τοῖς Περιπατητικοῖς ὁμοδοξῶν,
ἀλλ', ὥσπερ γε καὶ τὸ κενὸν ἄπειρον τῷ μεγέθει φη-
σὶν ὑπάρχειν, οὕτω καὶ τοὺς ἐν αὐτῷ κόσμους ἀπεί-
ρους εἶναι τῷ πλήθει. Ἐγὼ δ' ἤκουσα μέν, ἃ ἔλεγον
οἱ τρεῖς συναγορεύειν βουλόμενοι τοῖς ἰδίοις ὀνείροις,
ἀκριβῶς δ' οἶδα μηδένα λόγους ἀποδεικτικοὺς ἔχοντ'
αὐτῶν, ἀλλ' ἐνδεχομένους τε καὶ εἰκότας, ἐνίοτε δὲ
μηδὲ τοιούτους. Γνώσεσθε δ', ὅτι μὴ ψεύδομαι, πα-
ρακαλέσαντες εἰπεῖν τιν' ἀπόδειξιν ἕκαστον αὐτῶν εἰς
ταὐτὸ τοῦτο προκείμενον . . . .
Οὕτως οὖν ἔλεγον, ἅπερ ἴσμεν ἐν τοῖς βιβλίοις αὐτῶν
γεγραμμένα· πᾶσι δὲ τοῖς παροῦσι σαφῶς ἐφαίνετο μη-
δεὶς ἀναγκαστικὸν λόγον εἰπών, μηδ' ἀποδείξεως γραμ-
μικῆς ἐχόμενον, ἀλλ' ἐξ ἐπιχειρημάτων συγκείμενον,*
103 *οἷς ‖ οἱ ῥήτορες χρῶνται.*

1. *πεπεισμένος* Cob *πεπλησμένον* L O ‖ 2. *τοῦδε τοῦ φιλοσόφου* * *τῷ δὲ τῷ φιλοσόφῳ* L O ‖ 5. *οὐκ ἔνδον εἶναί τι κενόν* * *οὐ κενὸν εἶναί τι καινὸν* L ‖ 7. *διαφέρει* * = antea (v. 2) *διαφέρεται* L O *πρὸς αὐτοὺς* * ‖ 9. *ὁμοδοξῶν* * *ὁμοδόξων* L ‖ 12. *ἔλεγον* * ‖ 14. *λόγους ἀποδεικτικοὺς ἔχοντ' αὐτῶν* * *λόγον ἀποδεικτικῶς ἔχοντας αὐτοὺς* L O *ἐνδεχομένους* L = supra p. 73, 11 *ἐνδεχομένως* O *εἰκότας* * *εἰκότως* O ‖ 16. *μηδὲ τοιούτους* O *οὐδὲ τοιούτους* L *Γνώσεσθε δ', ὅτι μὴ ψεύδομαι* * Pr. L *γνώσεσθαι δ' ″6 μὴ ψεύδο*[μ] L *γνώσεσθαι ὅτι μὴ ψεύδομεν* O *γνώσεσθαι ὅτι μὲν ψεύδονται* K ‖ 18. Post *προκείμενον* nonnulla videntur excidisse ‖ 23. *ὁ ῥήτωρ* L

Ἀλλὰ γὰρ περὶ φιλοσόφων ὁ λόγος. Ἐφ' ἡμᾶς οὖν αὐτοὺς ἔλθωμεν, ὅσοι μὴ φιλοσοφοῦμεν, ἐρωτήσωμέν τε καὶ πάλιν ἕνα τῶν σοφῶν, εἰ δίκαιόν ἐστιν ἑαυτοὺς ἀναγορεύειν ἐγνωκότας μόνους τὴν ἀλήθειαν ὑπὸ πάντων τῶν ἄλλων καταγιγνωσκομένους ἰδιωτῶν τε καὶ φιλοσόφων; τὸ γάρ τοι δεινότατον, ἔφην, τοῦτ' ἐστίν, ὅτι τῶν φιλοσόφων ἕκαστος ἔξωθεν τῆς οἰκείας ποίμνης ὑπ' οὐδενὸς ἐπαινεῖται. Τίνα τοίνυν εἰκός ἐστι μᾶλλον ἐγνωκέναι τὴν ἀλήθειαν, ἢ τὸν τοὺς φιλοσόφους ἅπαντας ὑπομένοντα κριτὰς πλὴν αὐτῶν τῶν φαινομένων, ὑπομένοντά τε καὶ τοὺς ἀπὸ τῶν λογικῶν τεχνῶν ἁπασῶν ἀριθμητικοὺς λογιστικοὺς γεωμέτρας ἀστρονόμους ἀρχιτέκτονας νομικοὺς ῥήτορας γραμματικοὺς μουσικούς, ἢ τὸν ὑφ' ἑαυτοῦ κρινόμενόν τε καὶ στεφανούμενον, ὃς ὑπὸ τῶν ἄλλων κριτῶν εἰ ὑπομείνειε δοκιμάζεσθαι, μηδεμιᾶς ψήφου μεταλαμβάνεται;

Τοσαῦτα καὶ περὶ τῶν ἁμαρτημάτων πρὸς τὸ παρὸν ἀρκείσθω.

1. *ἀλλὰ γὰρ* LA *περὶ φιλοσόφων* G (in notis) *περὶ πλουσίων* LO ‖ 2. *ὅσοι μὴ φιλοσοφοῦμεν* G *πλουτοῦμεν* LO ‖ 4. *μόνους* GK *μόνην* LO ‖ 5. *καταγιγνωσκομένους* * *-σκομένων* LO ‖ 7. *ἕκαστον ἂν* L nos *ἂν* eiecimus* ‖ 8. *εἰκός ἐστι μᾶλλον ἐγνωκέναι τὴν ἀλήθειαν ἢ τὸν — ὑπομένοντα* * *εἰκός ἐστι μᾶλλον ἐγνωκέναι τὴν ἀλήθειαν ἄλλον δὴ τὸν — ὑπομένοντας* L Pr. XXXIV *κριτὰς* * *κριτὴν* LO ‖ 11. *ὑπομένοντά τε* * *-νοντάς τε* LO ‖ 14. *ἢ τὸν — κρινόμενόν τε καὶ στεφανούμενον* L *ἢ ὁ κρινόμενός τε καὶ στεφανούμενος* O ‖ 15. *ὃς* ante *ὑπὸ* addidi * ‖ 18. *ἀρκείσθω* ChK *ἀρκέσθω* AB *χρῆσθαι* L

II.

ΠΕΡΙ ΤΗΣ ΑΡΙΣΤΗΣ ΔΙΔΑΣΚΑΛΙΑΣ.

K. I, pag. 40 Cap. I. *Τὴν εἰς ἑκάτερα ἐπιχείρησιν ἀρίστην εἶναι διδασκαλίαν ὁ Φαβωρῖνός φησιν. Ὀνομάζουσι δ' οὕτως οἱ Ἀκαδημαϊκοὶ καθ' ἣν τοῖς ἀντικειμένοις συναγορεύουσιν. Οἱ μὲν οὖν παλαιότεροι τελευτᾶν αὐτὴν εἰς ἐποχὴν ὑπολαμβάνουσιν, ἐποχὴν καλοῦντες τὴν ὡς ἂν εἴποι τις ἀοριστίαν, ὅπερ ἐστὶ περὶ μηδενὸς πράγματος ὁρίσασθαι μηδ' ἀποφήνασθαι βεβαίως. οἱ νεώτεροι δ' — οὐ γὰρ μόνος ὁ Φαβωρῖνος — ἐνίοτε μὲν εἰς τοσοῦτον προάγουσι τὴν ἐποχήν, ὡς μηδὲ τὸν ἥλιον*
41 *ὁμολογεῖν εἶναι καταληπτόν, ἐνίοτε δ' εἰς τοσοῦ|τον τὴν κρίσιν, ὡς καὶ τοῖς μαθηταῖς ἐπιτρέπειν αὐτὴν ἄνευ τοῦ διδαχθῆναι πρότερον ἐπιστημονικὸν κριτήριον. οὐδὲ γὰρ ἄλλο τί ἐστιν, ὃ Φαβωρῖνος εἴρηκεν ἐν τῷ 'Περὶ τῆς Ἀκαδημαϊκῆς διαθέσεως', ὃ 'Πλούταρχος' ἐπιγέγραπται. λέγει δὲ ταὐτὸν ἐν τῷ 'Πρὸς Ἐπίκτητον', ἐν ᾧ δῆθέν ἐστιν Ὀνήσιμος ὁ Πλουτάρ-*

Inscriptio: *τῆς ἀρ.* * Gal. XIX, 44; Cod. Adelphi ap. G; *τῆς* om. LO

3. *Ἀκαδημαϊκοί* semper LKs *τοῖς ἀντικειμένοις συναγ.* Ks *τοῖς ἀντικειμένην συναγ.* L *τὴν ἀντικειμένην προσαγορ.* O ‖ 11. *τὴν κρίσιν* * *γνῶσιν* LO ‖ 15. *ταὐτὸν* * *ταὐτὸ* Corn. Volkmann Observat. misc. 6, VII; *τὸ αὐτὸ* Marres de Favor. p. 134; *αὐτὸ* O *ὁ αὐτὸς* Ks ‖ 16. *δῆθεν* LKs

χου δοῦλος Ἐπικτήτῳ διαλεγόμενος. καὶ μέντοι κἀν τῷ μετὰ ταῦτα γραφέντι βιβλίῳ, τῷ ‘Ἀλκιβιάδῃ’ τοὺς Ἀκαδημαϊκοὺς ἐπαινεῖ συναγορεύοντας μὲν ἑκατέρῳ τῶν ἀντικειμένων ἀλλήλοις λόγων, ἐπιτρέποντας δὲ τοῖς μαθηταῖς αἱρεῖσθαι τοὺς ἀληθεστέρους. Ἀλλ’ ἐν τούτῳ μὲν εἴρηκε πιθανὸν ἑαυτῷ φαίνεσθαι, μηδὲν εἶναι καταληπτόν, ἐν δὲ τῷ Πλουτάρχῳ συγχωρεῖν ἔοικεν εἶναί τι βεβαίως γνωστόν — ἄμεινον γὰρ οὕτως ὀνομάζειν τὸ καταληπτὸν ἀποχωροῦντας ὀνόματος στωικοῦ —. Καὶ ἔγωγ’ ἐθαύμαζον νὴ τοὺς θεούς, ὅπως ὁ Φαβωρῖνος εἰς τὴν τῶν Ἀττικῶν φωνὴν εἰωθὼς μεταλαμβάνειν ἕκαστα τῶν ὀνομάτων οὐ παύεται λέγων οὔτε τὸ καταληπτὸν οὔτε τὴν κατάληψιν οὔτε τὴν καταληπτικὴν φαντασίαν οὔτε τὰ τούτοις ἀντικείμενα, οἷον στερητικῶς λεγόμενα ‖ τὴν ἀκατάληπτον φαντασίαν ἢ 42 *τὴν ἀκαταληψίαν. Αὐτὸς δὲ καὶ τρία βιβλία γράψας, ἓν μὲν πρὸς Ἀδριανόν, ἕτερον δὲ πρὸς Δρύσωνα καὶ τρίτον πρὸς Ἀρίσταρχον, ἅπαντα ‘Περὶ τῆς καταληπτικῆς φαντασίας’ ἐπέγραψε, καὶ καθ’ ὅλα γ’ αὐτὰ γενναίως ἀγωνίζεται πειρώμενος ἐπιδεικνύναι τὴν καταληπτικὴν φαντασίαν ἀνύπαρκτον.*

Cap. II. *Ἐγὼ δ’ οὔτ’ ἄλλο τι τὸ καταληπτὸν ἡγοῦμαι σημαίνειν παρὰ τὸ βεβαίως γνωστὸν οὔτ’ ἄλλο*

2. *τῷ Ἀλκιβιάδῃ* L Ks Volkm. *τοὺς Ἀκαδημαϊκοὺς* om. *καὶ τοὺς ἄλλους* * Alterum *τοὺς* post *ἄλλους* tollunt Ks Volkm. *καὶ τ. ἄλ. τοὺς Ἀκ.* LO ‖ 3. *συναγορ.* Ks in notis C *προσαγ.* LO ‖ 9. *ὀνόματος στωικοῦ* L Ks in notis Gk in notis ‖ 14. *οὔτε τὰ τούτοις ἀντικείμενα στερ. λεγ. οἷον ἀκατάλ. φ.* mavult Marres l. l. p. 135 ‖ 15. *τὴν ἀκαταλ.* * ‖ 16. *αὐτὸς δὲ καὶ* * *αὐτὴν ὡς δὲ καὶ* LO *ὥστε καὶ* Corn ‖ 22. *ἄλλο τι τὸ* * ‖ 23. *βεβαίως γνωστόν* * G in notis: ‘Calaber vertit: *Certe* cognoscibile’ *γνωστὸν* ceterum etiam L, non ut ait Ks *γνωστέον*

τι τὸ καταλαμβάνεσθαι τοῦ βεβαίως γιγνώσκειν, ἀνά-
λογον δ' αὐτοῖς λέγεσθαι τήν τε κατάληψιν καὶ τὴν
καταληπτικὴν φαντασίαν. Ἐπειδὴ γὰρ ἔνια μὲν οἰό-
μεθα βλέπειν ἢ ἀκούειν ἢ ὅλως αἰσθάνεσθαι, καθάπερ
ἐν ὀνείροις καὶ μανίαις, ἔνια δ' οὐκ οἰόμεθα μόνον
ἀλλα καὶ κατ' ἀλήθειαν ὁρῶμεν ἢ ὅλως αἰσθανόμεθα,
ταυτὶ μὲν τὰ δεύτερα πάντες ἄνθρωποι πλὴν Ἀκαδη-
μαϊκῶν τε καὶ Πυρρωνείων εἰς βεβαίαν γνῶσιν ἥκειν
νομίζουσιν, ἃ δ' ὄναρ ἢ παραπαιόντων ἡ ψυχὴ φαν-
43 τάζεται, ψευδῆ πάνθ' ὑπάρχειν. Εἰ μὲν δὴ ‖ συγχω-
ροῦσιν αὐτὸ τοῦθ' οὕτως ἔχειν, ἐξαλειψάτωσαν ἐν οἷς
γράφουσι, μήτε τοῦ μαινομένου τὸν σωφρονοῦντα μήτε
τοῦ νοσοῦντος τὸν ὑγιαίνοντα μήτε τοῦ κοιμωμένου
τὸν ἐγρηγορότα πιστότερον ὑπάρχειν εἰς τὴν τῶν
πραγμάτων γνῶσιν. εἰ δ' οὐδὲν μᾶλλον ἐκείνοις ἐστὶν
αὐτὰ ἢ τοῖς ἐναντίως διακειμένοις γνωστά, συγκέχυται
μὲν δήπου τὰ τῆς ἀληθείας κριτήρια· οὔτ' αὐτὸς ὁ
διδάσκαλος ὁ Ἀκαδημαϊκὸς οὔθ' ὁ μαθητὴς αὐτοῦ δυ-
νήσεται κρῖναι τοὺς εἰς ἑκάτερα [τῶν ἀντικειμένων]
εἰρημένους λόγους.

[ἔτι δ' οὐ δεησόμεθα τὴν ἀρχὴν ἡμεῖς τοιούτων διδασκάλων, δυνάμενοί γε καὶ αὐτοὶ τὰ γεγραμμένα τοῖς ἀπὸ τῶν αἱρέσεων ἀντιδιῃρημένων ἀναγιγνώσκειν καὶ οὐδὲν ἧττον τῶν Ἀκαδημαϊκῶν εἰδέναι, ἐὰν ἀσαφὲς αὐτῶν τι ᾖ, τὸ μὲν παρὰ [τῷ Χρυσίππῳ] τοῖς Στωικοῖς διδασκάλοις, [ἀσφαλέστερον ὀνομάζειν ἐστί] τὸ δὲ παρὰ [Θεοφράστῳ

4. ἢ ante βλέπειν om. L ‖ 10. πάνθ' ὑπάρχειν LKs ‖ 16. αὐτὰ ἢ τοῖς * αὐτὰ om. LO γνωστά LKs γνωστόν O ‖ 19. [τῶν ἀντικειμένων] inclusi * ‖ 21. ἔτι δ' οὐ O ὅτι δὲ καὶ L num forte δῆλον ὅτι δ' οὐ *? ἡμεῖς τοιούτων LKs ‖ 23. ἀντιδιῃρημένων om. L ‖ 24. ἐὰν ἀσαφές * κἂν ἀσ. LO ‖ 25. De vv. interpolatis τῷ Χρυσίππῳ et q. s. vide editionem meam in Ann. Fleck. 107, p. 392 ‖ 26. ἀναφέρειν ἐστὶ LKs

καὶ Ἀριστοτέλει] τοῖς Περιπατητικοῖς. οὕτω δὲ κἀπὶ τῶν ἄλλων, ὥστ' οὐδὲν ἄν τι λείποιτο πρὸς διδασκαλίαν τοῖς Ἀκαδημαϊκοῖς, ὅσον ἐπὶ τῷ Φαβωρίνου λόγῳ.]

Τοῖς μὲν γὰρ πρεσβυτέροις αὐτὸ δὴ τοῦτ' ἦν δίδαγμα, τὸ μηδὲν εἶναι κριτήριον ἀνθρώπῳ δεδόμενον ὑπὸ τῆς φύσεως, ‖ ᾧ παραβάλλων ἕκαστον τῶν ὄντων 44 ἀκριβῶς διαγνώσεται. διὸ μηδ' ἀποφήνασθαι περὶ μηδενὸς ἠξίουν ἀλλὰ περὶ πάντων ἐπέχειν.

[ἀλλ' εἰ δὴ τοῖς φυσικοῖς κριτηρίοις αἴσθησιν ἱκανῶς συγχωρήσουσιν ἡμῖν, οὐδὲν ἔτι δεησόμεθα τῆς εἰς ἑκάτερα ἐπιχειρήσεως, ἀλλ' ἑτέρας τινὸς παιδεύσεως μᾶλλον, οἵαν τοὺς τεχνίτας παρέχοντας ⟨ὁρῶμεν⟩ τοῖς μαθηταῖς, εὐθέως κατὰ τὸ λογίζεσθαι τὸ καλούμενον ὑπὸ τῶν πολλῶν ψηφίζειν. τοῦτο δ' ἔστι τὸ ἐπιστῆναι τῷ γυμναζομένῳ καὶ τούτοις προσέχειν τὸν νοῦν, ἐν οἷς σφάλλεται καὶ ταῦτα ἐπανορθοῦσθαι μόνα. παραπλησίως δὲ καὶ ὁ παιδοτρίβης ἐπανορθοῦται τὰ τῶν παλαιόντων ἁμαρτήματα καὶ ὁ γραμματικὸς καὶ ὁ ῥήτωρ καὶ ὁ γεωμέτρης καὶ ὁ μουσικὸς οὕτω διδάσκουσιν, οὐ διασείοντες οὐδὲ σαλεύοντες τῶν μαθητῶν ἣν ἔχουσι πίστιν ἐπὶ τοῖς φυσικοῖς κριτηρίοις, ἀλλ' ἐφεστῶτες αὐτοῖς γυμναζομένοις ἄχρι περ ἂν ἀναμαρτήτους αὐτοὺς ἀποδείξωσιν ἐν ταῖς κατὰ μέρος ἐνεργείαις, ἀλλ' οὐχὶ τὴν ἐποχὴν εἰσάγοντες. [οὗτοι γάρ εἰσιν οἵ καὶ ταῖς ἐναργέσιν αἰσθήσεσιν

3. ὅσον ἐπὶ ChKKs ὡς ἐπὶ G ὂν ἐπὶ L Cod. Lond. ap. G ὂν ἐπὶ AB [οἷα? *] ‖ 8. ἐπέχειν ἀλλ' ἀεὶ δὲ L ‖ 11. ἑτέρας — παιδεύσεως * ἑτέρου — ἀπαιτήσεως O ἀπαντήσεις spscr. 'γρ. ἀπατήσεις' L Vide de h. l. Caes. et Saup. οἵαν τοὺς τ. παρ. ⟨ὁρῶμεν⟩ * μὲν τοὺς τ. παρέχοντας LO ‖ 12. εὐθέως (= e. g. Sauppe) κατὰ τὸ λογίζ. * εὐθέως ἀλλ' ἕτερον τὸ λογίζ. LO ‖ 14. ἐπιστῆναι * ἐπισταθῆναι O ψηφίζειν ἐπιστατεῖν (om. τοῦτο δ' ἐστὶ τὸ) L τούτοις * τούτῳ LO ‖ 15. ἐπανορθοῦσθαι * ἐπανορθούμενον L -μενα O ‖ 21. αὐτοὺς ἀποδ. * ‖ 22. ἐν ταῖς — ἐνεργείαις * τὰς ἐνεργείας LO ‖ 23. οὗτοι O αὐτοὶ L ἐναργέσιν αἰσθήσεσιν * ἐνεργείαις σὺν αἰσθήσεσιν LO

45 *ἀπιστεῖν ἀνατιθέντες ἢ τῶν ὑπό ‖ του βεβαίως γιγνωσκομένων καταφρονεῖν*]].

Ὁ γοῦν Καρνεάδης οὐδὲ τούτῳ τῷ πάντων ἐναργεστάτῳ συγχωρεῖ πιστεύειν, ὅτι τὰ ταὐτῷ ἴσα μεγέθη καὶ ἀλλήλοις ἴσα γίγνεται.

Καὶ μὲν οὖν λόγους, οἷς ἐπιχειρεῖ καταλύειν ταῦτα καὶ ἄλλα πάμπολλα τῶν ἐναργῶς τ᾽ εἶναί σοι φαινομένων καὶ πιστευομένων, ἔτι καὶ εἰς τόδε σωζομένους ἔχομεν. ἀπόκεινται γὰρ ἐν γράμμασιν ὑπὸ τῶν μαθητῶν αὐτοῦ θησαυρισθέντες. αἱ λύσεις δ᾽ οὔθ᾽ ὑπ᾽ ἐκείνων οὔθ᾽ ὑπ᾽ ἄλλου τινὸς εὕρηνται τῶν μετ᾽ αὐτὸν Ἀκαδημαϊκῶν. Ἀλλ᾽ οὖν, εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν ἐδήλωσε μόνον, ὅτι σοφίσματ᾽ εἰσὶν οἱ λόγοι πάντες οὗτοι, καὶ ζητητέον τὴν λύσιν αὐτῶν ὑμῖν, ὦ μαθηταί. μοχθηρὸν μὲν γὰρ τοῦτο, δικαιότερον δ᾽ ὅμως οὐ πεποίηκασιν οἱ γράψαντες μὲν αὐτούς, μὴ δηλώσαντες δ᾽ ὑμῖν, ὁποῖοί τινές εἰσιν.

Cap. III. *Ἡδέως ἂν ἠρόμην, εἰ παρῆν ὁ Φαβωρῖνος, ἆρά γε κελεύει με πείθεσθαι τούτοις ἅπασι τοῖς λόγοις ἢ σκοπεῖσθαι, πότερον ἀληθεῖς εἰσιν ἢ ψευδεῖς;*
46 *εἰ γὰρ δὴ ‖ σκοπεῖσθαι συνεχώρησεν, ἠρόμην ἂν ἐπὶ τῷδε πάντως, εἰ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει διακρίνειν ἀληθεῖς λόγους ψευδῶν ἢ εἰ μέθοδός ἐστι τῆς*

1. *τῶν — γιγνωσκομένων* * *τοὶς -μένοις* LO cf. Fleck. Ann. 107, 390 ‖ 3. *τούτῳ τῷ — ἐναργεστάτῳ* * ‖ 6. *καὶ μὲν οὖν λόγους* L *καταλύειν ταῦτα* G *λύειν κατὰ ταῦτα* LAB *λύειν καὶ ταῦτα* ChKKs ‖ 7. *ἐναργῶς τ᾽ εἶναι* * *ἐναργ. τὶ εἶναι* LO ‖ 10. *θησαυρισθέντες* LKs ‖ 11. *εὕρηνται* * ‖ 12. *ἀλλ᾽ οὖν* * *ἆρ᾽ οὖν* LO ‖ 15. *δικαιότερον* * *σμικρότερον* (quod corruptum est) LO ‖ 17. *ἡμὶν* L ‖ 18. *ἡδέως ἂν* LKs *δ᾽ ἂν* O *παρῆν* GCornCChart. in versione ‘si adesset’ ‖ 19. *τούτοις ἅπασι* * ‖ 21. *εἰ γὰρ δὴ* * *εἰ δὴ γὰρ* Cod. Adelphi ap. G *ἓν γὰρ δὴ* LKs *ἠρόμην ἂν* om. *δ᾽* * ‖ 23. *ἢ εἰ μέθοδος* *

ἑκατέρων γνώσεως; εἰ μὲν γὰρ φύσει, πῶς οὐχ ὁμολογοῦμεν ἀλλήλοις ἅπαντες οὐδ' ὡσαύτως ἀποφαινόμεθα περὶ τῶν αὐτῶν; εἰ δὲ μέθοδός τίς ἐστιν, αὐτὴν πρότερον ἂν μαθεῖν ἐδεήθην.

[ἑξῆς δ' ἐπιστατοῦντας αὐτοὺς γυμνάσασθαι πολυειδῶς ἐπὶ πραγμάτων πλειόνων ὥσπερ τοὺς παλαίειν μανθάνοντας ἢ σκυτοτομεῖν ἢ οἰκοδομεῖν ἢ ναυπηγεῖν ἢ ῥητορεύειν ἢ ἀναγιγνώσκειν ἢ γράφειν ἢ ὅλως ὁτιοῦν ἐνεργεῖν κατὰ τέχνην.]

Εἰ μὲν οὖν ἔγραψέ τις τῶν Ἀκαδημαϊκῶν, οἷον μέν τι χρῆμά ἐστιν ἀπόδειξις, οἷον δὲ σόφισμα καὶ ὡς χρὴ διαγιγνώσκειν αὐτὰ [καὶ ὡς χρὴ γυμνάζεσθαι κατ' αὐτά], προσηκόντως ὁ Φαβωρῖνος ἐπιτρέπει τὴν κρίσιν τοῖς εἰς ἑκάτερα ἐπιχειρουμένοις τῶν μαθητῶν.

[πλὴν ὅτι περιττόν ἐστιν, εἰ διδάσκει ὁ Ἀκαδημαϊκὸς ἕκαστον τῶν εἰρημένων, ἐχόντων δὴ ἡμῶν τοὺς ἰδίους τῶν δογμάτων διδασκάλους.]

Εἰ δ' οὐκ ἔγραψέ τις ‖ ὑπὲρ τῆς διαφορᾶς αὐτῶν 47 *[οὔτ' ἐγύμνασεν], ὅμοιόν τι ποιεῖ τέκτονι κελεύοντι τῷ μαθητῇ μετρῆσαί τε καὶ στῆσαι καὶ ἀποτεῖναι καὶ κύκλον γράψαι χωρὶς τοῦ πῆχυν δοῦναι καὶ ζυγὸν καὶ κανόνα καὶ καρκίνον.*

[ἀλλ' ἴσως φησὶ μηδὲν εἶναι τοιοῦτον ἐν φιλοσοφίᾳ καὶ δόγμασι. μὴ τοίνυν ἔτι προσποιοῦ γιγνώσκειν τι μηδ' ἀποφάναι μηδ' ἀποδίδρασκε τὴν ὑπὸ τῶν πρεσβυτέρων

3. *αὐτὴν πρότερον ἂν* αὐτὴν πρώτην* om. *ἂν* O. Versiones habent aliae primum aliae primo ‖ 4. *ἐδεήθην* L O *ἐδεήθη* G Versiones: 'oportebat' ‖ 5. num forte *ἑξῆς δεῖ*? vide Fleck. Ann. 107, 390 ‖ 6. *τοὺς π. μανθάνοντας* * ‖ 13. *προσηκόντως ὁ Φαβ.* Saup. *προσηκόντως ὡς ὁ Φαβ.* L Ks C ‖ 14. *τοῖς — ἐπιχειρουμένοις τῶν* * *ὡς ἐπιχειρουμένων* L O ‖ 15. *πλὴν ὅτι* L O num forte *δῆλον ὅτι*? Vide Fleck. Ann. l. l. p. 390 *εἰ διδάσκει* Saup ‖ 16. *ἐχόντων δὴ ἡμῶν* L Saup *ἰδίους* L Ks Saup ‖ 21. *ζυγὸν* L G Corn k Ks

Ἀκαδημαϊκῶν εἰσαγομένην ἐποχήν, μηδὲ σεμνύνου γραμματικοῦ ποιῶν ἔργον, ἅπερ εἰρήκασιν οἱ πρόσθεν ἐκμεμελετηκώς. ὅτι δ' αὐτῶν ὑγιές ἐστιν οὐδέν, εὔδηλον ἐννόῳ. οὐδὲ γὰρ διδασκάλου τό γε τοιοῦτόν ἐστιν ἀλλ' ἀδολεσχία τις ἢ λῆρος.]

Πόθεν οὖν ἐλπὶς ὑπολείπεται τῆς τῶν ἀληθῶν εὑρέσεως; ᾧ γὰρ οὐδὲν ὑπάρχει κριτήριον ἀληθῶν καὶ ψευδῶν, ἀνέλπιστος ἡ γνῶσις αὐτῶν.

[ἐγχείρησον δὲ διδάξαι μόνον σοφιστὰς μηδὲν ἡμῖν ὑπάρχειν κριτήριον σύμφυτον, ὥστε γε μετὰ τοῦτο τολμηρῶς . . . . ἡμῖν μέντοι ἴσως φᾶσιν, αἴσθησίν τε καὶ νόησιν ἐναργῆ κριτήρια τοῦ ἀληθοῦς εἶναι συγχωρήσειεν ἄν τις ἐν
48 *λογικαῖς ‖ κυλινδεῖσθαι βουλόμενος ἐλπίσι ματαίαις.]*

Ὅσοι δ' ἀνῃρήκασιν ὅλην τὴν ἐλπίδα, καθάπερ ἐκεῖνος, μάτην ἐφλυάρουν. Εὔδηλος οὖν ἐστιν ὁ Φαβωρῖνος αἰδούμενος μὲν ἀνατρέπειν πάντα καὶ ἀγνοεῖν ὑπάρχον ὁμολογεῖν, ὃ δῆθεν ὑπάρχειν οἱ πρόσθεν ἔλεγον Ἀκαδημαϊκοί τε καὶ Πυρρώνειοι, προσποιούμενος δ' ἐπιτρέπειν τὴν κρίσιν τοῖς μαθηταῖς, ἣν οὐδ' ἑαυτοῖς ἐπέτρεψαν οἱ πρὸ αὐτοῦ.

Cap. IV. *Ὅτι μὲν οὖν ἡ τοιαύτη διδασκαλία τῶν μανθανόντων ὁτιοῦν, οἵαν ἐννοεῖται Φαβωρῖνος, οὐ μόνον οὐκ ἔστιν ἀρίστη τῶν ἄλλων, ἀλλ' οὐδὲ διδασκαλία, τὴν ἀρχὴν ἐναργῶς οἶμαι δεδιδάχθαι· οἵας δ'*

2. *ἅπερ* * *ἃ μὲν* L O ‖ 8. *γνωσις αὐτῶν** L ‖ 9. *ἐνεχείρησε* L fort. *ἐγχωρεῖ δὲ* * Vide Fleck. p. 391 ‖ 10. Post *τολμηρῶς* nonnulla exciderunt ‖ 11. *ἴσως φᾶσιν* L ‖ 12. *κριτήρια τῆς ἀληθείας* L ‖ 13. *κυλινδεῖσθαι βουκολούμενος* L Vide Caesarem de h. l. p. VI ‖ 15. *ἐφλυάρουν* L quod Ks legit *ἐφλυάρεις*. ‖ 16. *αἰδούμενος μὲν* * *αἰδοῖ μὲν* L O *ἀνατρέπειν* L ‖ 17. *ὑπάρχον* Eberhard in censura edit. meae prioris in Ann. Bursian. 1875, X, p. 1309 *ὑπάρχειν* O *ὁμολογεῖν* L *ὁμολογῶν* G Corn Ch K *ὁμόλογον* A B *ὃ δῆθεν* * *ὅθεν* L O *ὅπερ* G ‖ 20. *πρὸ αὐτῶν* A B ‖ 24. *οἵας δ'* * *ἃς δ'* L Ks *ἂν δ'* O

οἱ λοιποὶ πάντες, διδασκαλίαι μέν εἰσιν, εἰ δ' ἄρισται, σκοπῶμεν, ἐξ ἀρχῆς ἀπὸ τῶν αὐτῶν αὖθις ἀρξάμενοι. Φαίνεται γὰρ ἡμῖν ἐναργῶς τοῦτο, κἂν ὅτι μάλιστ' αὐτοῖς ἄπιστον ἐργάζεσθαι σπουδάζωσιν οἱ σοφισταί, εἶναι κριτήριον φυσικόν. ὁ μὲν γὰρ καρκίνος γράφει τὸν κύκλον, ὁ δὲ πῆχυς διακρίνει τὰ μήκη καθάπερ τὸ ζυγὸν τὰ βάρη. Ταῦτα δ' αὐτὸς κατεσκεύασεν ‖ ὁ 49 ἄνθρωπος ἐκ τῶν φυσικῶν ὀργάνων τε καὶ κριτηρίων ὁρμώμενος, ὧν ἀπωτέρω κριτήριον οὔτε πρεσβύτερον οὔτε σεμνότερον ἔχομεν. Δεῖ τοίνυν ἐντεῦθεν ἄρχεσθαι. λέγει γὰρ πάλιν ὁ νοῦς, ὡς πιστεῦσαι μὲν ἢ ἀπιστῆσαι τῷ φυσικῷ κριτηρίῳ δυνατὸν ἡμῖν ἐστι, κρῖναι δ' οὐ δυνατὸν αὐτὸ δι' ἑτέρου τινός. ᾧ γὰρ κρίνεται τἄλλα πάντα, πῶς ἂν τοῦτο πρὸς ἄλλου κριθείη; Πίστευε οὖν, εἰ βούλει, τοῖς ὀφθαλμοῖς ἐναργῶς ὁρῶσι καὶ τῇ γλώττῃ γευομένῃ, τουτὶ μὲν μῆλον εἶναι, τουτὶ δὲ σῦκον, ἢ μὴ πίστευε. [πείσομαι ὃ βούλει ποιεῖν ἐφ' ἡμῖν.] εἰ μέντοι σπεύδεις διαλέγεσθαί μοι [μὴ πιστεύοντος δὲ ὡς παρὰ φύσιν ἔχοντος ἀφίσταμαι] κείσθω πρότερον ἀπιστεῖν σε, μηδὲν ἔλπιζε μαθήσεσθαι παρ' ἐμοῦ. τοῦτο γὰρ ἄρτι πέπαυμαι λέγων· ὑποκείσθω δέ σε πιστεύειν, ἐλπίζειν ἔσται μαθήσεσθαι παρ' ἐμοῦ. Κρίνω δ' ἐγὼ τὰ μὲν αἰσθητὰ τοῖς ἐναργῶς αἰσθήσει

3. ἐναργῶς τὸν ὡς κἂν ὅτι μάλ. L ‖ 4. αὐτοῖς O (num forte αὐτὸ? *) ‖ 5. μηδὲν ante εἶναι κρ. eiecimus cum L ‖ 7. τὸ ζυγὸν * τὸν ζυγὸν L ὁ ἄνθρωπος * ‖ 10. δεῖ τοίνυν * εἰ τοίνυν ἄρχεσθαι, λέγει L ‖ 11. ὡς πιστεῦσαι * ὧ πιστεῦσαι L ‖ 12. ἀπιστῆσαι τῷ om. ὡς L ‖ 15. πίστευε οὖν, εἰ βούλει * πιστεύειν βούλει LO ‖ 17. ἢ μὴ πίστευε * ἢ μὴ πιστεύειν O εἰ μὴ πιστεύειν L πείσομαι (patiar) LKs ὑπείσομαι O ὑπείξομαι GCS ὑποίσομαι Corn ‖ 20. ἔλπιζε LKs ἐλπίζειν O ‖ 22. ἐλπίζειν ἔσται * Pr. XXXV ἐλπίζεσθαι LO ‖ 23. κρίνω δ' ἐγὼ * κρίνειν ἀλλ' ἐγὼ LO

φαινομένοις, τὰ δὲ νοητὰ τοῖς ἐναργῶς νοουμένοις.

Ἐπεὶ δ' ἐκ τῶν φυσικῶν κριτηρίων αἱ τέχναι πᾶσαι
50 *κατασκευάζουσιν ὄργανά τε ‖ καὶ κριτήρια τεχνικά, δι' ὧν τὰ μὲν αὐταὶ συντιθέασι, τὰ δ' ὑφ' ἑτέρων συγκείμενα κρίνουσι, κἀγὼ διδάξω ὅλως ὄργανά τε καὶ κριτήρια, τὰ μέν, οἷς κατασκευάσεις τοὺς ἀληθεῖς λόγους, τὰ δ', οἷς τοὺς ὑφ' ἑτέρων γεγονότας κρινεῖς. ἔχει γὰρ οὕτω τὸ πᾶν· εἰ μὲν ἐξ ἑαυτοῦ τι φαίνεται πρὸς αἴσθησιν ἢ νόησιν ἐναργῶς, οὐ χρῄζει τοῦτο ζητήσεως, εἰ δὲ μή τι τοιοῦτον ὑπάρχει, τῆς ἐξ ἑτέρου γε προσδεῖται γνώσεως. Ἐγὼ μὲν ἐπαγγέλλομαί σοι διδάξειν ἔνια μὲν τοῖς κατὰ τὰς τέχνας ὀργάνοις ἀνάλογα, ἐξ ὧν εὑρήσεις τὸ ζητούμενον, ἔνια δὲ τοῖς κριτηρίοις, ἐξ ὧν τὸ δοκοῦν εὑρῆσθαι κρινεῖς. ἐπειδὰν δὲ μάθῃς ταῦτ', ἐπὶ πολλῶν παραδειγμάτων γυμνάσω σε ταχέως θ' ἅμα καὶ ἀκριβῶς εὑρίσκειν καὶ κρίνειν τὸ ζητούμενον, ὥστ' οὔτε βιβλίου δεήσῃ τινὸς ἔτι ἤδη πρὸς τὴν τῶν ἀληθῶν εὕρεσιν οὔτε διδασκαλίας ἑτέρας, εὐθὺς δὲ δήπου καὶ τοὺς ἄλλο τι λέγοντας ὧν εὗρες ἑτοίμως γνωριεῖς. ὥσπερ γὰρ ὁ τὴν εὐθεῖαν*
51 *ὁδὸν γιγνώσκων μίαν οὖσαν οὐ δεῖται δι‖δασκαλίας ἑτέρας εἰς ἔλεγχον τῶν πεπλανημένων, οὕτως ὁ τὴν εὐθεῖαν ὁδὸν τῆς ἀποδείξεως ἐκμαθὼν εὐθὺς ἅμα ταύτῃ καὶ τὰς πεπλανημένων γνωρίζει.*

4. *αὐταὶ* * *αὐτοῖς* LO ‖ 7. *τοὺς ὑφ' ἑτέρ.* L *τ. ἐφ. ἑτέρ.* O *γεγονότας κρινεῖς* * *γεγ. κρίνειν* L ‖ 8. *εἰ μὲν ἐξ* om. *γὰρ* L *φαίνεται* * *φαίνοιτο* LO ‖ 10. *εἰ δὲ μήτι* L *ἐξ ἑτέρου γε* * *ἐξ ἑτέρου δὲ* LKs ‖ 17. *οὔτε βιβλίου — οὔτε διδασκαλίας* Eberhard l. l. ‖ 19. *εὐθὺς δὲ δήπου* L ‖ 20. *γνωριεῖς* Eberh. *γνωρίσειας* LO ‖ 21. *μίαν οὖσαν* LKs Cod. Ven. ap. G *εὐθεῖαν οὖσαν* O ‖ 22. *οὕτως ὁ* L ‖ 24. *τὰς πεπλανημένων* G et k in notis *τὰς πεπλανημένας* LO

Cap. V. *Φαβωρῖνος δέ μοι δοκεῖ παραπλήσιόν τι ποιεῖν τῷ φάσκοντι τυφλόν σε εἶναι, δύνασθαι δὲ κρῖναι, πότερος ἡμῶν ἐστι ῥυπαρώτερος ἢ λευκότερος, οὐκ ἐννοῶν, ὅτι τῷ μέλλοντι τὰ τοιαῦτα κρίνειν ὑπάρχειν χρὴ πρότερον ὄψιν. οὐ μὴν οὐδὲ διαφέρει πρὸς τὴν κρίσιν ἢ μηδ' ὅλως ἔχειν ὄψιν ἢ ἔχοντα μὴ πιστεύειν αὐτῇ. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὅσα νῷ κρίνομεν [ὁποῖόν ἐστί τι, καὶ ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα ὑπάρχει] καθάπερ τοῖς ὄνοις οὐκ ἄν τις ἐπιτρέψειεν, ὅτι μηδ' ὅλως ἔχουσι νοῦν, οὕτως οὐδὲ τοῖς ἀνθρώποις, εἰ μηδ' οὗτοι πιστὸν ἔχουσι τὸν νοῦν· οὐδὲν γὰρ διαφέρει πρὸς τὴν τῶν κρινομένων πίστιν, ἢ μηδ' ὅλως ἔχειν τι κριτήριον ἢ λαβόντα μὴ πιστεύειν αὐτῷ. Γελοῖος οὖν ἐστιν ὁ Φαβωρῖνος ἐπιτρέπων κρίνειν τοῖς μαθηταῖς ἄνευ τοῦ συγχωρῆσαι τὴν πίστιν τοῖς κριτηρίοις. εἰ γὰρ οὐδέν ἐστιν ἐναργὲς τῷ νῷ || ἢ πιστὸν ἐξ ἑαυτοῦ, διέφθαρται πάντων ἡ κρίσις. εἰ* 52 *δ' ἔστι μὲν οἷός περ ὀφθαλμὸς ἐν σώματι, τοιοῦτος ἐν ψυχῇ νοῦς, οὐ μὴν ἅπασί γ' ὁμοίως ὀξύς, ἐγχωρεῖ, καθάπερ ὁ βλέπων ὀξύτερον ἐπάγει πρὸς τὸ θέαμα τὸν ἀμβλύτερον ὁρῶντα, κατὰ τὸν αὐτὸν τρόπον κἀπὶ τῶν νοημάτων ὑπὸ τῶν φθασάντων ἰδεῖν ἐναργῶς τὸ νοητὸν ἐπάγεσθαι πρὸς τὴν θέασιν αὐτοῦ τὸν ἀμβλύτερον. καὶ τοῦτ' ἐστὶν ὁ διδάσκαλος, ὥς ὁ Πλάτων τέ φησι κἀγὼ πείθομαι. καὶ γέγραπταί γέ μοι περὶ*

2. *τυφλόν τε εἶναι δι' ὧν λύει* L *σὲ εἶναι τυφλόν* O || 3. *κρῖναι* * *κρίναϊ* L || 4. *τῷ μέλλοντι* KsEberh. *τῷ μὲν* LO || 7. *ὅσα νῷ κρίνομεν* C *ὅσα ὧν κρ.* L || 8. *ὁποῖον ἐστὶ καὶ ὅσα τῷ αὐτῷ ἴσα* L || 12. *τὴν — πίστιν* * *τὴν τ. κριν. διδασκαλίαν ἀπιστίαν* L || 13. *ἢ λαβόντα μὴ πιστεύειν* * *ἄλλως πιστεύειν* L *ἀλλ' ἢ ἀπιστεῖν* O || 18. *οἷός περ ὀφθαλμός* * *ὥσπερ* O || 23. *ἀμβλύτερον* LKs

τούτων ἐπὶ πλέον ἐν τῇ ‘Περὶ ἀποδείξεως’ πραγματείᾳ. [ὅτι τοιαύτη τις οὖσα ἦν πρὸς τὴν νόησιν ἐναργῆ ἡ διδασκαλία.] γέγραπται δὲ καὶ ὅπως ἄν τις ὁρμώμενος ἀπὸ τῶν ἐν ἑκάστῳ στοιχείων καὶ ἀρχῶν ἀποδεικνύοι κάλλιστα πᾶν, ὅσον ἀποδειχθῆναι δυνατόν, οὐχ ὡς ὁ θαυμαστὸς Φαβωρῖνος, ὃς ἓν ὅλον γράψας βιβλίον, ἐν ᾧ δείκνυσι, μηδὲ τὸν ἥλιον εἶναι καταληπτόν, ὡς ἐπιλήσμοσιν ἡμῖν ἑτέρωθι διαλέγεται συγχωρεῖ τέ τι βεβαίως εἶναι γνωστὸν καὶ τοῦτ’ ἐπιτρέπει αἱρεῖσθαι τοῖς μαθηταῖς.

1. *Περὶ ἀποδείξεως* Gal. XIX, 41 et Iw. Mueller ad Gal. *περὶ τάξεως* p. 20 et 25 ‖ 2. *τοιαύτη* (om. *ὅτι*) *τις οὖσα τῆ πρὸς τὴν ν. ἐναργῆ ἡ διδ.* L ‖ 4. *ἀποδεικνύοι* Ks *-κνὺς εἴη* LO ‖ 5. *κάλλιστα* Ks *κάλιστα* L ‖ 6. *ὃς ἓν* * ‖ 9. *ἐπιτρέπει* * *ἐπιτρέπων* O. ‘Fortasse corrigendum vel *συγχωρῶν* vel *ἐπιτρέπει*’ Marres.

III.

ΠΕΡΙ ΤΟΥ ΔΙΑ ΤΗΣ ΣΜΙΚΡΑΣ ΣΦΑΙΡΑΣ ΓΥΜΝΑΣΙΟΥ.

Cap. I. *Πηλίκον μὲν ἀγαθόν ἐστιν εἰς ὑγίειαν,* [K. V, p. 899] *ὦ Ἐπίγενες, γυμνάσια, καὶ ὡς χρὴ τῶν σιτίων ἡγεῖσθαι αὐτά, παλαιοῖς ἀνδράσιν αὐτάρκως εἴρηται, φιλοσόφων τε καὶ ἰατρῶν τοῖς ἀρίστοις· ὅσον δ' ὑπὲρ τἄλλα τὰ διὰ τῆς σμικρᾶς σφαίρας ἐστί, τοῦτ' οὐδέπω τῶν πρόσθεν ἱκανῶς οὐδεὶς ἐξηγήσατο. δίκαιον οὖν ἡμᾶς, ἃ γιγνώσκομεν, εἰπεῖν, ὑπὸ σοῦ μὲν κριθησόμενα, τοῦ πάντων ἠσκηκότος ἄριστα τὴν ἐν αὐτοῖς τέχνην, χρήσιμα δὲ καὶ τοῖς ἄλλοις, οἷς ἂν μεταδῷς τοῦ λόγου, γενησόμενα. φημὶ γὰρ ἄριστα μὲν ἁπάντων γυμνασίων εἶναι τὰ μὴ μόνον ‖* [900] *τὸ σῶμα διαπονεῖν, ἀλλὰ καὶ τὴν ψυχὴν τέρπειν δυνάμενα. καὶ ὅσοι κυνηγέσια καὶ τὴν ἄλλην θήραν ἐξεῦρον, ἡδονῇ καὶ τέρψει καὶ φιλοτιμίᾳ τὸν ἐν αὐτοῖς πόνον κερασάμενοι, σοφοί τινες ἄνδρες ἦσαν καὶ φύσιν ἀνθρωπίνην ἀκριβῶς καταμεμαθηκότες. τοσοῦτον γὰρ ἐν αὐτῇ*

Inscriptio. *τῆς σμικρᾶς* LM *τῆς* om. PO
1. *πηλίκον μὲν* LPM *ὦ Ἐπίγ.* om. LPM ‖ 7. *σοῦ μὲν* H *σοῦ δὲ* O *κριθησόμενα* HL^1 *κριθησόμεθα* L^2O ‖ 8. *τὴν ἐν αὐτοῖς* O$L^2P^2M^2$ *τὴν σαυτοῦ* $L^1P^1M^1$ *τὴν αὐτῆς τέχνην* Helmr Ind. philol. X, 1 pag. 24 sq. *χρήσιμα δὲ καὶ* om. *ἱκανῶς εἰρῆσθαι ἂν δόξειε* * Pr. LVII *ἱκανῶς* servare vult Helmr. l. l. ‖ 11. *γυμνασίων* L^1M ‖ 13. *κυνηγέσια* LPM

δύναται ψυχῆς κίνησις, ὥστε πολλοὶ μὲν ἀπηλλάγησαν νοσημάτων ἡσθέντες μόνον, πολλοὶ δ' ἑάλωσαν ἀνιαθέντες. οὐδ' ἔστιν οὐδὲν οὕτως ἰσχυρὸν τῶν κατὰ τὸ σῶμα παθημάτων, ὡς κρατεῖν τῶν περὶ τὴν ψυχήν. οὔκουν οὐδ' ἀμελεῖν χρὴ τῶν ταύτης κινήσεων, ὁποῖαί τινες ἔσονται, πολὺ δὲ μᾶλλον ἢ τῶν τοῦ σώματος ἐπιμελεῖσθαι τά τ' ἄλλα καὶ ὅσῳ κυριωτέρα σώματος ἡ ψυχή. τοῦτο μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων τῶν μετὰ τέρψεως, ἄλλα δ' ἐξαίρετα τῶν διὰ τῆς σμικρᾶς σφαίρας, ἃ ἐγὼ νῦν ἐξηγήσομαι.

Cap. II. *Πρῶτον μὲν ἡ εὐπορία. εἰ γοῦν ἐννοήσειας, ὅσης δεῖται παρασκευῆς θ' ἅμα καὶ σχολῆς τά τ' ἄλλα πάντα τὰ περὶ θήραν ἐπιτηδεύματα καὶ*
901 *τὰ κυνηγέσια, ‖ σαφῶς ἂν μάθοις, ὡς οὔτε τῶν τὰ πολιτικὰ πραττόντων οὐδεὶς οὔτε τῶν τὰς τέχνας ἐργαζομένων δύναται μεταχειρίζεσθαι τὰ τοιαῦτα γυμνάσια. καὶ γὰρ πλούτου ταῦτα δεῖται πολλοῦ καὶ σχολὴν ἄγοντος οὐκ ὀλίγην ἀνθρώπου. τοῦτο δὲ μόνον οὕτω γε φιλάνθρωπον, ὡς μηδὲ τὸν πενέστατον ἀπορεῖν τῆς ἐπ' αὐτὸ παρασκευῆς. οὐ γὰρ δικτύων, οὐδ' ὅπλων, οὐδ' ἵππων, οὐδὲ κυνῶν θηρευτικῶν, ἀλλὰ σφαίρας μόνης δεῖται καὶ ταύτης σμικρᾶς. οὕτω δ' εὔγνωμον εἰς τὰς ἄλλας πράξεις, ὥστ' οὐδεμιᾶς αὐτῶν ὀλιγωρεῖν ἀναγκάζει δι' αὐτό. καίτοι τί ἂν εὐπορώτερον γένοιτο*

1. *ψυχῆς κίνησις* * ‖ 3. *οὐδ' ἔστιν οὐδὲν* * *οὐδ' ἔστιν οὐδ'* LP *οὐκ ἔστι δ' οὕτως ἰσχυρόν τι* O ‖ 7. *κυριωτέρα* M *κυριώτερα* P *κυριώτερον* LO ‖ 11. *πρώτη μὲν* LP *πρῶτον μὲν* MO *ἐννοήσειας* * *ἐννοῆσαις* L ‖ 15. *οὐδεὶς — δύναται* M *οὐδεὶς — δυνατὸς* H *οὐδενὶ — δυνατὸν* LPO ‖ 17. *πλούτου δ. πολλοῦ* * *πολλοῦ δ. πολλοῦ* L[1] ‖ 19. *οὕτω γε* LP *γε* om. MO ‖ 20. *τῆς ἐπ' αὐτὸ π.* * *τῆς ἑαυτοῦ π.* LO ‖ 21. *σφαίρας μόνον* M ‖ 24. *δι' αὐτὸ* K *δι' ἑαυτὸ* M *δι' αὐτὸ* LO

τοῦ καὶ τύχην ἀνθρωπίνην ἅπασαν καὶ πρᾶξιν προσιεμένου; τῶν μὲν γὰρ ἀμφὶ τὰς θήρας γυμνασίων τῆς χρήσεως οὐκ ἐφ' ἡμῖν ἡ εὐπορία. πλούτου τε γὰρ δεῖται τὴν παρασκευὴν τῶν ὀργάνων ἐκπορίζοντος καὶ ἀργίας τὸν καιρὸν ἐπιτηρούσης. τούτου δ' ἡ τῶν ὀργάνων παρασκευὴ καὶ τοῖς πενεστάτοις εὔπορος, ὅ τε καιρὸς τῆς χρήσεως καὶ τοὺς ἱκανῶς ἀσχόλους ἀναμένει. τὸ μὲν δὴ τῆς εὐπορίας αὐτοῦ τηλικοῦτον ἀγαθόν. ὅτι δὲ καὶ πολυαρκέστατον τῶν ἄλλων ‖ γυμνασίων, ὧδ' ἂν 902
μάλιστα μάθοις, εἰ σκέψαιο καθ' ἕκαστον αὐτῶν, ὅ τι τε δύναται καὶ οἷόν τι τὴν φύσιν ἐστίν. εὑρήσεις γὰρ ἢ σφοδρὸν ἢ μαλακὸν ἢ τὰ κάτω μᾶλλον ἢ τὰ ἄνω κινοῦν ἢ μέρος τι πρὸ τῶν ἄλλων, οἷον ὀσφὺν ἢ κεφαλὴν ἢ χεῖρας ἢ θώρακα. Πάντα δ' ἐξ ἴσου τὰ μέρη τοῦ σώματος κινοῦν καὶ δυνάμενον ἐπί τε τὸ σφοδρότατον ἀνάγεσθαι καὶ ἐπὶ τὸ μαλακώτατον ὑφίεσθαι τῶν μὲν ἄλλων οὐδέν, τοῦτο δὲ μόνον τὸ διὰ τῆς σμικρᾶς σφαίρας γυμνάσιον, ὀξύτατον ἐν μέρει καὶ βραδύτατον γενόμενον, σφοδρότατόν τε καὶ πρᾳότατον, ὡς ἂν αὐτός τε βουληθῇς καὶ τὸ σῶμα φαίνηται δεόμενον. οὕτω δὲ καὶ τὰ μέρη κινεῖν μὲν ἔστιν αὐτοῦ πάνθ' ὁμοῦ, εἰ τοῦτο συμφέρειν δόξειεν, ἔτι δὲ πρὸ ἄλλων ἄλλα, εἰ καὶ τοῦτό ποτε δόξειεν. ὅταν μὲν γὰρ συνιστάμενοι πρὸς ἀλλήλους καὶ ἀποκωλύοντες ὑφαρπάσαι τὸν με-

4. *ἀργίας σχολῆς* L^1PO *ἀργίας* erasit L^2H *σχολῆς* expunxi * Pr. LVI ‖ 5. *τούτου* L^2P *τούτων* L^1MO *δ' ἡ τῶν* ex *δὴ* corr. L *δ' ὁ τῶν* P *δὲ τῶν* MO ‖ 6. ante *εὔπορος* Editt. habent *ὡς εἴρηται*, quae absunt a LPM ‖ 20. *βουληθῇς — φαίνηται* K *βουληθείης — φαίνεται* LPMO *δεόμενον* LP *ἐμμένον* MO ‖ 23. *ὅταν μὲν* LP *μὲν* om. MO *ἀφαρπάσαι* L^2P ‖ 24. *τὸν μεταξὺ* OPL^2 *τὸ* L^1B in marg. *τῶν* M *τὴν μεταξὺ* Casaubonus ap. Meineke Com. Gr. fragm. III, p. 137 extr.

ταξὺ διαπονῶσι, μέγιστον αὐτὸ καὶ σφοδρότατον καθίσταται πολλοῖς μὲν τραχηλισμοῖς, πολλαῖς δ' ἀντιλήψεσι παλαιστικαῖς ἀναμεμιγμένον, ὥστε κεφαλὴν μὲν καὶ αὐχένα διαπονεῖσθαι τοῖς τραχηλισμοῖς, πλευρὰς 903 *δὲ καὶ ‖ θώρακα καὶ γαστέρα ταῖς τε τῶν ἀμμάτων περιθέσεσι καὶ ἀπώσεσι καὶ ἀποστηρίξεσι καὶ ταῖς ἄλλαις παλαιστικαῖς λαβαῖς. ἐν τούτῳ δὲ καὶ ὀσφὺς τείνεται σφοδρῶς καὶ σκέλη. καὶ γὰρ οὖν καὶ ἑδραίας δεῖ τῆς βαδίσεως ἐν τῷ τοιούτῳ πόνῳ. τὸ δὲ καὶ προβαίνειν καὶ εἰς τὰ πλάγια μεταπηδᾶν οὐ μικρὸν σκελῶν γυμνάσιον, ἀλλ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, μόνον δικαιότατα κινοῦν πάντ' αὐτῶν τὰ μόρια. τοῖς μὲν γὰρ προϊοῦσιν ἕτερα νεῦρα καὶ μύες, τοῖς δ' ὑποβαίνουσιν ἕτερα διαπονεῖται πλέον. οὕτω δὲ καὶ τοῖς εἰς τὰ πλάγια μεθισταμένοις ἄλλα. καὶ ὅστις καθ' ἓν εἶδος κινήσεως κινεῖ τὰ σκέλη καθάπερ οἱ θέοντες, ἀνωμάλως οὗτος καὶ ἀνίσως τὰ μέρη γυμνάζει.*

Cap. III. *Ὡς δὲ τοῖς σκέλεσιν, οὕτω καὶ ταῖς χερσὶ τὸ γυμνάσιον τοῦτο δικαιότατον ἐν παντὶ σχήματι λαμβάνειν ἐθιζομένων τὴν σφαῖραν. ἀνάγκη γὰρ κἀνταῦθα*

1. *μέγ. αὐτὸ* O *μέγ. οὕτως* L^1 (in ras.) P ‖ 4. *διαπονεῖσθαι* LPMA ‖ 5 *ἀμμάτων περιθέσεσι* * *ἀμμάτων περιθέσεσι* L *ἀμμάτων παραθέσεσι* P *ὀμμάτων μετάρσεσι καὶ θέσεσι* O ‖ 7. *ἐν τούτῳ* L^2P *τούτῳ* MO ‖ 8. *καὶ γὰρ οὖν καὶ* L in marg. *ἑδραίας δεῖ τῆς βαδίσεως* * Pr. XXIX *ἑδραῖα δεῖ τῆς βάσεως* LP *σκέλη ἑδραῖα τῆς βάσεως* O ‖ 11. *γυμνάσιον, ἀλλ' εἰ χρὴ* * *γυμνάσιον. Κεφ. γ'. Ἀλλ' εἰ χρὴ* O *μόνον δικαιότατα* LP *μόνον ἐστὶ δικαιότατον* O ‖ 13. *προϊοῦσιν* LP *προσιοῦσι* OM. Post *μύες* exhibent *κάμνουσι* LP in marg. adscriptum ‖ 14. *εἰς τὰ πλάγια μεθιστ.* M *εἰς τὸ πλάγιον μεθ.* LO ‖ 16. *ἀνωμάλως οὗτος καὶ ἀνίσως* * *ὁμάλως οὕτως καὶ ἴσως* L^2 *ὁμαλῶς καὶ ἴσως* P *ἀνωμάλως, καὶ οὕτως ἀνίσως* MO ‖ 18. Ante *ὡς δὲ τοῖς σκ.* delevi versum in editionibus male repetitum *τοῖς εἰς τὰ πλάγια μεθισταμένοις ἀλλὰ καὶ* cum LPH* Pr. XXXV *ταῖς χερσὶ* LP ‖ 20. *κἀνταῦθα* L P

*τὴν ποικιλίαν τῶν σχημάτων ἄλλοτ' ἄλλους τῶν μυῶν
τείνειν σφοδρότερον, ὥστε πάντας ἐν μέρει πονοῦντας
ἴσην ἔχειν ἀνάπαυ‖λαν καὶ οὕτως ἐν μέρει πάντας ἐνερ-* 904
*γοῦντάς τε καὶ ἀναπαυομένους οὔτ' ἀργοὺς μένειν τὸ
πάμπαν, οὔτε κόποις ἁλίσκεσθαι μόνους πονοῦντας.
ὄψιν δ' ὅτι γυμνάζει, μαθεῖν ἔνεστιν ὑπομνησθέντας,
ὡς, εἰ μή τις ἀκριβῶς τὴν ῥοπὴν τῆς σφαίρας, εἰς ὅ
τι φέροιτο, προαισθάνοιτο, διαμαρτάνειν τῆς λαβῆς
ἀναγκαῖόν ἐστιν αὐτόν. ἐπὶ τούτῳ δὲ καὶ τὴν γνώμην
θήγει τῇ φροντίδι τοῦ τε μὴ καταβαλεῖν καὶ τοῦ δια-
κωλῦσαι . . . . φροντὶς δὲ μόνη μὲν καταλε-
πτύνει, μιχθεῖσα δέ τινι γυμνασίῳ καὶ φιλοτιμίᾳ καὶ εἰς
ἡδονὴν τελευτήσασα τὰ μέγιστα καὶ τὸ σῶμα πρὸς
ὑγίειαν καὶ τὴν ψυχὴν εἰς σύνεσιν ὀνίνησιν. οὐ σμι-
κρὸν δὲ καὶ τοῦτ' ἀγαθόν, ὅταν ἄμφω τὸ γυμνάσιον
ὠφελεῖν δύνηται, καὶ σῶμα καὶ ψυχήν, εἰς τὴν ἰδίαν
ἑκάτερον ἀρετήν. ὅτι δ' ἀσκεῖν ἄμφω δύναται τὰς με-
γίστας ἀσκήσεις, ἃς μάλιστα μετιέναι τοῖς στρατηγοῖς
οἱ πόλεως βασιλεῖς νόμοι κελεύουσιν, οὐ χαλεπὸν κατ-
ιδεῖν. ἐπιθέσθαι ‖ γὰρ ἐν καιρῷ καὶ [λαθεῖν ἐπιθέμε-* 905
νον, καὶ] ὀξυλαβῆσαι τὴν πρᾶξιν, καὶ σφετερίσασθαι

3. Post *ἀνάπαυλαν* extrusi v. interpolata [*τοῖς ἡσυχάζουσιν τὸν χρόνον τῶν ἐνεργούντων*] *H ‖ 6. *ὄψιν δ' ὅτι γυμν.* MH *ὄψιν δὲ δεῖ πῶς γυμν.* LP *ὄψιν δ' ὅτι γυμνάζειν δεῖ* O ‖ 7. *εἰς ὅ τι* LP *ὅποι* MO ‖ 9. *ἐστιν αὐτόν* * *ἐστιν αὐτῷ* LP *αὐτὸν* om. *ἐστι* MO *ἐπὶ τούτῳ* Helmr. in Ind. philol. l. l. *ἐν τούτῳ* LO *γνώμην θήγει* L[2]P *γνώμην ἴσην* L[1]MO ‖ 11. Post *διακωλῦσαι* exhibent Codd. et Editt. verba *τὸν μέσον ἢ αὐτὸν ὑφαρπάσαι* (*ἢ* L) *ἐν τούτῳ κατασταίη*, quae nobis nil nisi glossema librarii videntur esse cf. Pr. LVIII *μόνη μὲν* LP *μὲν* om. MO *καὶ εἰς* LP *καὶ* om. O ‖ 13. *καὶ τὸ σῶμα* LP *καὶ* om. MO ‖ 17. *ἑκάτερον* MH *ἑκατέρων* L[1] *ἑκατέραν* L[2] ‖ 18 *στρατηγοῖς* * *στρατηγικοῖς* LO ‖ 20. Verba *λαθεῖν ἐπιθέμενον* (*λαβεῖν* L[2]P) interpretationem efficere videntur eorum, quae secuntur, *ἐξ ἀδοκήτου ἐπιθ.*

τὰ τῶν ἐναντίων ἢ βιασάμενον ἢ ἐξ ἀδοκήτου ἐπιθέμενον, καὶ φυλάξαι τὰ κτηθέντα τῶν ἀγαθῶν στρατηγῶν ἔργα· καὶ τὸ σύμπαν φάναι, φύλακά τε καὶ φῶρα δεινὸν εἶναι χρὴ τὸν στρατηγόν, καὶ ταῦτ' αὐτοῦ τῆς ὅλης τέχνης τὸ κεφάλαιον. ἆρ' οὖν ἄλλο τι γυμνάσιον οὕτω προεθίζειν ἱκανὸν ἢ φυλάττειν τὸ κτηθὲν ἢ ἀνασώζειν τὸ μεθεθὲν ἢ τῶν ἐναντίων τὴν γνώμην προαισθάνεσθαι; θαυμάζοιμ' ἄν, εἴ τις εἰπεῖν ἔχοι. τὰ πολλὰ γὰρ αὐτῶν αὐτὸ τοὐναντίον ἀργοὺς καὶ ὑπνηλοὺς καὶ βραδεῖς τὴν γνώμην ἐργάζεται· καὶ γὰρ καί, ὅσοι κατὰ παλαίστραν πονοῦσιν, εἰς πολυσαρκίαν μᾶλλον ἢ ἀρετῆς ἄσκησιν φέρει. πολλοὶ γοῦν οὕτως ἐπαχύνθησαν, ὡς δυσχερῶς ἀναπνεῖν. ἀγαθοί γ' οὐδ' ἂν οἱ τοιοῦτοι πολέμου γένοιντο στρατηγοὶ ἢ βασιλικῶν ἢ πολιτικῶν πραγμάτων ἐπίτροποι· θᾶττον ἂν τοῖς ὑσὶν ἢ τούτοις τις ὁτιοῦν ἐπιτρέψειεν. ἴσως δ' οἰήσῃ με δρόμον ἐπαινεῖν καὶ τἄλλ' ὅσα λεπτύνει τὸ σῶμα γυ-
906 μνάσια. τὸ δ' οὐχ ‖ οὕτως ἔχει. τὴν γὰρ ἀμετρίαν ἐγὼ πανταχοῦ ψέγω, καὶ πᾶσαν τέχνην ἀσκεῖν φημι χρῆναι τὸ σύμμετρον, καὶ εἴ τι μέτρου στερεῖται, τοῦτ' οὐκ εἶναι καλόν. οὔκουν οὐδὲ δρόμους ἐπαινῶ τῷ τε καταλεπτύνειν τὴν ἕξιν καὶ τῷ μηδεμίαν ἄσκησιν ἀνδρείας ἔχειν. οὐ γὰρ δὴ τῶν ὠκέως φευγόντων τὸ νικᾶν, ἀλλὰ τῶν συστάδην κρατεῖν δυναμένων, οὐδὲ διὰ τοῦτο Λακεδαιμόνιοι πλεῖστον ἠδύναντο τῷ τάχιστα

4. ταῦτ' αὐτοῦ LH ταῦτ' αὐτῷ τε ὅλ. τ. P ταῦτα τῆς τ. αὐτῆς ὅλης O ‖ 7. μεθεθέν H μεθιτ' L[2] μεθιστάμενον O ‖ 9. ἀργοὺς γαρ O γὰρ om. LP ‖ 12. φέρει LPM φέρουσι O ‖ 13. ἀγαθοὶ γ' οὐδ' ἂν LMA ἀγ. τε οὐδ' P γένοιντο H γενέσθαι O ‖ 15. τοῖς ὑσὶν om. γε LP τὸ ῥισὶν M ‖ 21. τῷ τε καταλεπτ. L[1]P ‖ 22. τὸ σῶμα ἀνδρείας LP ‖ 24. ἀλλὰ τῶν om. καὶ LPM

θεῖν, ἀλλὰ τῷ μένειν θαρροῦντες. εἰ δὲ καὶ πρὸς ὑγίειαν ἐξετάζοις, ἐφ᾽ ὅσον ἀνίσως γυμνάζει τὰ μέρη τοῦ σώματος, ἐπὶ τοσοῦτον οὐδ᾽ ὑγιεινόν. ἀνάγκη γὰρ αὐτῷ τὰ μὲν ὑπερπονεῖν, τὰ δ᾽ ἀργεῖν παντελῶς. οὐδέτερον δ᾽ αὐτῶν ἀγαθόν, ἀλλ᾽ ἄμφω καὶ νόσων ὑποτρέφει σπέρματα καὶ δύναμιν ἄρρωστον ἐργάζεται.

Cap. IV. *Μάλιστ᾽* οὖν ἐπαινῶ γυμνάσιον, ὃ καὶ σώματος ὑγίειαν ἱκανὸν ἐκπορίζειν καὶ μερῶν εὐαρμοστίαν καὶ ψυχῆς ἀρετήν, ἃ πάντα τῷ διὰ τῆς σμικρᾶς σφαίρας ὑπάρχει. καὶ γὰρ ψυχὴν εἰς πάντα δυνατὸν ‖ 907 ὠφελεῖν καὶ τοῦ σώματος τὰ μέρη δι᾽ ἴσου πάντα γυμνάζει, ὃ καὶ μάλιστ᾽ εἰς ὑγίειαν συμφέρει καὶ συμμετρίαν ἕξεως ἐργάζεται, μήτ᾽ ἄμετρον πολυσαρκίαν μήθ᾽ ὑπερβάλλουσαν ἰσχνότητα φέρον, ἀλλ᾽ εἴς τε τὰς ἰσχύος δεομένας πράξεις ἱκανόν, καὶ ὅσαι τάχους χρῄζουσιν, ἐπιτήδειον. οὕτω μὲν οὖν, ὅσον ἐν αὐτῷ σφοδρότατον, οὐδενὸς τῶν πάντων κατ᾽ οὐδὲν ἀπολείπεται. τὸ δὲ πρᾳότατον ἴδωμεν αὖθις· ἔστι γὰρ ὅτε καὶ τούτου δεόμεθα διά θ᾽ ἡλικίαν ἢ μηδέπω φέρειν ἰσχυροὺς πόνους ἢ μηκέτι δυναμένην, καὶ κάματον ἐπανεῖναι βουληθέντες ἢ ἐκ νόσου ἀνακομιζόμενοι. δοκεῖ δέ μοι κἀν τούτῳ πλέον ἔχειν ἑτέρου παντός· οὐδὲν γὰρ οὕτω πρᾶον, εἰ πρᾴως αὐτὸ μεταχειρίζοιο. δεῖ δὲ μέσως μὲν

1. *τῷ μένειν θαρροῦντες* * cf. Pr. XL *τῷ μένοντες θαρρεῖν* HLP *τῷ μένοντας ἀναιρεῖν* MO *εἰ δὲ καὶ* LP ‖ 3. *γὰρ αὐτῷ* LP *γὰρ οὕτω* MO ‖ 8. *ἱκανὸν ἐκπορίζειν* LP ‖ 9. *ἀρετήν, ἃ πάντα τῷ* LP *ἀρετὴν παρὰ τούτοις τοῦτο δὲ τὸ* O *παρὰ τούτοις τὸ* M ‖ 10. *ψυχ. εἰς πάντα* LPM ‖ 11. *δι᾽ ἴσου πάντα γ.* LP *δι᾽ ἴσου μάλιστα γ. π.* MO ‖ 16. *σφοδρότατον* LPAB ‖ 17. *οὐδενὸς* LP *οὐδενὶ* MO *ἀπολείπεται* LP *ἐλλείπεται* MO ‖ 20. *ἐπανιέναι* LP *νόσου* L²P *νόσων* MO Pr. LII ‖ 23. *μέσως μὲν ἔχοντα μηδὲ* * *μέσως μένοντα τηνικαῦτα χρῆσθαι μηδενὶ* O *μέσως μενενον* (sic!) *τηνικαύτην χρῆσθαι* (in marg. *μένον*) L Pr. LVII *μέσως μένον τηνικαῦτα χρ.* P *μέσος*

ἔχοντα μηδὲ συμμέτρου ἀποστάντα, τὰ μὲν ἠρέμα προ-
βαίνειν, τὰ δὲ κατὰ χώραν μένειν, μὴ πολλὰ διαγυμνα-
σάμενον, ἐπὶ τῷδε τρίψεσι μαλακαῖς δι' ἐλαίου καὶ
908 λουτροῖς θερμοῖς ‖ χρῆσθαι. τοῦτο μὲν ἁπάντων ἐστὶ
πρᾳότατον, ὥστε καὶ ἀναπαύσασθαι δεομένῳ συμφο-
ρώτατον εἶναι καὶ ἄρρωστον δύναμιν ἀνακαλέσασθαι
δυνατώτατον καὶ γέροντι καὶ παιδὶ συμφορώτατον. ὅσα
δὲ τούτου μὲν ἰσχυρότερα, τοῦ δ' ἄκρως σφοδροῦ πρᾳό-
τερα, διὰ τῆς σμικρᾶς σφαίρας ἐνεργεῖται. χρὴ καὶ ταῦτα
γιγνώσκειν, ὅστις γ' ὀρθῶς βούλεται διὰ παντὸς αὐτὰ
μεταχειρίζεσθαι. καὶ γὰρ εἴ ποτε δι' ἀναγκαῖον ἔργον,
οἷον τὰ πολλὰ πολλάκις ἡμᾶς καταλαμβάνει, πονήσειας
ἀμέτρως ἢ τοῖς ἄνω μέρεσιν ἢ τοῖς κάτω πᾶσιν, ἢ χερσὶ
μόναις ἢ ποσίν, ἔνεστί σοι διὰ τοῦδε τοῦ γυμνασίου
τὰ μὲν ἀναπαῦσαι τὰ πρότερον κεκμηκότα, τὰ δ' εἰς
τὴν ἴσην ἐκείνοις κίνησιν καταστῆσαι τὰ πρότερον ἀργὰ
παντελῶς μεμενηκότα. τὸ μὲν γὰρ ἐκ διαστήματος ἱκα-
νοῦ βαλεῖν εὐτόνως, ἢ οὐδὲν τοῖς σκέλεσιν ἢ παντά-
πασιν ὀλίγον χρώμενον, ἀναπαύει μὲν τὰ κάτω, τὰ δ'
ἄνω κινεῖ σφοδρότερον. τὸ δ' ἐπὶ πλέον διαθέοντα καὶ
ὠκέως ἐκ πολλοῦ διαστήματος ὀλιγάκις προσχρῆσθαι
τῇ βολῇ τὰ κάτω μᾶλλον διαπονεῖ. καὶ τὸ μὲν ἠπειγ-
909 μένον ἐν αὐτῷ ‖ καὶ ταχὺ χωρὶς συντονίας ἰσχυρᾶς τὸ

μένων τῇ κατα ταῦτα χρ. M ‖ 1. συμμέτρου K σύμμετρον LP συμμετρίαν M συμμετρίας H auctoribus tribus Codd. Marcianis cf. Pr. LII προβαίνειν — μένειν * προβαίνοντα — μένοντα O κατὰ χώραν om. καὶ H ‖ 5. ἀναπαύσασθαι LP δεομένῳ L ‖ 6. ἀνακαλέσασθαι HPAB ἀνακαλέσθαι Ch ἀναλαβέσθαι K ἀναβαλέσθαι (non ἀνακαλέσασθαι ut ait H) LM ‖ 11. ἀναγκαῖον ἔργον LP -αίων ἔργων MO οἷον PH οἷα L[1]O χερσὶ μόνοις LPAB ‖ 14. διὰ τοῦδε LPA ἐκ τοῦδε MK ‖ 17. ἱκανοῦ O. Malim μικροῦ * ‖ 18. βαλεῖν LP βάλλειν MO ‖ 21. πολλῶν διαστημάτων LP προσχρῆσθαι om. τε LP προχρῆσθαι MO

πνεῦμα μᾶλλον γυμνάζει, τὸ δ' εὔτονον, τὸ ἐν ταῖς ἀντιλήψεσι καὶ βολαῖς καὶ λαβαῖς, οὐ μὴν ταχύ γε, τὸ σῶμα μᾶλλον ἐντείνει τε καὶ ῥώννυσιν. εἰ δ' εὔτονόν θ' ἅμα καὶ ἠπειγμένον εἴη, διαπονήσει τοῦτο μεγάλως καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα καὶ πάντων ἔσται γυμνασίων σφοδρότατον. ἐφ' ὅσον δὲ δεῖ καθ' ἑκάστην χρείαν ἐπιτείνειν τε καὶ ἀνιέναι, γράψαι μὲν οὐχ οἷόν τε — τὸ γὰρ ἐν ἑκάστῳ ποσὸν ἄρρητον — ἐπ' αὐτῶν δὲ τῶν ἔργων εὑρεῖν τε καὶ διδάξαι δυνατόν, ἐν ᾧ δὴ καὶ μάλιστα τὸ πᾶν κῦρος· οὐδὲ γὰρ ἡ ποιότης ἐστὶ χρήσιμος, εἰ τῷ ποσῷ διαφθείροιτο. τούτου μὲν δὴ τῷ παιδοτρίβῃ μετέστω τῷ μέλλοντι τῶν γυμνασίων ἀφηγεῖσθαι.

Cap. V. *Τὸ δ' ὑπόλοιπον τοῦ λόγου περαινέσθω. βούλομαι γὰρ ἐφ' οἷς εἶπον ἀγαθοῖς προσεῖναι τῷδε τῷ γυμνασίῳ, μηδ' ὡς ἐκτός ἐστι κινδύνων παραλιπεῖν, οἷς τὰ πλεῖστα τῶν ἄλλων περιπίπτει. δρόμοι μὲν γὰρ ὠκεῖς πολλοὺς ἤδη διέφθειραν, ἀγγεῖον ἐπίκαιρον ῥήξαντες· οὕτω δὲ καὶ φωναὶ μεγάλαι θ' ἅμα καὶ σφοδραὶ καθ' ἕνα χρόνον ‖ ἀθρόως ἐκφωνηθεῖσαι, μεγίστων κακῶν* 910
οὐκ ὀλίγοις αἴτιαι γεγένηνται, καὶ ἱππασίαι σύντονοι τῶν τε κατὰ νεφροὺς ἔρρηξάν τι καὶ τῶν κατὰ θώρακα πολλάκις ἔβλαψαν, ἔστι δ' ὅτε καὶ τοὺς σπερματικοὺς πόρους, ἵνα τὰ τῶν ἵππων ἁμαρτήματα παραλείπω, δι' οὓς πολλάκις ἐκπεσόντες τῆς ἕδρας οἱ ἱππεῖς παραχρῆμα

1. *εὔτονον* *H *εὔρωστον* LB *τὸ δ' ἕτερον* O ‖ 9. *διδάξαι* H *δείξαι* LP *δεῖξαι* MO ‖ 11. *τούτου μετέστω* K *τούτῳ μὲν* ex *τοῦτο μὲν* corr. L^1P *τούτου μεθίστω* M *μεθίσθω* ex *μεθίστω* corr. L *τοῦτο μελέτω* H *ἀφηγεῖσθαι* LPH *ὑφηγ.* MO ‖ 14. *προσεῖναι* H *προσιέναι* LPO ‖ 15. *ὡς ἐκτός ἐστι* K *ὅ' //// δὲ ////* *ἐκτός* L *ὅσων δ' ἐκτὸς* P ‖ 20. *αἴτιαι* L^2PM *αἴτια* L^1O *γεγένηνται* L^2P *γεγ.* om. MO ‖ 21. *καὶ τῶν κατὰ θ.* LP *τῶν* om. MO ‖ 24. *δι' οὓς* LP *δι' ὧν* MO *δι' ἃ* H

διεφθάρησαν. οὕτω δὲ καὶ τὸ ἅλμα πολλοὺς ἔβλαψε καὶ ὁ δίσκος καὶ τὰ διὰ τοῦ κάμπτειν γυμνάσια. τοὺς δ' ἐκ τῆς παλαίστρας τί δεῖ καὶ λέγειν; ὡς ἅπαντες λελώβηνται τῶν Ὁμηρικῶν Λιτῶν οὐδὲν μεῖον· ὡς γὰρ ἐκεῖνός φησιν ὁ ποιητὴς

χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ,

οὕτω τοὺς ἐκ τῆς παλαίστρας ἴδοις ἂν ἢ χωλοὺς ἢ διεστραμμένους ἢ τεθλασμένους ἢ πάντως γέ τι μέρος πεπηρωμένους. εἰ δὴ πρὸς οἷς εἶπον ἀγαθοῖς ἔτι καὶ τοῦθ' ὑπάρχει τοῖς διὰ τῆς σμικρᾶς σφαίρας γυμνασίοις, ὡς μηδὲ κινδύνῳ πελάζειν, ἁπάντων ἂν εἴη πρὸς ὠφέλειαν ἄριστα παρεσκευασμένα.

1. *πολλοὺς ἔβλαψε* add. ex L²P *κάμπτειν* MO *σκάπτειν* LP ‖ 3. *ἅπαντες* K *ἅπαντα* LPO ‖ 5. *ἐκεῖνός φ.* LP et M ubi tamen Hlmr. *ἐκείνας* legisse videtur. ‖ 6. Versum homericum restitui ex Il. IX, 503 et Gal. I, 30 *χωλαί τ' ἀρυσαιτε παραβλώπας τε ὀφθαλμῶν* L² *χωλαί τε ῥυσαίτε παραβλώπας τ' ὀφθαλμῶν* P — *ρυσάς τε κτε.* M *τ. ὀφθαλμοῖς* O praeter K ‖ 8. *μέρος πεπληγμένους* M. Cobet Mnemos. X, 910: 'Ut Graeca sit oratio, supplendum: *ἢ πάντως (ἓν) γέ τι μέρος πεπηρωμένους.*' ‖ 11. *ἀσφάλειαν* M ‖ 12. *παρεσκευασμένα* O *-μένων* LP *-μένον* M

IV.

ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΕΠΙ ΤΕΧΝΑΣ.

Cap. I. *Εἰ μὲν μηδ' ὅλως λόγου μέτεστι τοῖς* K. I, 1
ἀλόγοις ὀνομαζομένοις ζῴοις, ἄδηλόν ἐστιν. ἴσως γὰρ
εἰ καὶ μὴ τοῦ κατὰ τὴν φωνήν, ὃν καὶ προφορικὸν
ὀνομάζουσιν, ἀλλὰ τοῦ γε κατὰ τὴν ψυχήν, ὃν ἐνδιά-
θετον καλοῦσι, μετέχει πάντα τὰ μὲν μᾶλλον, τὰ δ'
ἧττον. Ὅτι μέντοι ‖ πλεῖστον ὅσον αὐτῶν διενηνόχα- 2
σιν οἱ ἄνθρωποι, πρόδηλον ἡμῖν ἐστιν ὁρῶσι τό τε
πλῆθος τῶν τεχνῶν, ὧν μεταχειρίζεται τὸ ζῷον τοῦτο,
καὶ ὅτι μόνος ὁ ἄνθρωπος ἐπιστήμης ἐπιδεκτικός, ἣν
ἂν ἐθελήσῃ, τέχνην μανθάνει. Τὰ μὲν γὰρ ἄλλα ζῷα
σχεδὸν ἄτεχνα πάντ' ἐστὶ πλὴν ὀλίγων δή τινων ἐν
αὐτοῖς· ἀλλὰ καὶ ταῦτα φύσει μᾶλλον ἢ προαιρέσει
τεχνῶν τετύχηκεν.

Ὁ δ' ἄνθρωπος οὔτε τινὸς τῶν παρ' ἐκείνοις ἀμελέτητος — [ἀλλὰ] καὶ τὴν ὑφαντικὴν ἐμιμήσατο τὰς ἀράχνας καὶ πλάττει καθάπερ αἱ μέλισσαι καὶ τοῦ νεῖν οὐκ ἀνάσκητός ἐστι καίτοι πεζὸς ὤν — ἀλλὰ καὶ τῶν

Inscriptio: *Προτρ. ἐπὶ τέχνας* K. XIX, 38; Kö p. 16 et 53 *Γαληνοῦ παραφραστοῦ τοῦ Μηνοδότου προτρεπτικὸς λόγος ἐπὶ τὰς τέχνας* O

7. *τό τε πλῆθος* W ex coni. Wyttenb. K ‖ 9. *ὁ ἄνθρωπος* * ‖ 13. *τετύχηκεν* G *εὐτύχηκεν* O ‖ 15. [*ἀλλὰ*] inclusi *

θείων τεχνῶν οὐκ ἀπολείπεται ζηλῶν μὲν Ἀσκληπιοῦ τέχνην ἰατρικήν, ζηλῶν δ' Ἀπόλλωνος αὐτήν γε ταύτην καὶ τὰς ἄλλας ἁπάσας, ἃς ἔχει, τοξικὴν μουσικὴν μαντικήν· ἔτι τε τῶν μουσῶν τὴν ἑκάστης ἰδίαν. Οὐδὲ γὰρ γεωμετρίας οὐδ' ἀστρονομίας ἀφίσταται, ἀλλὰ καὶ τὰ τῆς γῆς νέρθεν καὶ τὰ ὕπερθε τοῦ οὐρανοῦ κατὰ 3 *Πίνδαρον ἐπισκοπεῖ. ἐξεπορίσατο δ'* || *ὑπὸ φιλοπονίας καὶ τὸ μέγιστον τῶν θείων ἀγαθῶν, φιλοσοφίαν. Διὰ ταῦτα τοίνυν κἂν λόγου μετῇ τοῖς ἄλλοις ζῴοις, κατ' ἐξοχὴν αὐτῶν καὶ ὁ ἄνθρωπος μόνος ὀνομάζεται λογικός.*

Cap. II. *Πῶς οὖν οὐκ αἰσχρόν, ᾧ μόνῳ τῶν ἐν ἡμῖν κοινωνοῦμεν θεοῖς, τούτου μὲν ἀμελεῖν, ἐσπευκέναι δὲ περί τι τῶν ἄλλων, τέχνης μὲν ἀναλήψεως καταφρονοῦντα, Τύχῃ δ' ἑαυτὸν ἐπιτρέποντα; ἧς τὴν μοχθηρίαν ἐμφανίσαι βουληθέντες οἱ παλαιοὶ γράφοντες καὶ πλάττοντες αὐτὴν οὐ μόνον ⟨οὐκ⟩ εἴδει γυναικὸς ἠρκέσθησαν, καίτοι τοῦθ' ἱκανὸν ἦν ἀνοίας σύμβολον, ἀλλὰ καὶ πηδάλιον ἔδοσαν ἐν χεροῖν αὐτῇ καὶ τοῖν ποδοῖν ὑπέθεσαν βάσιν σφαιρικήν, ἐστέρησαν δὲ καὶ τοῖν ὀφθαλμοῖν, ἐνδεικνύμενοι διὰ τούτων ἁπάντων τὸ τῆς τύχης ἄστατον. Ὥσπερ οὖν ἐν νηῒ χειμαζομένῃ σφοδρῶς, ὡς ἐπικλύζεσθαί τε τοῖς κύμασι καὶ κινδυνεύειν βυθισθῆναι, μοχθηρῶς ἄν τις πράξειεν ἐπιτρέψας τὰ πηδάλια κυβερνήτῃ τυφλῷ, κατὰ τὸν αὐτόν, οἶμαι, τρόπον κἀν τῷ βίῳ μειζόνων ναυα-* 4 *γίων περὶ πολλοὺς* || *οἴκους γιγνομένων ἢ περὶ τὰ σκάφη κατὰ θάλατταν, οὐκ ὀρθῶς γιγνώσκοντός ἐστιν ἐπι-*

6. *κατὰ Πίνδαρον* Plat. Theaet. 173 E || 9. *μετῇ* MCC || 13. *ἐσπευκέναι* O = V, 850. 859. XIV, 612. *ἐσπουδακέναι* G Iamot. ap. W. || 17. *οὐ μόνον ⟨οὐκ⟩ εἴδει* * Pr. XXXI *ἐν εἴδει* O

τρέπειν ἑαυτὸν ἐν τοιαύταις περιστάσεσι πραγμάτων τυφλῇ δαίμονι, μηδ' αὐτῇ βεβαίως ἐστηριγμένῃ. Ἔμπληκτός τε γάρ ἐστι καὶ ἄνους εἰς τοσοῦτον, ὡς πολλάκις τοὺς ἀξιολόγους ἄνδρας παρερχομένη πλουτίζειν τοὺς ἀναξίους, οὐδὲ τούτους βεβαίως, ἀλλ' ὅσον δοκεῖν πάλιν αὐτῶν ἀφαιρεῖσθαι τὰ δοθέντα. Ταύτῃ τῇ δαίμονι πλῆθος ἀνδρῶν ἀμαθῶν οὐκ ὀλίγον ἕπεται μηδέποτ' ἐν ταὐτῷ μενούσῃ διὰ τὸ τῆς βάσεως εὐμετακύλιστον, ἥτις αὐτὴν ἄγει καὶ φέρει καὶ κατὰ κρημνῶν ἐνίοτε καὶ θαλάττης. Ἔνθα συναπόλλυνται μὲν ἀλλήλοις ἑπόμενοι πάντες αὐτῇ· μόνη δ' ἀβλαβὴς ἐκείνη διεξέρχεται καταγελῶσα τῶν ὀλοφυρομένων τε καὶ ἐγκαλούντων αὐτῇ, ὅτ' οὐδὲν ὄφελος. Τὰ μὲν δὴ τῆς Τύχης ἔργα τοιαῦτα.

Cap. III. Τὸν δ' Ἑρμῆν, ἅτε λόγου μὲν ὄντα δεσπότην ἐργάτην δὲ τέχνης ἁπάσης, θέασαι πάλιν, ὅπως ἐξ ‖ ὑπεναντίου τῇ Τύχῃ κεκοσμήκασιν οἱ παλαιοὶ 5 γράφοντές τε καὶ πλάττοντες. Νεανίσκος ἐστὶν ὡραῖος, οὐκ ἐπίκτητον οὐδὲ κομμωτικὸν ἔχων κάλλος, ἀλλ' εὐφυές, ὥστε συνεμφαίνεσθαι τὴν τῆς ψυχῆς ἀρετὴν δι' αὐτοῦ. ἔστι δὲ φαιδρὸς μὲν τὰς ὄψεις, δέδορκε δὲ δριμύ, καὶ ἡ βάσις τὸ πάντων σχημάτων ἑδραιότατόν τε καὶ ἀμεταπτωτότατον ἔχει, τὸν κύβον. ἔσθ' ὅτε δὲ καὶ αὐτὸν τὸν θεὸν τούτῳ τῷ σχήματι κοσμοῦσιν. Ἴδοις δ' ἂν τοὺς θιασώτας αὐτοῦ φαιδροὺς μὲν ὁμοίως

4. ἀξιολόγους O num forte ἀξίους? * ‖ 5. ὅσον δοκεῖν MCC ex script. Cod. Lond. ap G: ὡς ἂν ἔδωκεν οὕτως; ὅσον πάλιν αὐτῶν O ‖ 8. ἐν ταὐτῷ MCC ἐν αὐτῷ O ‖ 12. ἐγκαλούντων αὐτῇ * ἐγκαλ. αὐτὴν G ex Cod. Adelphi ‖ 17. τῇ Τύχῃ W K = infra p. 122, 23 τὴν τύχην O ἢ τὴν Τύχην MCC οἱ παλαιοὶ *G Iam. ap. W. πάλιν οἱ G ‖ 20. εὐφυές G Wyttenb. ap. W. εὐθὺς O

τῷ καθηγουμένῳ θεῷ, μεμφομένους δ' οὐδέποτ' αὐτόν, ὥσπερ οἱ τὴν Τύχην, οὐδ' ἀπολειπομένους ποτ' οὐδὲ χωριζομένους, ἀλλ' ἑπομένους τε καὶ διὰ παντὸς ἀπολαύοντας τῆς προνοίας αὐτοῦ.

Cap. IV. *Τοὺς δέ γε τῇ Τύχῃ συνεπομένους ἅπαντας μὲν ἀργοὺς θεάσῃ καὶ τεχνῶν ἀμαθεῖς, ὀχουμένους δ' ἐπ' ἐλπίδων ἀεὶ καὶ θεούσῃ τῇ δαίμονι συνθέοντας, ἐνίους μὲν ἐγγύς, ἐνίους δὲ πορρωτέρω, τινὰς δὲ καὶ τῆς χειρὸς αὐτῆς ἐξημμένους. Ἐν τούτοις ἅπασι*
6 *καὶ τὸν Κροῖσον ‖ ἐκεῖνον τὸν Λυδὸν ὄψει καὶ τὸν Πολυκράτην τὸν Σάμιον, καὶ ἴσως θαυμάσεις τῷ μὲν τὸν Πακτωλὸν ἰδὼν ῥέοντα χρυσόν, τῷ δὲ καὶ τοὺς θαλαττίους ὑπηρετοῦντας ἰχθῦς. Μετὰ τούτων δὲ καὶ Κῦρον θεάσῃ καὶ Πρίαμον καὶ Διονύσιον· ἀλλὰ τούτων αὐτῶν ὀλίγον ὕστερον ὄψει Πολυκράτην μὲν ἀνεσταυρωμένον, ὑπὸ Κύρῳ δὲ Κροῖσον, αὐτὸν δὲ τὸν Κῦρον ὑπ' ἄλλοις. Ὄψει δὲ καὶ Πρίαμον καθῃρημένον καὶ Διονύσιον ἐν Κορίνθῳ. Εἰ δὲ καὶ τοὺς ἄλλους ἐπισκέψαιο τοὺς ἀπωτέρω μὲν αὐτὴν θέουσαν διώκοντας, οὐ μὴν τυχόντας γε, μισήσεις ὅλον τὸν χορόν. εἰσὶ γὰρ ἐνταῦθα καὶ δημαγωγοὶ πολλοὶ καὶ ἑταῖραι καὶ πόρνοι καὶ προδόται φίλων, εἰσὶ δὲ καὶ φονεῖς καὶ τυμβωρύχοι καὶ ἅρπαγες· πολλοὶ δὲ μηδὲ τῶν θεῶν αὐτῶν πεφεισμένοι, ἀλλὰ καὶ τούτων ἱερὰ συλήσαντες.*

Cap. V. *Ὁ δ' ἕτερος τῶν χορῶν πάντες μὲν κόσμιοι καὶ τεχνῶν ἐργάται, οὐ θέουσι δ' οὐδὲ βοῶσιν*

5. *τῇ Τύχῃ συνεπ.* G Cob. X, 178 *τῆς τύχης* O ‖ 7. *ἐπ' ἐλπίδων* WK = V, 107, 13: *ἐποχούμενος τῷ αἵματι; ἐξ ἐλπίδ.* O ‖ 12. *χρυσόν* O *χρυσοῦ* MCC ‖ 14. *καὶ τούτων* WK ‖ 17. *καθῃρημένον* Wyttenb. Cob. IV, 120; X, 178 *καθειργμένον* O ‖ 20. *ὅλον τὸν χ.** *ὅλως* O

οὐδ' ἀλλήλοις μάχονται· ἀλλ' ἐν μέσοις μὲν αὐτοῖς 7
ὁ θεός, ἀμφ' αὐτὸν δ' ἅπαντες ἐν τάξει κεκόσμηνται
χώραν ἕκαστος, ἣν ἐκεῖνος ἔδωκεν, οὐκ ἀπολείποντες.
Οἱ μὲν ἔγγιστα τῷ θεῷ καὶ περὶ αὐτὸν ἐν κύκλῳ κε-
κοσμημένοι γεωμέτραι καὶ ἀριθμητικοὶ καὶ φιλόσοφοι
καὶ ἰατροὶ καὶ ἀστρονόμοι καὶ γραμματικοί.
Τούτων δ' ἐφεξῆς ὁ δεύτερος χορὸς ζῳγράφοι
πλάσται γραμματισταὶ τέκτονές τε καὶ ἀρχιτέκτονες καὶ
λιθογλύφοι καὶ μετ' αὐτοὺς δ' ἡ τρίτη τάξις, αἱ λοιπαὶ
τέχναι πᾶσαι, κατὰ μέρη μὲν οὕτω κεκόσμηνται, πάντα
δὲ πρὸς τὸν θεὸν ἀποβλέπουσι κοινὸν τῷ παρ' αὐτοῦ
προστάγματι πειθόμενοι. Θεάσῃ δὲ κἀνταῦθα πολλοὺς
μετ' αὐτοῦ τοῦ θεοῦ, τετάρτην τινὰ τάξιν ἀπὸ τῶν
ἄλλων ἔκκριτον, οὐχ οἷοί τινες ἦσαν οἱ μετὰ τῆς Τύχης.
οὐ γὰρ ἀξιώμασι πολιτικοῖς οὐδὲ γένους ὑπεροχαῖς
οὐδὲ πλούτῳ τοὺς ἀρίστους ὁ θεὸς οὗτος εἴθισται
κρίνειν· ἀλλὰ τοὺς καλῶς μὲν βιοῦντας, ἐν δὲ ταῖς
ἑαυτῶν τέχναις πρωτεύοντας, ἑπομένους δὲ τοῖς προσ-
τάγμασιν αὐτοῦ καὶ νομίμως τὰς τέχνας ἐργαζομένους
τιμᾷ τε καὶ πρὸ ἄλλων ‖ ἄγει περὶ αὐτὸν ἔχων ἀεί. 8
Τοῦτον, οἶμαι, τὸν χορὸν νοήσας, ὁποῖός ἐστιν, οὐ
μόνον ζηλώσεις ἀλλὰ καὶ προσκυνήσεις.
Σωκράτης ἐστὶν ἐν αὐτῷ καὶ Ὅμηρος καὶ Ἱπποκρά-
της καὶ Πλάτων καὶ οἱ τούτων ἐρασταί, οὓς ἴσα καὶ
τοὺς θεοὺς σέβομεν, οἷον ὕπαρχοί τινες καὶ ὑπηρέται
τοῦ θεοῦ. Τῶν δ' ἄλλων ἁπάντων οὐκ ἔστιν ὅστις

3. ἀπολείποντες *W in adn. ἀπολιπόντες O ‖ 5. φιλ. καὶ ἰατροὶ O φιλ. τε καὶ WK ‖ 7. δεύτ. χορὸς O χορὸς om. WK ‖ 10. κεκόσμηνται Cod. Adelphi ap. G. πάντα δὲ O = infra p. 108, 19 πάντες GK ‖ 11. κοινόν G Iamot. κοινῷ O τετάρτην τινὰ * τετ. δέ τινα O ‖ 24. ἴσα καὶ τοὺς θεοὺς MCC ἴσα κ. τοῖς θεοῖς O

ἠμελήθη ποτὲ πρὸς αὐτοῦ. οὐ μόνον γὰρ τῶν παρόντων πεφρόντικεν, ἀλλὰ καὶ πλέουσι σύμπλους ἐστὶ καὶ ναυαγούντων οὐκ ἀπολείπεται. Ἀρίστιππος γοῦν ἐπειδή ποτε πλέων τοῦ σκάφους ἀπολομένου ἐπὶ τὰς Συρακουσίων ἠόνας ἐξεβράσθη, πρῶτον μὲν ἐθάρρησε θεασάμενος ἐπὶ τῆς ψάμμου διάγραμμα γεωμετρικόν· ἐλογίσατο γὰρ εἰς Ἕλληνάς τε καὶ σοφοὺς ἄνδρας, οὐκ εἰς βαρβάρους ἥκειν. Ἔπειτα παραγενόμενος εἰς τὸ Συρακουσίων γυμνάσιον καὶ ταυτὶ τὰ ἔπη φθεγξάμενος·

Τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
Τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασι;

προσιόντας τέ τινας ἔσχεν αὐτῷ καὶ γνωρίζοντας, ὅστις
9 εἴη, ‖ καὶ πάντων, ὧν ἐδεῖτο, μεταδιδόντας εὐθέως. Ὡς δ' εἰς Κυρήνην, αὐτοῦ τὴν πατρίδα, μέλλοντές τινες πλεῖν ἐπυνθάνοντο, μή τι τοῖς οἰκείοις ἐπιστέλλει, κελεύειν αὐτοὺς ἔφη ταῦτα κτᾶσθαι τὰ κτήματα, ἃ καὶ ναυαγήσαντι συνεκκολυμβήσει.

Cap. VI. Πολλοὶ δὲ τῶν κακοδαιμόνων καὶ πάντα πρὸς τὸν πλοῦτον ἀποβλεπόντων, ἐν τοιαύταις πραγμάτων περιστάσεσι γενόμενοι, χρυσὸν ἢ ἄργυρον ἐξαψάμενοί τε καὶ περιθέμενοι τῷ σώματι, προσαπώλεσαν αὐτοῖς καὶ τὴν ψυχήν, οὐδὲ τοῦτο δυνάμενοι συνιδεῖν, ὅτι καὶ τῶν ἀλόγων ζῴων αὐτοὶ πρῶτοι τὰ ταῖς τέχναις κεκοσμημένα μᾶλλον ἀσπάζονται. Καὶ γὰρ τοὺς πολεμικοὺς ἵππους καὶ τοὺς θηρατικοὺς κύνας πρὸ τῶν ἄλλων τιμῶσι καὶ τοὺς μὲν οἰκέτας ἐκδιδάσκονται τέχνας πάμπολυ πολλάκις εἰς αὐτοὺς ἀργύριον ἀναλίσκοντες,

11. *Τίς τὸν πλαν. κτἑ.* cf. Soph. Oed. Col. 3—4. Cob. IV, 2, 224, qui *πλανητήν* mavult ‖ 17. *κελ. αὐτοὺς* *

ἑαυτῶν δ' ἀμελοῦσι. Καίτοι οὐκ αἰσχρὸν τὸν οἰκέτην μὲν ἐνίοτε δραχμῶν εἶναι μυρίων ἄξιον, αὐτὸν δὲ τὸν δεσπότην αὐτοῦ μηδὲ μιᾶς; καὶ τί λέγω μιᾶς; οὐδ' ἂν ‖ προῖκά τις τὸν τοιοῦτον λάβοι. Μήποθ' ἑαυτοὺς 10
μόνους ἠτιμάκασιν ἐκ πάντων μηδεμίαν ἐκμαθόντες τέχνην; Ὅταν γὰρ καὶ τἄλογα τῶν ζῴων ἐν τεχνικοῖς ἐπιτηδεύμασι παιδεύωσι καὶ οἰκέτην ἀργὸν καὶ ἄτεχνον οὐδενὸς ἄξιον εἶναι νομίζωσιν, ἐπιμελῶνται δὲ καὶ τῶν χωρίων καὶ τῶν ἄλλων κτημάτων ὅπως ἕκαστον εἰς δύναμιν ὅτι βέλτιστον ᾖ, μόνων δ' ἑαυτῶν ἀμελῶσι μηδ' εἰ ψυχὴν ἔχουσι γιγνώσκοντες, εὔδηλον ὅτι τοῖς ἀποβλήτοις τῶν οἰκετῶν ἐοίκασιν. Ὥστε τις ἐπιστὰς ἀνδρὶ τοιούτῳ προσηκόντως ἂν εἴποι πρὸς αὐτόν· Ὦ ἄνθρωπε, οἰκία μέν σοι εὖ ἔχει καὶ τἀνδράποδα πάντα καὶ ἵπποι δὴ καὶ κύνες καὶ χωρία καὶ ὅσα κέκτησαι διάκειται καλῶς· αὐτὸν δὲ σὲ οὐκ ἀγαθὴ κομιδὴ ἔχει. Καλῶς οὖν καὶ ὁ Δημοσθένης καὶ ὁ Διογένης, ὁ μὲν χρυσᾶ πρόβατα καλῶν τοὺς πλουσίους καὶ ἀπαιδεύτους, ὁ δὲ ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς ἀπεικάζων αὐτούς. τούτων μὲν γὰρ τὸν καρπὸν οὐκ ἀνθρώπους ἀλλὰ κόρακας ἢ κολοιοὺς ἐσθίειν, ἐκείνων δὲ τὰ χρήματα μηδὲν μὲν ὄφελος ‖ εἶναι τοῖς ἀστείοις, δαπανᾶσθαι δ' ὑπὸ 11
τῶν κολάκων, οἵτινες, ἐὰν οὕτως τύχῃ, πάντων αὐτοῖς ἀναλωθέντων, ἀπαντῶντες παρέρχονται μὴ γνωρίζειν προσποιούμενοι. Ὅθεν οὐδ' ὁ ταῖς κρήναις τοὺς τοιούτους εἰκάσας ἄμουσός τις ἦν. καὶ γάρ τοι καὶ οἱ ἀπὸ τῶν κρηνῶν ὑδρευόμενοι πρόσθεν, ἐπειδὰν μηκέτ' ἔχωσιν ὕδωρ ἀνασυράμενοι προσουροῦσι. καὶ ἔστιν εὔ-

4. *μήποθ' ἑαυτοὺς* * *ποτε αὐτοὺς* O ‖ 19. *ἐπὶ τῶν κρημνῶν* O *ἐπὶ κρημνῷ* Laert. Diog. VI, 2 (60), pag. 147 Cob. *τούτων μὲν — ἐκείνων δὲ* * *ἐκείνων τε — τούτων τε* O

λογον τοὺς διὰ μηδὲν ἄλλ' ἢ τὰ χρήματα περιβλέπτους ἅμα τῷ στερηθῆναι τούτων εὐθὺς καὶ τῶν ἄλλων, ἃ διὰ ταῦτ' εἶχον, ἐστερῆσθαι. Τί γὰρ ἂν καὶ πάθοιεν ἴδιον μὲν οὐδὲν ἀγαθὸν κεκτημένοι, ἀεὶ δ' ἐπ' ἀλλοτρίοις καὶ τοῖς παρὰ τῆς Τύχης ἐπαιρόμενοι;

Cap. VII. *Τοιοῦτοι δέ τινές εἰσι καὶ οἱ τὴν εὐγένειαν προβαλλόμενοι καὶ φρονοῦντες ἐπ' αὐτῇ μέγα. καὶ γὰρ καὶ οὗτοι σπάνει τῶν ἰδίων ἀγαθῶν ἐπὶ τὸ γένος ἥκουσιν, οὐδὲ τοσοῦτον γιγνώσκοντες, ὅτι ἄρ' ἡ εὐγένεια αὕτη, ἐφ' ᾗ σεμνύνονται, τοῖς κατὰ πόλιν*
12 *νομίσμασιν* ‖ *ἔοικεν, ἃ παρὰ τοῖς θεμένοις ἰσχύονται, παρ' ἄλλοις ἐστὶ κίβδηλα.*

[*Οὐδ' ηὑγένειά σ' ἦρεν εἰς ὕψος μέγα;*
Καλὸς τὸ μὴ ἔχειν· τὸ γένος οὐκ ἔβοσκέ με.]

Καλὸς οὖν, ᾗ φησιν ὁ Πλάτων, θησαυρὸς αἱ τῶν πατέρων ἀρεταί, κάλλιον δ' ἀντιθεῖναι δύνασθαι τὸν τοῦ Σθενέλου λόγον·

Ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι.

Ταύτην γὰρ μόνην ἔχοιμεν ἄν, εἰ δή τίς ἐστιν εὐγενείας χρεία, ὡς πρὸς οἰκεῖον παράδειγμα τὸν ζῆλον ἡμῖν γίγνεσθαι. ὡς εἴ γε καταπολὺ τῆς τῶν προγόνων ἀρετῆς ἀπολειπόμεθα, λύπη μὲν ἂν εἴη κἀκείνοις, εἴ τις αὐτοῖς ἐστιν αἴσθησις, αἰσχύνη δ' ἡμῖν αὐτοῖς τοσῷδε μείζων, ὅσῳ καὶ τὸ γένος περιφανέστερον. Οἱ μὲν γὰρ ἀμαθεῖς, παντάπασιν ἄσημοι τῷ γένει, τοῦτο γοῦν

8. *σπάνει* Cob. IV, 178 *σπάνισι* O *σπανίᾳ* W in notis ‖ 9. *ὅτι ἄρα ἡ* K *ἡ ἄρα εὐγ* O *ἄρα* inclusit G num forte *ὅτι ἡ μιαρὰ εὐγένεια?** ‖ 13. Versus Eurip. Phoen. 400 et 405 inclusi * 'Iamot. aliique post *κίβδηλα* addere volunt *ὅθεν καλῶς εἴρηνται'* W in notis ‖ 18. *ἡμεῖς τοι* O = Il. Δ 405 *ἡμεῖς τῶν* WK ‖ 20. *ὡς πρὸς * τοῦ ζήλου* Kö ‖ 24. *περιφανέστερον* *G

αὐτὸ κερδαίνουσι, τὸ μὴ γιγνώσκεσθαι τοῖς πολλοῖς, ὁποῖοί τινές εἰσιν· ὅσοις δὲ τὸ λαμπρὸν καὶ διάσημον τοῦ γένους οὐδὲ τοῦ λαθεῖν ἐξουσίαν δίδωσι, τί ‖ ἄλλ' 13 *ἢ περιφανέστερον οὗτοι δυστυχοῦσι; καὶ μέν γε καὶ καταγιγνώσκονται μᾶλλον οἱ ἀνάξιοι τοῦ γένους. ὥστ' εἰ καί τις ἠλίθιος ὢν ὑπομιμνήσκοι τὸ λαμπρὸν τοῦ γένους, ἀσυγγνωστότερον ἑαυτῷ τὸ κακὸν ἀποφαίνει. οὐ γὰρ ὁμοίως ἐξετάζομέν τε καὶ βασανίζομεν τοὺς ἐπιτυχόντας ἀνθρώπους τοῖς ἐκ γένους λαμπροῦ· ἀλλὰ τοὺς μέν, κἂν μέτριοί τινες ὦσιν, ἀποδεχόμεθα τῇ δυσγενείᾳ τῆς ἐνδείας τὴν αἰτίαν ἀναφέροντες, τοὺς δ', εἰ μηδὲν τῶν προγόνων ἄξιον ἔχοιεν, οὐδέπω θαυμάζομεν, ἐὰν καὶ τῶν ἄλλων ἁπάντων πολὺ διαφέρωσιν. Ὥστ' εἴ τις εὖ φρονεῖ, τέχνης ἀσκήσει προσίτω, δι' ἥν, κἂν εὐγενὴς ᾖ, τοῦ γένους οὐκ ἀνάξιος φανεῖται, κἂν μὴ τοιοῦτος ὑπάρχῃ, τὸ γένος αὐτὸς ἐπικοσμήσει μιμησάμενος τὸν παλαιὸν ἐκεῖνον Θεμιστοκλέα, ὃς ὀνειδιζόμενος ἐπὶ τῷ γένει '᾿Αλλ' ἐγὼ τοῖς ἀπ' ἐμαυτοῦ' ἔφη 'τοῦ γένους ἄρξω, καὶ τὸ μὲν ἐμὸν γένος ἀπ' ἐμοῦ ἄρξεται, τὸ δὲ σὸν εἰς σὲ τελευτήσει.' Ὁρᾷς, ὡς οὐδὲν κωλύει τὸν Σκύθην Ἀνάχαρσιν καὶ θαυμά‖ζεσθαί τε καὶ σοφὸν ὀνομάζεσθαι, καίτοι βάρβαρος ἦν* 14 *τὸ γένος. Οὗτός ποτε πρός τινος ὀνειδιζόμενος ὅτι βάρβαρος εἴη καὶ Σκύθης '᾿Εμοὶ μέν' ἔφη 'ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι' πάνυ καλῶς ἐπιπλήξας τῷ μηδενὸς ἀξίῳ λόγου, μόνον δ' ἐπὶ τῇ πατρίδι σεμνυνομένῳ. Εἰ γὰρ ἐπιστήσειας τοῖς πράγμασι τὸν νοῦν,*

1. *αὐτὸ κερδ.* O *αὐτοὶ κερδ.* WK ‖ 18. *τοῖς ἀπ' ἐμαυτοῦ* ChKW *τοῖς μετ' αὐτὸν* O ‖ 19. *τὸ μὲν ἐμὸν* O *μὲν* om. WK *γένος ἀπ' ἐμοῦ* * *ἐμὸν ἀπ' ἐμοῦ γένος* O ‖ 24. *ἐμοὶ μὲν ἔφη* * *ἔφη* om. O ‖ 27. *ἐπιστήσειας* * *ἐπιστήσαις* O

οὐ διὰ τὰς πόλεις εὕροις ἂν ἐν δόξῃ τοὺς πολίτας γιγνομένους, ἀλλ' αὐτὸ δὴ τοὐναντίον διὰ τοὺς ἀγαθοὺς ἄνδρας ἐν ταῖς τέχναις καὶ τὰς πατρίδας αὐτῶν μνημονευομένας. Τίς γὰρ ἦν Σταγείρων λόγος, εἰ μὴ δι' Ἀριστοτέλην; τίς δ' αὖ Σόλων, εἰ μὴ δι' Ἄρατόν τε καὶ Χρύσιππον; ὅπου καὶ τῶν Ἀθηνῶν αὐτῶν ἄχρι πόρρω τοὔνομα πεφοίτηκεν οὐ διὰ τὴν τῆς γῆς ἀρετήν, [λεπτόγεως γάρ] ἀλλὰ διὰ τοὺς ἐν αὐτῇ φύντας, οἳ πλεῖστοί τε καὶ ἄριστοι γενόμενοι μετέδοσάν τι καὶ τῇ πατρίδι τοῦ σφετέρου κλέους. Μάθοις δ' ἂν ἐναργέστατα τὸ τοιοῦτον ἀληθὲς ὄν, εἰ τὸν Ὑπέρβολον ἢ τὸν Κλέωνα λογίσαιο τοσοῦτον ἀπὸ τῶν Ἀθηνῶν κερ‖- 15 *δήσαντας, ὅσον ἄν τις εἰς περιφάνειαν κακῶν ἐπικτήσαιτο.*

Ἦν ὅτε σύας βοιώτιον ἔθνος ἔνεπον

ὁ Πίνδαρός φησί. καὶ πάλιν ὁ αὐτός·

Εἰ ἐκφεύγομεν βοιωτίαν
Σῦν.

ἀξιῶν ὅλου σχεδὸν ἔθνους τὸν ἐπ' ἀμαθείᾳ ψόγον ἀπολύεσθαι διὰ τὴν ἑαυτοῦ μουσικήν.

Cap. VIII. *Ἐπαινέσειε δ' ἄν τις καὶ τὸν Ἀθήνησι νομοθέτην, ὃς τὸν μὴ διδάξαντα τέχνην ἐκώλυε πρὸς τοῦ παιδὸς τρέφεσθαι. τέχνης γὰρ ἁπάσης κατ' ἐκεῖνον μάλιστα τὸν χρόνον ἀσκουμένης, ἡνίχ' ὡραιότατα*

4. *τίς γὰρ ἂν ἦν* Cob. X, 178 *ἂν* om. O ‖ 5. *τίς δ' αὖ* * *τίς δ' ἂν* O Cob ‖ 6. *ἄχρι* * *μέχρι* O ‖ 8. [*λεπτόγεως γάρ*] expungendum videtur ‖ 16. *Πίνδαρος· ἐν τοῖς διθυράμβοις* cf. Bergk. Poet. lyr. IV, 400 frgm. 83; Strabo VII, 321 — *τὸ Βοιώτιον* Bergk ‖ 17. cf. Pindar. Ol. VI, 152; Bergk. l. l. ‖ 20. *ἀπολούεσθαι διὰ* G ‖ 21. *ἐπαινέσειε δ' ἂν* MCC Cob. X, 178 ‖ 23. *τέχνης γὰρ* *G

φαίνεται τὰ σώματα, πολλοῖς συνέβη περιβλέπτοις διὰ κάλλος γεγενημένοις ἀμελῆσαι τῆς ἑαυτῶν ψυχῆς, εἶθ' ὕστερον, ὅτ' οὐδὲν ὄφελος, λέγειν·

Εἴθ' ὤφελεν τὸ κάλλος, ὅ με διώλεσε,
Κακῶς ὀλέσθαι. ‖

Τηνικαῦτα δ' αὐτοὺς καὶ τὸ τοῦ Σόλωνος εἰσέρχεται 16
σκοπεῖσθαι κελεύοντος ἐν τοῖς μάλιστα τὸ τέλος τοῦ βίου. εἶτα καὶ τῷ γήρᾳ λοιδοροῦνται, δέον ἑαυτοῖς, καὶ τὸν Εὐριπίδην ἐπαινοῦσι λέγοντα·

Οὐ γὰρ ἀσφαλὲς
Περαιτέρω τὸ κάλλος ἢ μέσον λαβεῖν.

Ἄμεινον οὖν ἐστιν ἐγνωκότας τὴν μὲν τῶν μειρακίων ὥραν τοῖς ἠρινοῖς ἄνθεσιν ἐοικυῖαν ὀλιγοχρόνιόν τε τὴν τέρψιν ἔχουσαν ἐπαινεῖν τὴν Λεσβίαν λέγουσαν·

Ὁ μὲν γὰρ καλὸς ὅσον ἰδεῖν πέλεται,
Ὁ δὲ κἀγαθὸς αὐτίκα καὶ καλὸς ἔσται,

πείθεσθαί τε καὶ Σόλωνι τὴν αὐτὴν γνώμην ἐνδεικνυμένῳ, τὸ δὲ γῆρας, καθάπερ χαλεπὸν ἐφεδρεύοντα χειμῶνα, δεόμενον οὐχ ὑποδημάτων μόνον καὶ ἐσθῆτος ἀλλὰ καὶ οἰκήσεως ἐπιτηδείας καὶ μυρίων ἄλλων, πα-

1. *φαίνεται* O *φαίνηται* WK ‖ 8. *λοιδοροῦνται* G Iamot. W K *λοιδοροῦντας* O ‖ 10. Versus Eurip. restitui ex rec. Dindorf. Poet. Scen. Gr. III, 363, Nr. 921 *οὐ γὰρ ἀφελὲς εἶναι* AB *ὄφελος* Ch *ἀσφαλὲς* GKö *οὐ γὰρ ἐστὶν ἀσφαλὲς* Valck. W K *οὐ γὰρ ἀσφαλὲς* Nauck ‖ 11. *μέσον* * Nauck *μέσῳ* O *μέσως* Valck ‖ 14. *ἐπαινεῖν τὴν Λ.* * *τὲ καὶ τὴν* O *τὲ τὴν* WK ‖ 15. De hoc Sapphus fragmento vid. Bergk. Poet. lyr. III, 910 frgm. 101, qui versus ita scripsit:

Ὁ μὲν γὰρ κάλος, ὄσσον ἴδην, πέλεται (ἄγαθος)
ὀ δὲ κἄγαθος αὔτικα καὶ κάλος ἔσσεται. ‖

17. *πείθεσθαί τε καὶ* * *δὲ καὶ* O

ρασκευάζεσθαι πρὸς αὐτό, καθάπερ ἀγαθὸν κυβερνήτην ἐκ πολλοῦ πρὸς χειμῶνα. Μοχθηρὸν γὰρ τὸ

Ῥεχθὲν δέ τε νήπιος ἔγνω. ‖

17 Πρὸς τί γὰρ ἂν καὶ φαίη τις εἶναι χρήσιμον ἀνασκήτου νέου κάλλος; ἆρά γ᾽ εἰς πόλεμον; καὶ μὴν οὐκ ἂν ἀστόχως τις ἐπιφωνήσειε τοῖς τοιούτοις·

Ἀλλὰ σύγ᾽ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο.

[ἢ]

Ἀλλ᾽ εἰς οἶκον ἰοῦσα τὰ σ᾽ αὐτῆς ἔργα κόμιζε.

Καὶ γὰρ ὁ Νιρεὺς

κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν,
Ἀλλ᾽ ἀλαπαδνὸς ἔην.

καὶ διὰ τοῦθ᾽ ἅπαξ αὐτοῦ μόνον ἐμνημόνευσεν Ὅμηρος ἐν νεῶν καταλόγῳ πρὸς ἐπίδειξιν, ἐμοὶ δοκεῖν, τῆς τῶν καλλίστων ἀνδρῶν ἀχρηστίας, ὅταν αὐτοῖς ὑπάρχῃ μηδὲν ἄλλο τῶν εἰς τὸν βίον χρησίμων. Οὐδὲ μὴν εἰς πόρον χρημάτων, ἤ τινες τῶν κακοδαιμόνων λέγειν τολμῶσι, τὸ κάλλος ἐστὶ χρήσιμον. ὁ μὲν γὰρ ἐλευθέριός τε καὶ ἔνδοξος καὶ βέβαιος χρηματισμὸς ἀπὸ τέχνης γίγνεσθαι πέφυκεν· ὁ δ᾽ ἀπὸ σώματος καὶ κάλλους αἰσχρός ἐστι καὶ διὰ παντὸς ἐπονείδιστος. Χρὴ τοίνυν τὸν νέον
18 πειθόμενον τῷ παλαιῷ ‖ παραγγέλματι τὴν ἑαυτοῦ μορφὴν ἐν κατόπτρῳ θεασάμενον, εἰ μὲν καλὸς εἴη τὴν

4. ἀνασκήτου νέου * W in not. ἀνάσκητον O ‖ 5. οὐκ ἂν ἀστόχως * Pr. XXX ‖ 7. Primus versus est Iliad. Ε 429; alter Ζ 490. Nos particulam ἢ interposuimus; Ch. addidit καί; Kö καὶ πάλιν ‖ 11. κάλλιστος ἀνήρ * = Il. Β 671 μὲν ἀνήρ O ‖ 14. ἐμοὶ δοκεῖν * coll. Gal. I, 83 Hlmr. ἐμοὶ μὲν δοκεῖν ἐμοὶ δοκεῖ O ‖ 17. ἤ τινες * (ut antea p. 110, 15 ἤ φησιν ὁ Πλάτων) εἴ τινες O

ὄψιν, ἀσκῆσαι τοιοῦτον εἶναι καὶ τὴν ψυχήν, ἄτοπον ἡγησάμενον ἐν καλῷ σώματι ψυχὴν αἰσχρὰν οἰκεῖν· εἰ δ' αἰσχρὸς αὐτῷ φαίνοιτο τὴν τοῦ σώματος ἰδέαν εἶναι, τοσῷδε μᾶλλον ἐπιμεληθῆναι τῆς ψυχῆς, ἵν' ἔχῃ λέγειν τὸ Ὁμηρικόν·

Ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς αὐτὸν
Τερπόμενοι λεύσσουσιν· ὁ δ' ἀσφαλέως ἀγορεύει
Αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν,
Ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὡς εἰσορόωσιν.

Ἐξ ἁπάντων τοίνυν τῶν εἰρημένων τοῖς γε μὴ παντάπασιν ἀνοήτοις ἐναργῶς φαίνεται μήτ' ἐπὶ γένους λαμπρότητι μήτ' ἐπὶ πλούτῳ τε καὶ κάλλει θαρρήσαντα καταφρονητέον τέχνης ἀσκήσεως. αὐτάρκη μὲν οὖν καὶ ταῦτα. Κάλλιον δ' ἴσως προσθεῖναι καὶ τὸ τοῦ Διογένους, οἷον ἀγαθόν τινα ἐπῳδόν. Ὅς ἑστιώμενος παρά τινι τῶν μὲν ἑαυτοῦ πάντων ‖ ἀκριβῶς προνε- 19
νοημένῳ μόνου δ' ἑαυτοῦ παντάπασιν ἠμεληκότι, χρεμψάμενος ὡς πτύσων, εἶτ' ἐν κύκλῳ περισκοπήσας εἰς οὐδὲν μὲν τῶν πέριξ ἔπτυσεν, αὐτῷ δὲ μόνῳ προσέπτυσε τῷ δεσπότῃ τῆς οἰκίας. ἀγανακτοῦντος δ' αὐτοῦ καὶ τὴν αἰτίαν ἐρωτῶντος οὐδὲν ἔφησεν ὁρᾶν οὕτως ἠμελημένον τῶν κατὰ τὴν οἰκίαν ὡς ἐκεῖνον. τοὺς γὰρ τοίχους ἅπαντας ἀξιολόγοις γραφαῖς κεκοσμῆσθαι, τὸ δ' ἔδαφος ἐκ ψήφων πολυτελῶν συγκεῖσθαι θεῶν εἰκόνας ἔχον ἐξ αὐτῶν διατετυπωμένας, ἅπαντα τὰ σκεύη λαμπρὰ καὶ καθαρά, καὶ τὴν στρωμνὴν καὶ τὰς

1. *τοιοῦτον εἶναι* * *τοιαύτην* O ‖ 6. *μὲν γάρ τ' εἶδος* WK Od. *θ* 169 sq. *ἄλλος δ' αὖτ' εἶδος* O ‖ 14. *καταφρονητέον* * *καταφρονῆσαι* O Pr. XXXII

κλίνας εἰς κάλλος ἐξησκῆσθαι, μόνον δ' ἐκεῖνον ὁρᾶν ἠμελημένον· εἰθίσθαι δ' ἅπασιν ἀνθρώποις εἰς τοὺς ἀτιμοτάτους τῶν παρόντων τόπων ἀποπτύειν. Μὴ τοίνυν ἐάσῃς, ὦ μειράκιον, ἄξιον τοῦ προσπτύεσθαι γενέσθαι σεαυτόν, μηδ' ἐὰν ἅπαντά σοι τἆλλα κάλλιστα διακεῖσθαι δοκῇ. σπάνιον μὲν γάρ ἐστι καὶ τὸ τυχεῖν αὐτῶν ὁμοῦ πάντων, ὡς εὐγενῆ τε καὶ πλού-
20 *σιον ‖ εἶναι καὶ καλὸν ἅμα τὸν αὐτόν· εἰ δ' ἄρα καὶ συνέλθοι ποτέ, δεινὸν ἂν εἴη μόνον ἐν ἅπασι τοῖς ὑπάρχουσιν αὐτὸν κατάπτυστον εἶναι.*

Cap. IX. *Ἄγετ' οὖν, ὦ παῖδες, ὁπόσοι τῶν ἐμῶν ἀκηκόατε λόγων, ἐπὶ τέχνης μάθησιν ὁρμᾶσθε, μή τις ὑμᾶς ἀπατεὼν καὶ γόης ἀνὴρ παρακρουσάμενός ποτε ματαιοτεχνίαν ἢ κακοτεχνίαν διδάξηται, γιγνώσκοντες, ὡς ὁπόσοις τῶν ἐπιτηδευμάτων οὐκ ἔστι τὸ τέλος βιωφελές, ταῦτ' οὐκ εἰσὶ τέχναι. Καὶ περὶ μὲν τῶν ἄλλων ὑμᾶς καὶ πάνυ πέποιθα γιγνώσκειν, ὅτι μηδὲν τούτων ἐστὶ τέχνη, οἷον τό τε πεταυρίζειν [καὶ βαδίζειν ἐπὶ σχοινίων λεπτῶν] ἐν κύκλῳ τε περιδινεῖσθαι μὴ σκοτούμενον, οἷα τά τε Μυρμηκίδου τοῦ Ἀθηναίου καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου. Τὸ δὲ τῶν ἀθλητῶν ἐπιτήδευμα μόνον ὑποπτεύω, μή ποτ' ἄρα τοῦτο καὶ ῥώμην σώματος ἐπαγγελόμενον καὶ τὴν παρὰ τοῖς πολλοῖς δόξαν ἐπαγόμενον καὶ δημοσίᾳ παρὰ τοῖς πατράσι τετιμημένον ἡμερησίοις ἀργυρίου δόσεσιν [καὶ]*
21 *ὅλως ἴσα τοῖς ἀρι‖στεῦσιν [τετιμημένον], ἐξαπατήσῃ*

10. *αὐτὸν κ.* * *ἑαυτὸν κ.* O ‖ 12. *ἀκηκόατε* * *ἀκηκοότες* O *ὁρμᾶσθε* * *ὥρμησθε* O ‖ 14. *ἢ κακοτεχνίαν* O praeter K *γιγνώσκοντες* * ‖ 18. *πεταυρίζειν* * Pr. LIX *πετταυριστεῖν* ChG *πεττευριπτεῖν* O ‖ 19. *σκοτούμενον* ChGWK *σκοπούμενον* ABKö ‖ 23. *καὶ τὴν* * ‖ 25. [*καὶ*] ante *ὅλως* sicut etiam alterum [*τετιμημένον*] eici velim *

τινὰ τῶν νέων ὡς προκριθῆναί τινος τέχνης. Ὅθεν ἄμεινον προδιασκέψασθαι περὶ αὐτοῦ· εὐεξαπάτητος γὰρ ἕκαστος ἐν οἷς ἐστιν ἀπρόσκεπτος.

Τὸ δὴ τῶν ἀνθρώπων γένος, ὦ παῖδες, ἐπικοι-
νωνεῖ τοῖς θεοῖς τε καὶ τοῖς ἀλόγοις ζῴοις, τοῖς μὲν
καθ' ὅσον λογικόν ἐστι, τοῖς δὲ καθ' ὅσον θνητόν.
Βέλτιον οὖν ἐστι τῆς πρὸς τὰ κρείττονα κοινωνίας
αἰσθανόμενον ἐπιμελήσασθαι παιδείας, ἧς τυχόντες μὲν
τὸ μέγιστον τῶν ἀγαθῶν ἕξομεν, ἀποτυχόντες δ' οὐκ
αἰσχυνούμεθα τῶν ἀλογίστων ζῴων ἐλαττούμενοι. Σώ-
ματος δ' ἄσκησις ἀθλητική, ἀποτυγχανομένη μὲν αἰσχί-
στη, ἐπιτυγχανομένη δὲ τῶν ἀλόγων ζῴων οὐδέπω
κρείττων. Τίς γὰρ λεόντων ἢ ἐλεφάντων ἀλκιμώτερος;
τίς δ' ὠκύτερος λαγωοῦ; τίς δ' οὐκ οἶδεν, ὡς καὶ τοὺς
θεοὺς δι' οὐδὲν ἄλλ' ἢ διὰ τὰς τέχνας ἐπαινουμένους,
οὕτω καὶ τῶν ἀνθρώπων τοὺς ἀρίστους θείας ἀξιω-
θέντας τιμῆς, οὐχ ὅτι καλῶς ἔδραμον ἐν τοῖς ἀγῶσιν 22
ἢ δίσκον ἔρριψαν ἢ διεπάλαισαν, ἀλλὰ διὰ τὴν ἀπὸ
τῶν τεχνῶν εὐεργεσίαν. Ἀσκληπιός γέ τοι καὶ Διόνυ-
σος εἴτ' ἄνθρωποι πρότερον ἤστην εἴτ' ἀρχῆθεν θεοί,
τιμῶν ἀξιοῦνται μεγίστων, ὁ μὲν διὰ τὴν ἰατρικήν, ὁ
δ' ὅτι τὴν περὶ τὰς ἀμπέλους ἡμᾶς τέχνην ἐδίδαξεν.
Εἰ δ' οὐκ ἐθέλεις ἐμοὶ πείθεσθαι, τόν γε θεὸν αἰ-
δέσθητι τὸν Πύθιον. οὗτός ἐστιν ὁ καὶ τὸν Σωκρά-
την εἰπὼν ἀνδρῶν ἁπάντων σοφώτατον εἶναι, καὶ τῷ
Λυκούργῳ προσφωνήσας ὧδ' εἶπεν·

Ἥκεις, ὦ Λυκόοργε, ἐμὸν ποτὶ πίονα νηὸν
Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι.

10. ἀλογίστων MCC ἀργήστων O ἀχρήστων K || 16. οὕτω καὶ * ὡς καὶ O; prius ὡς post οἶδεν includi iubet Cob. X, 178 ἀξιωθέντας * ἀξιωθῆναι O || 28. Secundus versus (Herod. I, c. 65) ap. K. male excidit

Δίζω, ἤ σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον·
Ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόοργε.

Ὁ δ' αὐτὸς οὗτος θεὸς καὶ τὸν Ἀρχίλοχον τεθνεῶτα φαίνεται τιμῶν οὐ τὰ μέτρια. τὸν γοῦν φονέα βουλόμενον εἰσελθεῖν εἰς τὸν νεὼν αὐτοῦ διεκώλυσεν εἰπών·

23 *Μουσάων θεράποντα κατέκτανες, ἔξιθι νηοῦ.* ‖

Cap. X. *Λέγε δή μοι καὶ σὺ τὰς τῶν ἀθλητῶν προσαγορεύσεις. Ἀλλ' οὐκ ἐρεῖς, ὅτι μηδὲν ἔχεις εἰπεῖν, εἰ μή τι τοῦ μάρτυρος, ὡς οὐκ ἀξιόχρεω, κατέγνωκας· ἐμφαίνειν γὰρ ἔοικάς τι τοιοῦτον, ὅταν ἐπὶ τοὺς πολλοὺς τὸν λόγον ἄγῃς μάρτυρας καὶ τὸν παρὰ τούτων ἔπαινον προχειρίζῃ. Καίτοι οὔτε νοσῶν, εὖ οἶδ' ὅτι, τοῖς πολλοῖς ἂν ἐπιτρέψειας αὐτὸν ἀλλ' ὀλίγοις δή τισιν ἐξ ἁπάντων καὶ τούτοις τοῖς ἰατρικωτάτοις οὔτ' ἂν πλέων ἅπασι τοῖς συμπλέουσιν ἀλλ' ἑνὶ τῷ κυβερνήτῃ· ἤδη δὲ κἀπὶ τῶν σμικροτάτων, τέκτονι μὲν τεκταινόμενος, ὑποδημάτων δὲ χρῄζων τῷ σκυτοτόμῳ. Πῶς ἂν οὖν, ἔνθα περὶ πρωτείων ὁ ἀγών ἐστι, σαυτῷ διδῷς τῆς κρίσεως τὴν ἐξουσίαν ἀφελόμενος αὐτὴν τῶν σοφωτέρων ἢ κατὰ σαυτόν; Παρίημι γὰρ τό γε νῦν εἶναι μεμνῆσθαι τῶν θεῶν. Ἄκουσον οὖν, ὅπως Εὐριπίδης φρονεῖ περὶ τῶν ἀθλητῶν·*

Κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα
Οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους, ‖
24 *Οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ*

8. *ὅτι μηδὲν** W in not. *μηδ'* O ‖ 13. *ἐπιτρέψειας * αὐτὸν * αὐτὸν* AB *σαυτὸν* ChGKöK ‖ 14. *τούτοις τοῖς* K *τούτων τοῖς* O *οὔτ' ἂν* O *οὐδ' ἂν* ChK ‖ 18. *σαυτῷ διδῷς ** ‖ 23. De versibus Eurip. vide Athen. X, p. 413 C; Dindorf. Poet. Scen. III, 308, Nr. 284 ‖ 25. *πρῶτα μὲν ζῆν* AthG *οἳ πρῶτον οἰκεῖν* O *οὐδὲ μάνουσιν εὖ* AB *μανθάνουσι* ChGWKöK

Οὔτ' ἂν δύναιντο· — πῶς γὰρ ὅστις ἔστ' ἀνὴρ
Γνάθου τε δοῦλος νηδύος θ' ἡττημένος
Κτήσαιτ' ἂν ὄλβον εἰς ὑπεκτροφὴν πάτρας —
Οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις
Οἷοί τ'· ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ
Σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανα.

Ὅτι δὲ καὶ τῶν ἐπιτηδευομένων αὐτοῖς ἕκαστον ἄχρηστόν ἐστιν, ἄκουε πάλιν, εἴ περ ἐθέλεις, ἃ φησι·

Τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνήρ,
Ἢ δίσκον ἄρας ἢ γνάθον πλήξας καλῶς,
Πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;

Εἰ δὲ καὶ τούτων ἔτι λεπτομερέστερον ἀκούειν ἐθέλεις, ἄκουε πάλιν, ἃ φησι·

Πότερα μαχοῦνται πολεμίοισιν, ἐν χεροῖν
Δίσκους ἔχοντες, ἢ δι' ἀσπίδων ποσὶ
Θέοντες ἐκβαλοῦσι πολεμίους πάτρας; ‖
Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας 25
Στάς.

Πότερον οὖν Εὐριπίδου μὲν καὶ τῶν τοιούτων καταγνῶμεν, τοῖς δὲ φιλοσόφοις ἐπιτρέψωμεν τὴν κρίσιν; Ἀλλὰ καὶ πρὸς τούτων ἁπάντων ὥσπερ ἐξ ἑνὸς στόματος ὡμολόγηται φαῦλον εἶναι τὸ ἐπιτήδευμα. οὐδὲ μὴν οὐδὲ τῶν ἰατρῶν τις ἐπῄνεσεν αὐτό· πρῶτον μὲν τοῦ Ἱπποκράτους ἀκούσῃ λέγοντος· 'Διαθέσιος ἀθλη-

1. *οὔτ' ἂν* ChGKö *οὐδ' ἂν δύναιντο* K *ὅταν δύν.* AB ‖ 3. *εἰς ὑπεκτροφὴν πάτρας* O *πατρὸς* GK *εἰς ὑπερβολὴν πατρὸς* Ath ‖ 4. *παίνεσθαι* AB *κἀξυπηρετεῖν* O *καὶ ξυνηρετεῖν* Ath ‖ 6. *μεταλλάσσουσιν* O *διαλάσσ.* Ath *εἰς τἀμήχανα* Ath *τἀμήχανον* O ‖ 10. *πλήξας* O *πταίσας* AthMCC ‖ 15. *ἢ δι' ἀσπίδων ποσὶ* O *ἢ δίχ' ἀσπίδων* Ath ‖ 16. *θέοντες* O *θείνοντες* Ath ‖ 17. *πέλας στὰς* ABAth ‖ 20. *ἐπιτρέψωμεν* * ‖ 24. Verba Hippocratis restitui ex Gal. V, 820: *ὡδί πως λέγων· 'διαθέσιος ἀθλη-*

τικῆς οὐ φύσει ἕξις ὑγιεινὴ κρείσσων.' ἔπειτα δὲ καὶ τῶν ἄλλων ἁπάντων τῶν μετ' αὐτὸν ἀρίστων ἰατρῶν. Ὅλως μὲν οὖν ἐπὶ μάρτυρος οὐκ ἠβουλόμην κρίνεσθαι· ῥητορικὸν γὰρ τὸ τοιοῦτον μᾶλλον ἢ τιμῶντος ἀλήθειαν ἀνδρός· ὅμως δ' ἐπειδή τινες ἐπὶ τὸν τῶν πολλῶν ἔπαινον καταφεύγουσι καὶ τὴν παρὰ τούτων κενὴν δόξαν, ἀφέντες αὐτὸ τὸ ἐπιτήδευμα γυμνὸν τῶν ἔξωθεν σκοπεῖν, ἠναγκάσθην κἂν τούτοις προχειρίζεσθαι τοὺς μάρτυρας, ἵν', ὅτι μηδ' ἐνταῦθα πλέον ἔχουσί τι, γιγνώσκωσιν.

26 Ὅθεν δὴ τὸ τῆς Φρύνης εὔκαιρον ἤδη μοι ‖ διηγήσασθαι. αὕτη ποτ' ἐν συμποσίῳ, παιδιᾶς τοιαύτης γενομένης, ὡς ἕκαστον ἐν μέρει προστάξαι τοῖς συμπόταις, ἃ βούλοιτο, θεασαμένη παρούσας γυναῖκας ἀγχούσῃ τε καὶ ψιμμυθίῳ καὶ φύκει κεκαλλωπισμένας ἐκέλευσεν ὕδατος κομισθέντος ἀρυσαμένας ταῖς χερσὶ προσενεγκεῖν ἅπαξ αὐτῷ τῷ προσώπῳ καὶ μετὰ τοῦτο εὐθέως ἀπομάξασθαι σινδονίῳ, καὶ αὐτὴ πρώτη τοῦτ' ἔπραξε· ταῖς μὲν οὖν ἄλλαις ἁπάσαις σπίλου τὸ πρόσωπον ἐπληρώθη καὶ ἦν ὁμοιοτάτας ἰδεῖν τοῖς μορμολυκείοις· αὐτὴ δὲ καλλίων ἐφάνη· μόνη γὰρ ἦν ἀκαλλώπιστός τε καὶ αὐτοφυῶς καλή, μηδεμιᾶς πανουργίας κομμωτικῆς δεομένη.

Ὥσπερ οὖν τὸ ἀληθινὸν κάλλος ἀκριβῶς ἐξετάζεται μόνον αὐτὸ καθ' ἑαυτὸ τῶν ἔξωθεν αὐτῷ προσιόντων ἁπάντων γυμνωθέν, οὕτω καὶ τὴν ἀθλητικὴν ἐπιτήδευσιν ἐξετάζεσθαι προσήκει μόνην, εἴ τι φαί-

τικῆς οὐ φύσει ἕξις ὑγιεινὴ κρείσσων' διάθεσις ἀθλητικὴ O = Gal. IV, 752. XV, 397 ‖ 11. ὅθεν δὴ * δὲ O καὶ Ch εὔκαιρον ChKöWK ἄκαιρον AB ‖ 20. ὁμοιοτάτας ChGWKöK ὁμοιότητα AB

νοιτ' ἔχειν χρήσιμον ἢ κοινῇ ταῖς πόλεσιν ἢ ἰδίᾳ τοῖς μεταχειριζομένοις αὐτήν.

Cap. XI. *Ἀγαθῶν οὖν τῶν ἐν τῇ φύσει τῶν μὲν περὶ ‖ ψυχὴν ὄντων, τῶν δὲ περὶ σῶμα, τῶν δ' ἐκτός,* 27 *καὶ παρὰ ταῦτ' οὐδενὸς ἄλλου γένους ἀγαθῶν ἐπινοουμένου . . . .*

Ὅτι μὲν τῶν ψυχικῶν ἀγαθῶν οὐδ' ὄναρ ποτὲ μετειλήφασιν οἱ ἀθλοῦντες, εὔδηλον παντί. τὴν ἀρχὴν γὰρ οὐδ' εἰ ψυχὴν ἔχουσι γιγνώσκουσι· τοσοῦτον ἀποδέουσι τοῦ λογικὴν αὐτὴν ἐπίστασθαι. Σαρκῶν γὰρ ἀεὶ καὶ αἵματος ἀθροίζοντες πλῆθος ὡς ἐν βορβόρῳ πολλῷ τὴν ψυχὴν ἑαυτῶν ἔχουσι κατεσβεσμένην, οὐδὲν ἀκριβὲς νοῆσαι δυναμένην ἀλλ' ἄνουν ὁμοίως τοῖς ἀλόγοις ζῴοις. Ἴσως δ' ἂν ἀμφισβητήσειαν, ὡς τῶν περὶ τὸ σῶμά τινος ἀγαθῶν ἐπήβολοι. Πότερον οὖν τῆς τιμιωτάτης ὑγιείας ἀμφισβητήσουσιν; ἀλλ' οὐδένας ἄλλους ἂν εὕροις ἐν σφαλερωτέρᾳ διαθέσει σώματος, εἴ περ Ἱπποκράτει δεῖ πιστεύειν εἰπόντι· 'Τὴν ἐπ' ἄκρον εὐεξίαν σφαλερὰν ὑπάρχειν, ἣν μεταδιώκουσιν οὗτοι.' καὶ δὴ καὶ τὸ 'Ἄσκησις μὲν ὑγιείης, ἀκορίη τροφῆς, ἀοκνίη πόνων' Ἱπποκράτει καλῶς εἰρημένον, ἐπαινεῖται πρὸς ἁπάντων. ‖ Οἱ δὲ τού- 28 *ναντίον ἐπιτηδεύουσιν, ὑπερπονοῦντές τε καὶ ὑπερπιπλάμενοι καὶ ὅλως τῶν τοῦ παλαιοῦ λόγων, ὡς κορυβαντιῶντες, κατεγνωκότες. Ὁ μὲν γὰρ ὑγιεινὴν δίαιταν ὑποτιθέμενος ἔλεγε· 'Πόνοι σιτία ποτὰ ὕπνοι ἀφροδίσια πάντα μέτρια.'*

4. *ὄντων* G (cod. Adelphi) WK ‖ 14. *ἂν ἀμφισβ.* * Pr. XXX ‖ 19. *τὴν ἐπ' ἄκρον* om. *καὶ* * G = Gal. V, 820 et Hippocr. Aphorism. I, 3 ‖ 20. *καὶ δὴ καὶ τὸ* * *καὶ οτι* O ‖ 24. *τῶν — λόγων* * ‖ 26. *σιτία* Corn WK. Iw. Mueller *περὶ ἐθῶν* p. 17, 5 *σῖτα* O vid. Kö. p. 54

Οἱ δὲ τὰ γυμνάσια πέρα τοῦ προσήκοντος ἑκάστης ἡμέρας διαπονοῦσι τροφάς τε προσφέρονται σὺν ἀνάγκῃ, πολλάκις ἄχρι μέσων νυκτῶν ἐκτείνοντες τὴν ἐδωδήν, ὡς προσηκόντως ἄν τιν' ἐπ' αὐτῶν εἰπεῖν·

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
Εὗδον παννύχιοι μαλακῷ δεδμημένοι ὕπνῳ·
Ἀλλ' οὐκ ἀθλητὰς κακοδαίμονας ὕπνος ἔμαρπτεν.

Ἀνάλογον τοίνυν τούτοις καὶ ἡ τῶν ὕπνων αὐτοῖς ἔχει ἀμετρία. ἡνίκα γὰρ οἱ κατὰ φύσιν βιοῦντες ἀπὸ τῶν ἔργων ἥκουσιν ἐδεσμάτων δεόμενοι, τηνικαῦθ' οὗτοι διανίστανται τῶν ὕπνων, ὥστ' ἐοικέναι τὸν βίον αὐτῶν ὑῶν διαγωγῇ· πλήν γ' ὅσον αἱ μὲν ὕες οὐχ
29 *ὑπερπονοῦσιν οὐδὲ || πρὸς ἀνάγκην ἐσθίουσιν, οἱ δὲ καὶ ταῦτα πάσχουσι καὶ ῥοδοδάφναις ἐνίοτε τὰ νῶτα διακναίονται.*

Ὁ μὲν οὖν παλαιὸς Ἱπποκράτης πρὸς οἷς εἶπον ἔμπροσθεν, ἔτι καὶ ταῦτά φησι· 'Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης πληροῦν ἢ κενοῦν ἢ θερμαίνειν ἢ ψύχειν ἢ ἄλλως ὁπωσοῦν τὸ σῶμα κινεῖν σφαλερόν.' 'πᾶν γάρ' φησί, 'τὸ πολὺ τῇ φύσει πολέμιον.'

Οἱ δ' οὔτε τούτων ἐπαΐουσιν οὔτε τῶν ἄλλων, ὅσα καλῶς εἰπόντος ἐκείνου παραβαίνουσιν, ἀλλὰ πάντ' ἐξ ὑπεναντίου τοῖς ὑγιεινοῖς παραγγέλμασιν ἐπιτηδεύουσιν. Καὶ διὰ τοῦτ' ἂν ἔγωγε φαίην ἄσκησιν οὐχ ὑγιείας ἀλλὰ νόσου μᾶλλον εἶναι τὸ ἐπιτήδευμα. Τοῦτο δ' οἶμαι καὶ αὐτὸν τὸν Ἱπποκράτην φρονεῖν,

1. *πέρα τοῦ προσήκ.* K *παρὰ τοῦ πρ.* O || 5. 6. Versus Iliad. sunt Ω 677 et 678. 'Tertium ad illudendos athletas paullo immutavit Gal.' Kö p. 57 || 9. *ἀμετρία* * *ἀσυμμετρία* Cob. IV, 134; X, 178. *συμμετρία* O || 16. *πρὸς οἷς εἶπον* * *εἶπεν* O || 17. *τὸ κατὰ πολὺ κτέ.* est locus Hippocr. Aphor. II, 51

ἐπειδὰν λέγῃ ʽΔιαθέσιος ἀθλητικῆς οὐ φύσει ἕξις ὑγιεινὴ κρείσσων.ʼ Οὐ γὰρ μόνον τοῦ κατὰ φύσιν ἐστερῆσθαι τὸ ἐπιτήδευμα δι' ὧν εἶπεν, ἐδήλωσεν, ἀλλ' οὐδ' ἕξιν ὠνόμασε τὴν διάθεσιν αὐτῶν ἀφαιρούμενος καὶ την προσηγορίαν αὐτῶν, ᾗ προσαγορεύουσιν ἅπαντες οἱ παλαιοὶ τοὺς ὄντως ὑγιαίνοντας. ἡ μὲν γὰρ ἕξις ἔμμονός ‖ τις καὶ δυσαλλοίωτος διάθεσις, ἡ δὲ τῶν 30 *ἀθλητῶν ἐπ' ἄκρον εὐεξία σφαλερά τε καὶ εὐμετάπτωτος. Οὔτε γὰρ πρόσθεσιν ἔτι διὰ τὴν ἀκρότητα χωρεῖ, καὶ διὰ τὸ μὴ δύνασθαι μένειν ἐπὶ ταὐτοῦ μηδ' ἀτρεμεῖν λοιπὴν ἔχει τὴν ἐπὶ τὸ χεῖρον ὁδόν. Οὕτως μὲν ἀθλοῦσιν αὐτοῖς διάκειται τὸ σῶμα, καταλύσασι δὲ πολὺ δή τι χεῖρον. Ἔνιοι μὲν γὰρ μετ' ὀλίγον ἀποθνήσκουσιν, ἔνιοι δ' ἐπὶ πλέον ἥκουσιν ἡλικίας, ἀλλ' οὐδ' αὐτοὶ γηρῶσιν οὐδὲ κἂν ἐφίκωνταί ποτ' εἰς τοῦτο, τῶν Ὁμηρικῶν οὐδὲν ἀπολείπονται Λιτῶν.*

[*Χωλοί τε ῥυσοί τε παραβλῶπές τ' ὀφθαλμώ*]
[*ἀποτελούμενοι*].

Ὡς γὰρ τὰ διασεισθέντα τῶν τειχῶν ἀπὸ μηχανημάτων ἑτοίμως ὑπὸ τῆς τυχούσης διαλύεται βλάβης οὔτε σεισμὸν οὔτ' ἄλλην τινὰ βαρυτέραν δυνάμενα φέρειν περίστασιν, οὕτω καὶ τὰ τῶν ἀθλητῶν σώματα σαθρὰ καὶ ἀσθενῆ ταῖς κατὰ τὴν ἐπιτήδευσιν γεγονότα πληγαῖς ἕτοι‖μα πρὸς τὸ πάσχειν ἐστὶν ἐπὶ ταῖς τυχού- 31 *σαις προφάσεσιν. Οἱ μὲν γὰρ ὀφθαλμοὶ περιορωρυγ-*

5. *τὴν προσηγορίαν αὐτῶν* * *τῆς -ρίας* O ‖ 10. *καὶ διὰ τὸ μηδ'* * Pr. XXX *καὶ τῷ μὴ δ.* O ‖ 17. Versum Homeri (Il. *I* 503) tamquam librarii additamentum inclusi. Item participia [*ἀποτελούμενοι* ABCh vel *ἀποστερούμενοι* GKö] a Galeno aliena sunt ‖ 21. *βαρυτέραν* * Versiones: 'graviorem' insultum *τραχυτέραν* G *βραχυτέραν* O ‖ 25. *περιορωρυγμένοι* Cob. X, 178 Pr. XXIX *περιωρυγμένοι* O

μένοι πολλάκις, ὅθ' ἡ δύναμις οὐκέτ' ἀντέχει, πληροῦνται ῥευμάτων, οἱ δ' ὀδόντες, ἅτε διασεσεισμένοι πολλάκις, ἐπιλειπούσης ἐν τῷ χρόνῳ τῆς δυνάμεως αὐτῶν ἑτοίμως ἐκπίπτουσι· τὰ δὲ λυγισθέντα τῶν ἄρθρων ἀσθενῆ πρὸς πᾶσαν τὴν ἔξωθεν βίαν γίγνεται, καὶ πᾶν ῥῆγμα καὶ σπάσμα ῥᾳδίως κινεῖται. Σωματικῆς μὲν οὖν ὑγιείας ἕνεκα φανερόν, ὡς οὐδὲν ἄλλο γένος ἀθλιώτερόν ἐστι τῶν ἀθλητῶν. Ὥστ' εἰκότως ἄν τις εἴποι εὐφυῶς οὕτως ὀνομάζεσθαι, τῶν ἀθλητῶν προσαγορευθέντων ⟨ἀπὸ τοῦ ἀθλίου⟩ ἢ ἀπὸ τοῦ ἀθλητοῦ τὴν προσηγορίαν τῶν ἀθλίων ἐσχηκότων ἢ κοινῶς ἀμφοτέρων καθάπερ ἀπὸ πηγῆς μιᾶς, τῆς ἀθλιότητος ὠνομασμένων.

Cap. XII. Ἀλλ' ἐπειδὴ καὶ περὶ τοῦ μεγίστου τῶν σωματικῶν ἀγαθῶν, τῆς ὑγιείας, ἐσκέμμεθα, μεταβῶμεν ἐπὶ τὰ λοιπά. Τὰ μὲν δὴ περὶ κάλλους οὕτως αὐτοῖς ἔχει, ὡς μὴ μόνον ⟨οὐκ⟩ ὠφελεῖσθαί τι πρὸς
32 τῆς ἀθλήσεως τὴν φύσιν· ‖ ἀλλὰ καὶ πολλοὺς αὐτῶν πάνυ συμμέτρως ἔχοντας τῶν μελῶν οἱ γυμνασταὶ παραλαβόντες, ὑπερπιάναντές τε καὶ διασάξαντες αἵματί τε καὶ σαρξίν, εἰς τοὐναντίον ἤγαγον. Ἐνίων δὲ καὶ τὰ πρόσωπα παντάπασιν ἄμορφα καὶ δυσειδῆ κατέστησαν καὶ μάλιστα τῶν παγκράτιον ἢ πυγμὴν ἀσκησάντων.

Ὅταν δὲ καὶ τῶν μελῶν τι τελέως ἀποκλάσωσιν ἢ διαστρέψωσιν ἢ τοὺς ὀφθαλμοὺς ἐκκόψωσι, τότ', οἶμαι, τότε καὶ μάλιστα τὸ τῆς ἐπιτηδεύσεως αὐτῶν

1. ὅθ' ἡ O ὅτ' ἡ KW ‖ 9. εὐφυῶς ChGKöWK εὐγενῶς AB οὕτως ὀνομάζ. * ‖ 10. ⟨ἀπὸ τοῦ ἀθλίου⟩ GHaupt ‖ 17. μὴ μόνον ⟨οὐκ⟩ * Pr. XXXI ‖ 20. διασάξαντες O διαυξήσαντες Cod. Adelph. ap. G ‖ 25. τι om. A

ἀποτελούμενον κάλλος ἐναργῶς ὁρᾶται. Ταῦτα μὲν οὖν αὐτοῖς ὑγιαίνουσιν εἰς κάλλος εὐτύχηται, καταλύσασι δὲ καὶ τὰ λοιπὰ τῶν τοῦ σώματος αἰσθητηρίων προσαπόλλυται καὶ πάνθ', ὡς ἔφην, τὰ μέλη διαστρεφόμενα παντοίας ἀμορφίας αἴτια γίγνεται.

Cap. XIII. *Ἀλλ' ἴσως τῶν εἰρημένων μὲν οὐδενός, ἰσχύος δ' ἀντιποιήσονται· τοῦτο γάρ, εὖ οἶδ' ὅτι, φήσουσιν ἰσχυρότατοι πάντων εἶναι. Ποίας, ὦ πρὸς θεῶν, ἰσχύος καὶ ποῦ χρησίμης; πότερον τῆς εἰς τὰ γεωργικὰ τῶν ἔργων; πάνυ ‖ μὲν οὖν καλῶς ἢ σκά-* 33
πτειν ἢ θερίζειν ἢ ἀροῦν ἤ τι τῶν ἄλλων τῶν κατὰ γεωργίαν δύνανται. Ἀλλ' ἴσως εἰς τὰ πολεμικά; Τὸν Εὐριπίδην αὖθίς μοι κάλει, ὅστις αὐτοὺς ὑμνήσει λέγων·

Πότερα μαχοῦνται πολεμίοισιν, ἐν χεροῖν
Δίσκους ἔχοντες;

τῷ γὰρ ὄντι

Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας.

Ἀλλὰ πρὸς κρύος καὶ θάλπος ἰσχυροί, αὐτοῦ γε τοῦ Ἡρακλέους ζηλωταί, ὡς ἐνὶ καὶ χειμῶνι καὶ θέρει σκέπεσθαι δέρματι, ὡς ἀνυπόδετοι διατελεῖν, ὑπαίθριοι κοιμᾶσθαι, χαμευνεῖν; Ἐν ἅπασι γὰρ τούτοις τῶν νεογνῶν παίδων εἰσὶν ἀσθενέστεροι. Ἐν τίνι τοίνυν ἔτι τὴν ἰσχὺν ἐπιδείξονται; ἢ ἐπὶ τίνι μέγα φρονήσουσιν; οὐ γὰρ δή πού ὅτι τοὺς σκυτοτόμους ἢ τοὺς τέ-

1. ὁρᾶται * ‖ 6. *μὲν οὐδενὸς* * e coni. Willeti p. 125 ‖ 7. *ἰσχύος δ'* O praeter AB *εὖ οἶδ' ὅτι* * Corn *εὖ οἶδ' ὂν* AB *εὖ οἶδ' ἓν* ChGKöWK ‖ 8. *ἰσχυρότατοι* * ‖ 11. *ἢ ἀροῦν ἤ τι τῶν ἄλλων* O praeter AB quae exhibent *παροῦντι τῶν ἄλλων* ‖ 23. *νεογνῶν παίδων* O *παῖδες* AB ‖ 24. *ἐπιδείξωνται* AB ‖ 25. *ὅτι ἐπὶ τῷ τοὺς* O [*ἐπὶ τῷ*] incluserunt GWK *τοὺς* ante *σκυτοτ.* addidi *

κτονας ἢ τοὺς οἰκοδόμους οἷοί τ' εἰσὶ καταβάλλειν ἐν παλαίστρᾳ τε καὶ σταδίῳ;

[τάχ' οὖν ἐπὶ τῷ δι' ὅλης ἡμέρας κονίεσθαι δικαιοῦ-
34 *σιν· ἀλλὰ τοῦτό γε καὶ ‖ τοῖς ὄρτυξι καὶ τοῖς πέρδιξιν ὑπάρχει, καὶ εἴ περ ἐπὶ τούτῳ μέγα χρὴ φρονεῖν, ἐπὶ τῷ δι' ὅλης ἡμέρας βορβόρῳ λούεσθαι.]*

Ἀλλὰ νὴ Δία τῶν ἱερουργημένων ἕνα ταύρων ἀναθέμενος τοῖς ὤμοις ὁ Μίλων ἐκεῖνος ὁ Κροτωνιάτης διεκόμισέ ποτε τὸ στάδιον. Ὦ τῆς ὑπερβαλλούσης ἀνοίας, ὡς μηδὲ τοῦτο γιγνώσκειν, ὅτι πρὸ βραχέος τὸ αὐτὸ τοῦτο σῶμα, τοῦ ταύρου ζῶντος, ἐβάσταζεν ἡ ψυχὴ τοῦ ζῴου καὶ πολλῷ γ' ἀκοπώτερον ἢ ὁ Μίλων ἦγε καὶ θεῖν ἠδύνατο βαστάζουσα· ἀλλ' ὅμως οὐδενὸς ἦν ἀξία παραπλησίως τῇ Μίλωνος. Ἐδήλωσε δὲ καὶ ἡ τελευτὴ τἀνδρός, ὅπως ἦν ἀνόητος, ὅς γε θεασάμενός ποτε νεανίσκον σχίζοντα κατὰ μῆκος ξύλον ἐνθέσει σφηνῶν ἐκεῖνον μὲν ἀπέστησε καταγελάσας, αὐτὸς δὲ διὰ τῶν ἑαυτοῦ χειρῶν μόνων ἐτόλμησε διασπᾶν αὐτό· κἄπειθ' ὅσον εἶχεν ἰσχύος εὐθὺς ἐν τῇ πρώτῃ προσβολῇ πληρώσας διέστησε μὲν ἑκατέρωσε τὰ μέρη τοῦ ξύλου, τῶν σφηνῶν δ' ἐκπεσόντων ἐν τῷδε τὸ λοιπὸν τοῦ ξύλου μέρος ἀδυνατῶν διαστῆσαι μέχρι πολλοῦ μὲν ἀντεῖχεν, ὕστερον δὲ νικηθεὶς οὐκ ἔφθασε κομί-
35 *σασθαι ‖ τὰς χεῖρας, ἀλλ' ὑπὸ τῶν μερῶν τοῦ ξύλου συνελθόντων ἀλλήλοις καταλειφθεῖσαι, συνετρίβησαν μὲν αὗται πρῶται, θανάτου δ' οἰκτροῦ τῷ Μίλωνι κατέστησαν αἴτιαι. Πάνυ γοῦν ὤνησεν αὐτὸν εἰς τὸ*

10. *πρὸ βραχέος τὸ* GWK *πρὸ βραχέος τὸ βραχὺ τὸ* AB *πρὸ βρ. τὸ βαρὺ τὸ* Ch Kö ‖ 16. *ξύλον* * Volkmann Observatt. miscel. Strabo VI, 263. *ξύλα* O Hartung: Ind. philol. V, 392 ‖ 17. *ἀπέστησε* O *ἀπώθησε* K ‖ 18. *αὐτὸ* O ‖ 20. *πληρώσας* O *δηλώσας* Volkm.; contra eum Hartung l. l.

μηδὲν παθεῖν ὁ νεκρὸς ταῦρος ἐν τῷ σταδίῳ βασταχθείς· ἢ τὸ κοινὸν τῶν Ἑλλήνων ἔσῳσεν ἄν, ἡνίκα πρὸς τὸν βάρβαρον ἐπολέμουν, ἡ τοιαύτη τοῦ Μίλωνος ἐνέργεια περὶ τὸν ταῦρον, ἀλλ' οὐχ ἡ Θεμιστοκλέους σοφία πρῶτον μὲν ὑποκριναμένου καλῶς τὸν χρησμόν, εἶτα στρατηγήσαντος ὡς ἐχρῆν;

[Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
Νικᾷ, σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν.]

Ὅτι μὲν εἰς οὐδὲν τῶν κατὰ τὸν βίον ἔργων χρήσιμος ἡ τῶν ἀθλητῶν ἄσκησις, εὖ οἶδ' ὅτι, σαφὲς ἤδη γέγονεν· ὅτι δὲ καὶ ἐν οἷς ἀσκοῦσιν, οὐδενός εἰσιν ἄξιοι λόγου, μάθοιτ' ἄν, εἰ διηγησαίμην ὑμῖν τὸν μῦθον ἐκεῖνον, ὃν τῶν οὐκ ἀμούσων ἀνδρῶν τις ἐντείνας ἔπεσι διεσκεύασεν. ‖ ἔστι δ' οὗτος· 36

Εἰ Διὸς γνώμῃ πᾶσι τοῖς ζῴοις ὁμόνοια καὶ κοινωνία γένοιτο πρὸς τὸν βίον, ὡς τὸν ἐν Ὀλυμπίᾳ κήρυκα μὴ μόνον ἀνθρώπους τοὺς ἀγωνιουμένους καλεῖν, ἀλλὰ καὶ πᾶσιν ἐπιτρέπειν τοῖς ζῴοις εἰς τὸ στάδιον ἥκειν, οὐδ' ἓν' ἂν ἄνθρωπον οἶμαι στεφθήσεσθαι. Ἐν μὲν γὰρ δολιχῷ ὑπέρτατος, φησίν, ὁ ἵππος ἔσται· | τὸ στάδιον δὲ λαγωὸς ἀποίσεται· ἐν δὲ διαύλῳ | δορκὰς ἀριστεύσει· μερόπων δ' ἐναρίθμιος οὐδεὶς | ἐν ποσίν. Ὦ κοῦφοι ἀσκήτορες, ἄθλιοι ἄνδρες. |

7. 8. Versus Eurip. Antiop. huc non pertinent. τὰς πολλὰς χέρας Valck. Dind. Poet. Scen. III, 305, Nr. 220. σὺν ὄχλῳ Dind. σὺν ὅπλοις O πλεῖστον Dind. πλέον Stob. flor. 54, 5 χεῖρον ἢ O ‖ 11. ἐν οἷς * ἐν ἑαυτοῖς οἷς O ἐν αὑτοῖς οἷς G Kö ‖ 15. Sequentes versus, quos Galenus, ut solet, e memoria, non ad verbum adscripsit, in metricam formam redigere conati sunt Charterius et Thom. Gatakerus in Adv. Misc. Posth. c. III, p. 420 apud Willetum p. 133. Nuperrime M. Haupt: Hermes IV, 27 et Cob. Mnemos. IV, 352 et X, 178 ‖ 19. ἥκειν Haupt Volkm. ἥκειν ἓν O ‖ 20. ὑπέρτατα, φησὶν ὁ ἵππος ἔσται AB ὑπέρτατος Ch G Kö K ‖ 23. ἀσκήτορες Haupt Volkm Cob ἀσκητῆρες O

Ἀλλ' οὐδὲ τῶν ἀφ' Ἡρακλέους τις ἐλέφαντος ἢ λέοντος ἰσχυρότερος ἂν φανείη. Οἶμαι δ' ὅτι καὶ ταῦρος πυγμῇ στεφθήσεται. καὶ ὄνος, φησί, λὰξ ποδί, εἰ βούλεται, ἐρίσας αὐτὸν τὸν στέφανον οἴσεται. | Αὐτὰρ ἐν ἱστορίῃ πολυπείρῳ γράψεται ὄνος, | ὅτι παγκράτιον ἐνίκησέ ποτ' ἄνδρας. | εἰκοστὴ δὲ καὶ πρώτη Ὀλυμπιὰς ἦν, ὅτ' ἐνίκα | ὀγκητής. ‖

37 *Πάνυ χαριέντως οὗτος ὁ μῦθος ἐπιδείκνυσι τὴν ἀθλητικὴν ἰσχὺν οὐ τῶν ἀνθρωπίνων οὖσαν ἀσκημάτων. καίτοι γ', εἰ μηδὲν ἰσχύϊ πρωτεύουσι τῶν ζῴων οἱ ἀθληταί, τίνος ἂν ἔτι τῶν ἄλλων ἐπήβολοι γενηθεῖεν ἀγαθῶν;*

Cap. XIV. *Εἰ δὲ καὶ τὴν ἡδονὴν σώματός τις ἀγαθὸν εἶναι φαίη, οὐδὲ ταύτης [αὐτῆς] αὐτοῖς μέτεστιν οὔτ' ἀθλοῦσιν οὔτε καταλύσασιν, εἴ γε παρὰ μὲν τὸν τῆς ἀθλήσεως χρόνον ἐν πόνοις τε καὶ ταλαιπωρίαις εἰσίν, οὐ γυμναζόμενοι μόνον ἀλλὰ καὶ πρὸς ἀνάγκην ἐσθίοντες· ἡνίκα δὲ καὶ καταλύσαντες τύχοιεν, ἀνάπηροι τὰ πλεῖστα μέρη τοῦ σώματος γίγνονται. Τάχ' οὖν ἐπὶ τῷ χρήματα πάντων ἀθροίζειν πλεῖστα σεμνύνονται; καὶ μὴν ἔστιν ὑμῖν θεάσασθαι πάντας αὐτοὺς ὀφείλοντας, οὐ μόνον ἐκεῖνον τὸν χρόνον, καθ' ὃν ἀθλοῦσιν, ἀλλὰ καὶ καταλύσαντας τὴν ἄσκησιν· οὐδ' ἂν εὕροις ἀθλητὴν οὐδένα πλουσιώτερον ἑνὸς τῶν ἐπιτυχόντων οἰκονόμων ἀνδρὸς πλουσίου.*
38 *ἔστι δ' οὐδ' αὐτὸ* ‖ *τὸ πλουτεῖν ἐξ ἐπιτηδεύματος ἀξιόλογον ἁπλῶς, ἀλλὰ τὸ τοιαύτην ἐπίστασθαι τέχνην, ἣ καὶ ναυαγήσασι συνεκκολυμβήσει, ὅπερ οὔτε τοῖς διοι-*

3. *λὰξ ποδὶ* Haupt Volkm = Iliad. *K* 158 ‖ 5. *γράψεται* cf. Bergk. Mus. Rhen. 36, 96 ‖ 14. [*αὐτῆς*] ante *αὐτοῖς* eici velim * ‖ 15. *οὔτ' ἀθλοῦσιν* * ‖ 24. *οὐδένα* * *οὐδενὸς* O

κοῦσι τὰ τῶν πλουσίων οὔτε τοῖς τελώναις ἢ τοῖς ἐμπόροις ὑπάρχει. Καίτοι πλουτοῦσιν ἐξ ἐπιτηδευμάτων οὗτοι μάλιστα, ἀλλ' ἐὰν ἀπολέσωσι τὰ χρήματα, συναπολλύουσιν αὐτοῖς καὶ τὰς πράξεις ἀφορμῆς μέν τινος χρημάτων εἰς αὐτὰς δεόμενοι, τῷ δ' οὐκ ἔχειν ταύτην ἄρξασθαι τῆς ἀρχαίας πράξεως ἀδυνατοῦντες. οὐδὲ γὰρ δανείζει τις αὐτοῖς χωρὶς ἐνεχύρων ἢ ὑποθηκῶν.

Ὥστ' εἰ καὶ πρὸς χρηματισμὸν ἀσφαλῆ τε καὶ οὐκ ἄδοξον ἀξιοῖ τις ὑμᾶς παρεσκευάσθαι, τέχνην ἀσκητέον ἐστὶ διὰ παντὸς τοῦ βίου [καὶ] παραμενοῦσαν. Ἀλλὰ διττῆς οὔσης διαφορᾶς τῆς πρώτης ἐν ταῖς τέχναις — ἔνιαι μὲν γὰρ αὐτῶν λογικαί τ' εἰσὶ καὶ σεμναί, τινὲς δ' εὐκαταφρόνητοι καὶ διὰ τῶν τοῦ σώματος πόνων, ἃς δὴ βαναύσους τε καὶ χειρωνακτικὰς ὀνομάζουσιν — ἄμεινον ἂν εἴη τοῦ προτέρου γένους τῶν τεχνῶν μετέρχεσθαί τινα. τὸ γάρ τοι δεύτερον γένος αὐτῶν ἀπολείπειν ‖ εἴωθε γηρῶντας τοὺς τεχνίτας. εἰσὶ 39
δ' ἐκ τοῦ προτέρου γένους ἰατρική τε καὶ ῥητορικὴ καὶ μουσικὴ γεωμετρία τε καὶ ἀριθμητικὴ καὶ λογιστικὴ καὶ ἀστρονομία καὶ γραμματικὴ καὶ νομική. πρόσθες δ', εἰ βούλει, ταύταις πλαστικήν τε καὶ γραφικήν· εἰ γὰρ καὶ διὰ τῶν χειρῶν ἐνεργοῦνται, ἀλλ' οὐκ ἰσχύος νεανικῆς δεῖται τὸ ἔργον αὐτῶν.

Ἐκ τούτων οὖν τινα τῶν τεχνῶν ἀναλαμβάνειν τε καὶ ἀσκεῖν χρὴ τὸν νέον, ὅτῳ μὴ παντάπασιν ἡ ψυχὴ βοσκηματώδης ἐστί· καὶ μᾶλλόν γε τὴν ἀρίστην ἐν ταύταις, ἥτις, ὡς ἡμεῖς φαμεν, ἐστὶν ἰατρική. Τοῦτο δ' αὐτὸ δεικτέον ἐφεξῆς.

9. *ὑμᾶς* * *ἡμεῖς* O ‖ 10. [*καὶ*] inclusi * *παραμενοῦσαν* Cob. X, 179 ‖ 27. *ἐνεργοῦνται* * *ἐνεργοῦσι* O *νεανικῶς* A

	ℳ ₰
Isocrates edd. *Benseler* et *Blaſs* 2 voll.	2.70
Iuliani imp. op. ed. *Hertlein*. 2 voll.	6.75
Iurisprudent. anteiust. reliquiae ed. *Huschke*. Editio IV	6.75
—— —— Indices ed. *Fabricius*	1.80
—— Suppl. Bruchstücke a. Schriften röm. Juristen. Von *Huschke*	—.75
Iustiniani inst. ed. *Huschke*	1.—
—— Novellae ed. *Zachariae*. 2 voll.	10.50
Iustinus ed. *Jeep*. Editio maior	2.70
—— —— Editio minor	—.90
Iuvenalis ed. *Hermann*	—.45
Livius ed. *Weiſsenborn*. 6 voll.	6.—
Vol. I—III auch in Heften. à	—.60
Vol. I pars I lib. I—III	
—— pars II lib. IV—VI	
Vol. II pars I lib. VII—X	
—— pars II lib. XXI—XXIII	
Vol. III pars I lib. XXIV—XXVI	
Ferner einzeln: lib. I et II	—.45
Lucian ed. *Jacobitz*. 3 voll.	6.30
—— —— Auch in 6 partes, à pars	1.05
Lucretius ed. *Bernays*	1.50
Lycophron ed. *Kinkel*	1.80
Lycurgus ed. *Scheibe*	—.60
Lydus ed. *Wachsmuth*	2.70
Lysias ed. *Scheibe*	1.20
Macrobius ed. *Eyſsenhardt*	5.40
Manethon ed. *Koechly*	1.50
Martialis ed. *Schneidewin*	1.50
Martianus Capella ed. *Eyſsenhardt*	4.50
Maximus et Ammon. ed. *Ludwich*	1.80
Metrolog. script. ed. *Hultsch*. 2 voll.	5.10
Muretus ed. *Frey*. Vol. I et II.	2.40
Nicephori opuscula historica ed. *de Boor*	3.30
Nicomachus ed. *Hoche*	1.80
Nonnus ed. *Koechly*. 2 voll. à	4.50
—— paraphrasis ed. *Scheindler*	4.50
Onosander ed. *Koechly*	1.20
Ovidii opera ed. *Merkel*. 3 voll.	2.90
—— —— tristia	—.45
—— —— fasti	—.60
—— —— met. delectus ed. *Merkel*	—.60
Panegyrici latini XII ed. *Baehrens*	3.60
Pausanias ed. *Schubart*. 2 voll.	3.60
Persius ed. *Hermann*	—.30
Phaedrus ed. *Müller*	—.30
Philostratus ed. *Kayser*. 2 voll.	8.25
Pindarus ed. *Christ*	1.—
Plato ed. *Hermann*. 6 voll.	10.50
[Auch in 15 einzelnen Heften.]	
Plautus ed. *Fleckeisen*. Vol. I. II	2.70
—— —— einzelne Stücke à	—.45
Plini epistolae ed. *Keil*	1.20
—— natur. historia ed. *Jan*. 6 voll.	13.20
Plinius et Gargilius Mart. ed. *Rose*	2.70
Plotinus ed. *Volkmann*. 2 voll.	
Plutarchus ed. *Sintenis*. 5 voll.	8.40
[Auch in 14 einzelnen Heften.]	
—— moralia ed. *Hercher*. Vol. I	1.80
Poetae latini min. ed. *Baehrens*. 5 voll.	15.90
Polemon ed. *Hinck*	1.—
Polyaenus ed. *Woelfflin*	4.50
Polybius ed. *Dindorf*. 4 voll.	11.70
Pomponii Melae de chorographia libri tres rec. *Frick*	1.20

	ℳ ₰
Porphyrion ed. *Meyer*	4.20
Porphyrius ed. *Nauck*	1.80
Proclus ed. *Friedlein*	6.75
Propertius ed. *Müller*	—.60
Quintilian ed. *Bonnell*. 2 voll.	2.40
—— —— lib. X ed. *Halm*	—.30
Quintus Smyrnaeus ed. *Koechly*	1.50
Rerum naturalium script. Graeci ed. *Keller*. Vol. I	2.70
Rhetores Graeci ed. *Spengel*. 3 voll.	9.—
Ruhnkenii elogium Hemsterhusii ed. *Frey*	—.45
Rutilius Namatianus ed. *Müller*	—.75
Sallustius ed. *Dietsch*. Ed. IV	—.45
Script. histor. Augustae. 2 voll.	5.10
Script. metrici Graeci ed. *Westphal*. Vol. I	2.70
Seneca ed. *Haase*. 3 voll.	7.80
—— tragoediae ed. *Peiper et Richter*	4.50
Seneca rhetor ed. *Kieſsling*	4.50
Simeo Sethus ed. *Langkavel*	1.80
Sophocles ed. *Dindorf*. Ed. V.	1.50
—— —— einzelne Stücke à	—.30
Soranus ed. *Rose*	4.80
Statius ed. *Queck*. 2 voll.	3.60
—— Vol. I Silvae ed. *Baehrens*	1.80
—— Vol. II Fasc. I. Achilleis ed. *Kohlmann*	—.75
Stobaei florilegium ed. *Meineke*. 4 voll.	9.60
Stobaei eclogae ed. *Meineke*. 2 voll.	6.—
Strabo ed. *Meineke*. 3 voll.	6.—
Suetonius ed. *Roth*	1.50
Tacitus ed. *Halm*. 2 voll.	2.40
—— —— Germania, Agricola et dialogus ed. *Halm*	—.45
Terentius ed. *Fleckeisen*	1.20
Testamentum, novum, Graece ed. *Buttmann*	2.25
Themistius ed. *Spengel*. 2 voll.	6.—
Theodorus Prodromus ed. *Hercher*	—.50
Theon Smyrnaeus ed. *Hiller*	3.—
Theophrastus ed. *Wimmer*. 3 voll.	6.60
Theophrasti char. ed. *Foſs*	1.20
Thucydides ed. *Boehme*. 2 voll.	2.40
Tibullus ed. *Müller*	—.30
Ulpian ed. *Huschke*. Ed. II.	—.75
Valerius Flaccus ed. *Baehrens*	1.50
Valerius Maximus ed. *Halm*	3.75
Vegetius ed. *Lang*	3.—
Velleius Paterculus ed. *Haase*	—.60
—— —— ed. *Halm*	1.—
Vergili opera ed. *Ribbeck*	1.35
—— Bucolica et Georgica	—.45
—— Aeneis	—.90
Xenophontis expeditio ed. *Hug*.	—.75
—— —— —— Ed. maior	1.20
—— —— —— ed. *Dindorf*	—.75
—— —— historia Gr. ed. *Dindorf*	—.90
—— —— institutio Cyri ed. *Hug*. Ed. maior	1.20
—— —— —— Ed. minor	—.90
—— —— —— ed. *Dindorf*	—.90
—— —— commentarii	—.45
—— —— scripta minora	—.90
Zonaras ed. *Dindorf*. 6 voll.	19.50

…ninoras.
…ndorf. 6 vv 8 ..

BIBLIOTHECA

SCRIPTORUM GRAECORUM ET ROMANORUM TEUBNERIANA.

	ℳ ₰
Aelianus ed. *Hercher.* 2 voll.	9.—
—— —— varia historia	—.90
Aeneae comment. Poliorc. ed. *Hug*	1.35
Aeschines ed. *Franke*	—.90
Aeschyli tragoediae ed. *Weil*	1.50
—— —— Einzelne Stücke à	—.30
Ammianus M. ed. *Gardthausen.* 2 voll.	7.20
Anacreon ed. *Rose.* Ed. II	1.—
Andocides ed. *Blaſs.* Ed. II	1.20
Annae Comnenae Alexias ed. *Reifferscheid.* 2 voll.	7.50
Anthimus ed. *Rose*	1.—
Anthologia latina ed. *Riese.* I. 1. 2.	7.50
—— lyrica ed. *Hiller.* Ed. IV	3.—
Antiphon ed. *Blaſs.* Ed. II	2.10
Antoninus ed. *Stich*	1.80
Apollodorus ed. *Bekker*	1.—
Apollonius Perg. ed. *Heiberg.* Vol. I.	4.50
Apollonius Rhodius ed. *Merkel*	1.—
Appian ed. *Mendelssohn.* 2 voll.	9.—
Archimedes ed. *Heiberg.* 3 voll.	18.—
Aristophanes ed. *Bergk.* 2 voll. Ed. II	3.—
—— —— einzelne Stücke à	—.45
Aristoteles, de partibus animal. ed. *Langkavel.*	1.80
—— de arte poetica ed. *Christ*	—.60
—— physica ed. *Prantl*	1.50
—— Ethica Eudemia ed. *Susemihl.*	1.80
—— —— Nicomachea ed. *Susemihl*	1.80
—— de coelo etc. ed. *Prantl*	1.20
—— de coloribus, andibilibus, physiogn. ed. *Prantl*	—.60
—— politica ed. *Susemihl*	2.40
—— magna moralia ed. *Susemihl*	1.20
—— de anima libri III ed. *Biehl*	1.20
—— ars rhetorica ed. *Römer*	2.10
—— metaphysica ed. *Christ*	2.40
—— fragmenta ed. *Rose*	4.50
—— oeconomica ed. *Susemihl*	1.50
—— de plantis ed. *Apelt*	3.—
Arriani expeditio Alex. ed. *Abicht*	1.20
—— scripta min. ed. *Eberhard*	1.80
Athenaeus ed. *Kaibel.* 3 voll.	17.10
Augustinus iter. ed. *Dombart.* 2 voll.	6.—
Aulularia ed. *Peiper*	1.50
Ausonius ed. *Peiper*	6.60
Autolycus ed. *Hultsch*	3.60
Avienus ed. *Breysig*	1.—
Babrius ed. *Schneidewin*	—.60
Boetius de inst. arithm. ed. *Friedlein*	5.10
—— de consolatione ed. *Peiper*	2.70
—— comm. in libr. Aristotelis *περὶ ἑρμηνείας* rec. *Meiser.* 2 voll.	8.70
Bucolici Graeci ed. *Ahrens.* Ed. II.	—.60
Caesar ed. *Dinter.* 3 voll. Ed. mai. à	1.—
—— Ed. II min.	1.50
—— de bello Gallico. Ed. II min.	—.75
—— —— civili. Ed. II min.	—.60
Cassius Felix ed. *Rose*	3.—
Catullus ed. *Müller*	—.45
Tibull., Propertius ed. *Müller*	2.70
tabula ed. *Drosihn* (vergr.)	—.60

	ℳ ₰
Celsus ed. *Daremberg*	3.—
Censorinus ed. *Hultsch*	1.20
Cicero ed. *Mueller.* 5 partes (11 voll.) [Auch in 37 einzelnen Heften.]	22.35
—— oratt. selectae XXI ed. *Müller.* 2 partes	1.50
—— —— XIX edd. *Eberhard* et *Hirschfelder*	2.—
—— epistolae ed. *Wesenberg.* 2 voll.	6.—
—— —— sel. ed. *Dietsch.* 2 partes	2.50
Cleomedes ed. *Ziegler*	
Commodianus ed. *Ludwig.* 2 voll.	2.70
Cornelius Nepos ed. *Fleckeisen*	—.30
Cornutus ed. *Lang*	1.50
Corpusculum poesis epic. ludib. edd. *Brandt* et *Wachsmuth.* 2 voll.	6.—
Curtius Rufus ed. *Vogel*	1.20
Dares Phrygius ed. *Meister.*	1.20
Demosthenes ed. *Dindorf.* 3 voll. Ed. IV cur. *Blaſs.* Ed. minor.	4.50
—— —— Auch in 6 partes, à pars	—.75
—— —— 3 voll. Editio maior	7.20
Dictys Cretensis ed. *Meister*	1.50
Dinarchus ed. *Blaſs*	1.—
Dio Cassius ed. *Melber.* Vol. I	4.50
Dio Chrysost. ed. *Dindorf.* 2 voll.	5.40
Diodorus ed. *Vogel.* Vol. I. II à	3.60
Dionysius Halic. ed. *Jacoby.* Vol. I. II	6.60
Dracontius ed. *de Duhn*	1.20
Eclogae poet. latin. ed. *Brandt*	1.—
—— poet. graec. ed. *Stadtmüller*	2.70
Epicorum Graec. fragm. ed. *Kinkel.* I	3.—
Euclidis elem. ed. *Heiberg.* 5 voll.	24.60
Eudociae violarium ed. *Flach.*	7.50
Euripides ed. *Nauck.* 3 voll. Ed. III.	5.70
—— —— Einzelne Tragödien à	—.30
Eusebius ed. *Dindorf.* 4 voll.	15.—
Eutropius ed. *Ruehl*	—.45
Fabulae Aesopicae ed. *Halm*	—.90
Fabulae Roman. ed. *Eberhard.* Vol. I	3.75
Florilegium Graecum. 10 fascc. à	—.45
Florus ed. *Halm*	1.—
Fragmenta poet. Rom. ed. *Baehrens*	4.20
Frontinus ed. *Gundermann*	1.50
Gaius ed. *Huschke.* Ed. V	2.70
Galeni scripta min. edd. *Marquardt, Mueller, Helmreich.* 3 voll. Vol. I	2.10
Gellius ed. *Hertz.* 2 voll. Ed. II.	4.20
Georgius Cyprius ed. *Gelzer*	3.—
Heliodor ed. *Bekker*	2.40
Herodian ed. *Bekker*	1.20
Herodotus edd. *Dietsch-Kallenberg.* 2 voll. Ed. II. à — Vol. I auch in 2, II in 3 Fasc.	1.35
Hesiodus ed. *Flach*	—.45
Hesychius Milesius ed. *Flach.*	—.75
Hieronymus ed. *Herding*	2.40
Historia Apollonii ed. *Riese*	1.—
Historici Graeci minores ed. *Dindorf.* 2 voll.	8.25

CLAUDII GALENI PERGAMENI

SCRIPTA MINORA.

RECENSUERUNT

IOANNES MARQUARDT IWANUS MUELLER
GEORGIUS HELMREICH.

VOL. II.

ΟΤΙ Ο ΑΡΙΣΤΟΣ ΙΑΤΡΟΣ ΚΑΙ ΦΙΛΟΣΟΦΟΣ.
ΠΕΡΙ ΕΘΩΝ.
ΟΤΙ ΤΑΙΣ ΤΟΥ ΣΩΜΑΤΟΣ ΚΡΑΣΕΣΙΝ ΑΙ ΤΗΣ ΨΥΧΗΣ ΔΥΝΑΜΕΙΣ ΕΠΟΝΤΑΙ.
ΠΕΡΙ ΤΗΣ ΤΑΞΕΩΣ ΤΩΝ ΙΔΙΩΝ ΒΙΒΛΙΩΝ ΠΡΟΣ ΕΥΓΕΝΙΑΝΟΝ.
ΠΕΡΙ ΤΩΝ ΙΔΙΩΝ ΒΙΒΛΙΩΝ.

EX RECOGNITIONE

IWANI MUELLER.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCI.

Πολὺ ῥᾷον ἐξευρεῖν τι τῶν παροφθέντων καὶ μέμψασθαι καὶ μεταθεῖναι τοῦ πάντ' ἐξ ἀρχῆς ἀμέμπτως κατασκευάσαι.

Galenus.

LIPSIAE, TYPIS B. G. TEUBNERI

PRAEFATIO.

I. Libellus Galeni, quem in hoc volumine primo loco posuimus, inscriptus '"Ὅτι ὁ ἄριστος ἰατρὸς καὶ φιλόσοφος,' non paucos editores nactus est. Nam ut praetermittamus editiones Galenianas, Aldinam (vol. I fol. 5 Venet. 1525), Basileensem (vol. I fol. 8 Basil. 1538), Charterianam (vol. II fol. 356 sqq. Paris. 1679), Kuehnianam (vol. I p. 53 sqq. Lips. 1821), libellus separatim prodiit Graece et Latine cum versione Erasmi Roterodami Parisiis 1544; cum libro de optimo docendi genere Graece et Latine Bas. 1566; Graece ex officina Fr. Morelli Parisiis 1577; Graece cum Protreptico studio Ioann. Posselii Rostochii 1591; Latine cum Protreptico opera Sixti Arcerii 'cum notis eiusdem, in quibus partim textus Graecus emendatur partim illustratur' Franekerae 1616; Graece et Latine in Galeni opusculis variis a Theod. Goulstono recensitis Londini 1640 p. 25 sqq.; Graece et Latine opera Curtii Sprengelii Halae Saxonum 1788; Graece cum Hippocratis libello de aëre aquis locis auctore Adamantio Coraë Parisiis 1816. Sed harum editionum omnium quod sciam textus nititur in Aldina, nisi quod Goulstonus e codicibus quattuor, quos sibi ad textum recognoscendum praesto fuisse ait, Adelphi codice (Ad.), regio vel bibliothecae regis Brit. (Re.), Londinensi (Lond.), Veneti apographo (Ven.), perpaucas lectiones excerpsit. Quemadmodum autem ex Aldina Basileensis, ex Basileensi Charteriana, ex Charteriana Kuehniana ita pendet, ut earum auctores proxi-

mam quisque paucis locis commutatis repetierint, ita qui seorsum libellum ediderunt praeter Goulstonum omnes Aldinam aut Basileensem aut Charterianam, ut quaeque eis ad manum erat, retractaverunt, ubi ab ea discesserunt, non codicis ullius auctoritatem sed suum secuti ingenium, sive infeliciter sive prospere, ut Corais, egregius ille studiorum Graecorum apud Graecos reductor ac reformator.

Nos cum novam libri recensionem pararemus, praeter illas editiones quamquam non omnes his adiuti sumus codicibus: Laurentiano (L), cod. membran. s. XII plut. LXXIV 3, de cuius laude I. Marquardt in Praefatione vol. I Scriptorum minorum Galeni disputavit, Urbinati (U), cod. papyraceo recentioris aetatis, Marciano (M) saec. XV plut. V 4 elegantissime scripto, cuius apographum Parisinum (P) chartac. saec. XVI nr. 2164 esse veri simillimum est, I. Scaligeri (Scal.) codice, i. e. variis lectionibus ab eo margini Aldinae in bibliotheca Guelferbytana asservatae adscriptis. Horum quae esset inter ipsos et cum Aldina ratio, exposuimus in editionis alterius Erlangensis a. 1875 emissae et Praefatione et Addendis, unde elucet primo loco ponendum esse Laurentianum vel potius eius manum alteram (L^2), altero Urbinatem, Marcianum, Parisinum, Scaligeri marginem, tertio Aldinam et codd. Goulstonianos. Praeterea consuluimus I. Cornarii coniecturas Galenicas (ed. Gruner Jenae 1779 p. 12 sqq.), Darembergii interpretationi Gallicae (Paris. 1854) subiectas adnotationes, denique ea, quae I. Marquardt et A. Eberhard de editionibus meis Erlangensibus, ille de priore a. 1873 publicata et in Philol. Anz. vol. VI 544 sqq. et per litteras, hic de posteriore in Bursian. Jahresb. vol. II 1307 iudicaverunt.

Fundamentum igitur novae quam nunc foras dedi recensionis idem est quod priorum mearum, codex Laurentianus, quem post variorum curas ipse

denuo excussi. Ad eius fidem textum ita accommodavimus, ut, sicubi alias aliorum codicum lectiones aut emendationes sive virorum doctorum sive nostras recipiendas esse aut memoratu dignas censebamus, id infra textum enotaremus; pleniorem autem apparatum criticum quoniam in editione altera Erlangensi exhibuimus, ad eam studiosos eius rei delegatos volumus.

Vol. I 53 K.[1]) *γενέσθαι δ' αὐτοὺς ἐν ὁμοίοις ἐκείνῳ.* Corais pro *ἐν ὁμοίοις* coniecit *ἐναμίλλους* insolito, ut videtur, adductus plurali; at talem insolentiam non devitavit Galenus, ubi teretes hiatum fastidientium aures offendere nolebat, veluti IX 818, 3 *ταῖς δ' ἀληθείαις οὐκ ἀδύνατον*, X 169, 6 *ταῖς δ' ἀληθείαις ἀμέθοδοι* (cf. Isocr. 8, 38; 9, 5; 15, 283), sed XIV 661, 13 *τῇ δ' ἀληθείᾳ πάμπολυ λείπεται* scripsit; III 278, 6 = p. 14, 4 Helmr. *δύο σπλάγχνα μήτε τοῖς μεγέθεσιν ἴσα μήτε τοῖς ἀξιώμασιν ὁμότιμα*, 384, 12 *οὐ τοῖς ἀξιώμασι τῶν ὀργάνων οὐδὲ τοῖς μεγέθεσιν ἀλλὰ ταῖς χρείαις ἀνάλογον ἡ φύσις ἔνειμεν*; at VIII 767, 2 non *ἐξ ἴσων ἰατροῖς τε καὶ φιλοσόφοις* sed *ἐξ ἴσου* ⟨*τοῖς*⟩ *ἰ. τ. κ. φ.* legendum. Alia observavit Marquardt in Galeni Script. min. vol. I Praef. p. XLVIII; cf. Helmreich. in Act. Sem. Erl. II 271, 2.

P. 54. *φύσιν σώματος ὁ μὲν ἀκριβῶς ἀξιοῖ γιγνώσκειν ἀρχὴν εἶναι φάσκων αὐτὴν τοῦ κατ' ἰατρικὴν λόγου παντός.* Eberhard l. l.: 'für *αὐτὴν* wird zu schreiben sein *ταύτην* „dies", das *γιγνώσκειν φύσιν σώματος*'. Nihil mutandum; respicit G. auctorem libri de Locis c. 2 (II 396 Erm.) dicentem '*φύσις δὲ τοῦ σώματος ἀρχὴ τοῦ ἐν ἰατρικῇ λόγου*'; itaque rectissime se habet *αὐτὴν* i. e. *φύσιν σώματος*.

1) Numeri indicant voll. et pagg. editionis Kuehnianae, quae margini editionis nostrae adscribenda curavimus, ut lectores locos, de quibus in Praefatione disputaremus, facile invenire possent.

Ibid. *ὥστ' οὐ μόνον ἑκάστου τῶν μορίων οὐσίαν . . . ἀλλ' οὐδὲ τὴν θέσιν ἐπίστανται.* Sitne scribendum *οὐ μόνον* ⟨*οὐχ*⟩, quaeritur. Galenus enim *οὐ μόνον οὐκ* (*οὐδέν*) ponere solet non solum ubi duo membra enuntiati diversa habent praedicata, ut I 670, 16 *οὐ μόνον οὐδὲν ἂν βλάψειεν . . . ἀλλ' οὐδ' ἂν αἴσθησίν τινα παράσχοι*, II 35, 5 *οὐ μόνον οὐδὲν ὑγιὲς ἴσασιν οἱ ταῖς τοιαύταις αἱρέσεσι δουλεύοντες ἀλλ' οὐδὲ μαθεῖν ὑπομένουσιν*, III 680, 7 *οὐ μόνον οὐκ ἂν ἐκλείσθη τελέως ἀλλ' οὐδ' ἂν ἀνεῴχθη καλῶς*, IV 72, 5, X 76, 10 *ἔνιοι δ' οὐ μόνον οὐκ ἀπέδειξαν ἀλλ' οὐδὲ παρὰ τῶν ἀποδεικνύντων μανθάνουσιν*, VII 306, 4; 314, 8; sed etiam ubi praedicatum eis commune est, sive priori membro appositum, ut I 48, 9 (Script. min. I 88, 22 Marqu.) *ἡ τοιαύτη διδασκαλία . . . οὐ μόνον οὐκ ἔστιν ἀρίστη τῶν ἄλλων ἀλλ' οὐδὲ διδασκαλία κατ' ἀρχήν*, III 189, 10 *οὐ μόνον οὐ δύνανται βαδίζειν ἀσφαλῶς οὗτοί γ' ἀλλ' οὐδ' ἑστάναι βεβαίως*, VII 353 extr. *οὐ μόνον οὐκ ἴσασιν, ὡς χρὴ θεραπεύειν τουτουσί, ἀλλ' οὐδ' εἰ . . . ὑποπτεύειν χρὴ τὰς ὥρας ἀμφοτέρας*, XVIII A 348, 1 *οὐ μόνον ἐν Ῥώμῃ λαθεῖν οὐκ ἐδύνατο συμβαῖνόν τι τοιοῦτον ἀλλ' οὐδὲ κατὰ τὸν λιμένα*, XVI 738, 6, XVII A 251, 3, sive, id quod rarius legitur, posteriori, ut IX 625, 6 *οὐ μόνον οὐκ ἂν τῆς ἑβδόμης ἡμέρας ἐντὸς ἀλλ' οὐδὲ τῆς τεσσαρεσκαιδεκάτης δύναιτό τις ἔχειν σαφὲς σημεῖον πέψεως.* Sed inveniuntur loci similes eius, de quo quaerimus: III 688 extr. *οὐ μόνον τῆς δαψιλεστέρας παρὰ τὰ λοιπὰ μόρια κενώσεως ἀλλ' οὐδὲ τῆς μετρίας εὐπορήσειν ἔμελλεν*, XVII A 206, 14 *θορυβώδης ἄνθρωπος νοσῶν οὐ μόνον* ⟨*ἂν*⟩ *εἰ φθέγξεται θρασέως ἀλλ' οὐδ' εἰ παραφρονήσει . . ., κινδυνεύσειεν*, 507, 17 *οὐ μόνον νῦν ἀλλ' οὐδὲ κατ' ἄλλην διήγησιν . . . ἐμνημόνευσεν*, XVIII B 912, 14 *οὐ μόνον γὰρ Ἱπποκράτης ἀλλ' οὐδὲ τῶν ἐπιτυχόντων ἰατρός τις ἠξίωσεν ἄν*, quibus nisi adversatur codicum aut nondum aut hucusque male collatorum auctoritas, non est cur *οὐχ* inseramus, quam-

quam in codicibus Galenianis *οὐ* saepissime a librariis omissum esse et nos asseveravimus in Praef. ed. Plac. Hipp. et Plat. p. 107 et Marquardt in Praef. l. l. p. XXX multis exemplis demonstravit.

Ibid. *τοσοῦτον ἀποδέουσιν ἠσκῆσθαι κατ' αὐτήν.* In editione altera recepi coniecturam A. Weidneri: ⟨*τοῦ*⟩ *ἠσκῆσθαι* nixus compluribus locis Galenianis, quibus addi possunt alii: I 27, 5 = p. 121, 11 Marqu. *τοσοῦτον ἀποδέουσι τοῦ λογικὴν αὐτὴν ἐπίστασθαι*, I 88, 9 = Act. Sem. Erl. II 270, 9 Helmr. *τοσοῦτον ἀπέδει τοῦ σπεύδειν κτλ.*, 519 extr. *οἱ δ' ἄρα τοσοῦτον ἀποδέουσι τοῦ μεμνῆσθαι ταύτης*, 529, 12 *ἐγὼ δὲ τοσοῦτον ἀποδέω τοῦ ὑγρὸν καὶ θερμὸν ἀποφαίνειν τὸ ἔαρ*, 644, 11 *αὐτὰ δὲ τὰ σώματα τοσοῦτον ἀποδεῖ τοῦ ξηραίνειν κτλ.*, 661, 2, II 34, 10, VII 433 extr., IX 618, 6; 823, 7, XIV 601, 9, XV 310, 2, XVIII A 656 extr. At Galenum hanc consuetudinem non constanter tenuisse testantur hi loci: Plac. Hipp. et Plat. p. 545, 8 ed. m. *τοσοῦτον ἀποδεῖ προσθεῖναί τιν' ἀπόδειξιν*, ubi etiam cod. Hamilton. *τοῦ* ante *προσθεῖναι* omittit, IV 690, 10 *τοσοῦτον ἀποδέουσι βεβαίως γιγνώσκειν κτλ.*, VII 628, 11 *οἱ δὲ τοσοῦτον ἀποδέουσι τοῦτο πάντη γιγνώσκειν*, XI 150, 9 *ὁ δὲ τοσοῦτον ἀποδεῖ τὸν λόγον ὑποσχεῖν*, 170, 7, XV 329, 3. Itaque coniectura Weidneriana Galeni usu non ita confirmata est, ut amplexanda utique videatur.

P. 55. *σχολῇ γ' ἂν οὗτοι τἆλλα προλέγοντός τινος ἀνάσχοιντο.* Ante *σχολῇ* signum lacunae ponendum censuimus, quia *σχολῇ* (*σχολῇ γε*), praeterquam in sermone (cf. Xen. Mem. III 14, 3), nusquam, quantum ego quidem sciam, nisi in apodosi ponitur, cum secundarium enuntiatum aut praecedit aut subsequitur; cf. Gebauer, De hypotacticis et paratacticis argumenti ex contrario formis p. 310, Praef. p. XXI. Ex Galeno praeter exempla in ed. alt. p. 36 allata enotavimus haec: I 249, 11 *ὁπότ' οὖν οὐδ' ἐν τοῖς παθητικοῖς ἐναργῶς σώμασιν οὔθ' ἡ σύνοδος οὔθ' ἡ ἄφοδος ὀδύνην*

ται ἀναγκαίαν ἔχοντα τὴν ἐπίσκεψιν, εἰ μέλλοι μὴ πολλὰ τῶν κατ' ἰατρικὴν χωλεύειν.' ταῦτα μὲν οἱ ἐνδοξότατοι τῶν ἰατρῶν, Ἐρασίστρατος καὶ Ἱπποκράτης, εἰρήκασι περὶ δυνάμεως ἐθῶν, οὐ λόγῳ τὴν εὕρεσιν αὐτῶν ἀνατιθέντες ἀλλ' ἐκ τῶν ἐναργῶς φαινομένων διδαχθέντες, ὅπερ ἀμέλει καὶ τῶν ἄλλων ἀνθρώπων ⟨ὅσοι⟩ μὴ καθάπερ ὕες ἢ ὄνοι ζῶσιν ἀλλὰ παρακολουθοῦσιν ὑφ' ὧν ὠφελοῦνταί τε καὶ βλάπτονται. πάρεστι γοῦν αὐτῶν ⟨ἀκούειν⟩ ὁσημέραι λεγόντων εἰθίσθαι [φησὶ] τῷδε τῷ βρώματι καὶ τῷδε τῷ πόματι καὶ διὰ τοῦτο μὴ δύνασθαι καταλιπεῖν αὐτά· καὶ γὰρ καὶ βλάπτεσθαι κατὰ τὰς μεταβολάς. ὁμοίως δὲ καὶ περὶ τῶν ἐπιτηδευμάτων λέγουσιν, οἷον ἀλουσίας λουτρῶν, ἱππασίας κυνηγεσίων, δρόμου πάλης, ἀγρυπνιῶν ⟨ὕπνων⟩, 117 ἡλιώσεως ψύξεως, φροντίδων ὅσα τ' ἄλλα τοιαῦτα. ‖

Cap. II. Καταφρονήσαντες οὖν καὶ ἡμεῖς τῶν ἤτοι μηδὲν ἢ πάνυ σμικρὸν ἡγουμένων εἰς θεραπείαν συντελεῖν τὸν ἀπὸ τῶν ἐθῶν σκοπὸν ἐπισκεψώμεθα, τίς ποτ' ἐστὶν ἡ αἰτία τοῦ πολὺ δύνασθαι τὸ ἔθος καὶ εἴτε μία τίς ἐστιν ἢ καὶ καθ' ἑκάστην ὕλην ἑτέρα. λέγω δ' ὕλην, ἐφ' ᾗ συνέστη τὸ ἔθος, οἷον, ὡς ἔφην, ἐδέσματα ἢ πόματα ἢ γυμνάσια ⟨ἢ λουτρὰ⟩ ἤ τι τοι-

1. εἰ D ἢ F ‖ 6. ἀνθρώπων (sc. ἐδιδάχθησαν) ⟨ὅσοι⟩ μὴ* homines quicunque non N ἀ. εἰ μὴ D ἀ. μὴ (om. ὅσοι) F ‖ 9. ⟨ἀκούειν⟩ ὁσημέραι λεγόντων* audire cotidie dicentes N ὁσημέραι ἀκοῦσαι λ. D ὁσημέραι λεγόντων (om. ἀκούειν) F ‖ 10. [φησὶ]* assuetos circa hunc cibum N εἰθίσθαι φησὶ τῷδε F εἴθισται, φησὶ, τῷδε D ‖ 14. ⟨ὕπνων⟩*; cf. Praef. p. XXVI ‖ 16. ante Καταφρονήσαντες in F tamquam index capitis: τίς ἡ αἰτία τοῦ πολὺ δύνασθαι τὸ ἔθος ‖ 17. μηδὲν ἢ πάνυ σμικρὸν Helmreich et Nauck, nihil vel valde parum N μηδὲν πάνυ ἢ σμικρὸν FD ‖ 18. ἐπισκεψώμεθα* ἐπισκεψόμεθα FD ‖ 19. τίς F τί D ‖ 20. ἑτέρα D ἑτέραν F ‖ 22. ἐδέσματα . . ἕτερον* ἐδεσμάτων ἢ πομάτων ἢ γυμνασίων ἤ τινος ἑτέρου τοιούτου FD; cf. Praef.

οὗτον ἕτερον. καὶ γὰρ τήν γ' ἀρχὴν ἀπὸ τῶν ἐσθιομένων τε καὶ πινομένων ποιησόμεθα. τί δήποτε γὰρ οἱ τῇ τῶν βοείων κρεῶν ἐδωδῇ συνήθως χρώμενοι τινὲς μὲν οὐδ' ὅλως βλάπτονται, τινὲς δ' ἧττον ἢ πρόσθεν; ἢ διὰ τί κατὰ φύσιν τινὲς εὐθὺς ἐξ ἀρχῆς, ὡς αὐτὸς ⟨ὁ⟩ Ἐρασίστρατος ἔγραψε, ῥᾷον πέττουσι τὰ βόεια κρέα τῶν πετραίων ἰχθύων; ἀλλὰ τούτου μὲν ἡ αἰτία λέλεκται κατὰ τὴν τῶν φυσικῶν δυνάμεων ἐπίσκεψιν, εἰρήσεται δὲ καὶ νῦν ὀλίγον ὕστερον ἐν τῇ τοῦ λόγου κοινωνίᾳ· νυνὶ δ' ἀπὸ τῶν δι' ἔθος ἄμεινον πεττόντων ὁτιοῦν ἔδεσμα τὴν ἀρχὴν τῆς διδασκαλίας ποιησώμεθα κοινὴν ὑπόθεσιν λαβόντες εἰς ταῦτα πάντα τὰ φύσει τισὶν οἰκεῖά τε καὶ οὐκ οἰκεῖα. λέλεκται μὲν οὖν ἐπὶ πλέον ὑπὲρ ἁπάν‖των τούτων κατὰ τὴν τῶν 118 *φυσικῶν δυνάμεων ἐπίσκεψιν· ἀρξώμεθα δὲ καὶ νῦν τοῦ λόγου τὴν τῆς πέψεως ἔννοιαν προχειρισάμενοι. καθάπερ γὰρ ἄρτους οἱ σιτοποιοὶ λέγονται πέττειν οὐκ ἐπειδὰν ἀλοῦντές τε καὶ διαττῶντες εἰς λεπτὰ μόρια καταθραύσωσι τοὺς πυροὺς ἀλλ' ὅταν ἐπὶ τῷ τοιοῦτον πρᾶξαι δεύσαντες ὕδατι ζύμην μίξαντες μαλάξωσιν, εἶτα καλύψαντές τινι τῶν θαλπόντων ἐάσωσιν, ἄχρις ἄν, ὡς αὐτοὶ καλοῦσι, ζυμωθῇ, καὶ μετὰ ταῦτα διὰ*

p. XXVI. XXVII ‖ 1. *ἀπὸ τῶν* Helmreich et Nauck, ab eis N *ἐπὶ τῶν* FD ‖ 6. *αὐτὸς ⟨ὁ⟩** cf. infra p. 28, 19 ‖ 7. *κρέα* D *κρέη* F ‖ 8. *τῶν φυσικῶν δυνάμεων* FD *τῶν τροφῶν δυνάμεων* Gadaldinus et Daremberg; cf. Praef. p. XXVII ‖ 11. *ἔδεσμα* Pantazides et Nauck, quemcunque cibum N *ἐδεσμάτων* FD ‖ 12. *ποιησώμεθα** doctrinam faciamus N *ποιήσομαι* FD ‖ *λαβόντες** *λαβὼν* FD ‖ *εἰς ταῦτα πάντα τὰ φύσει** ad haec omnia N *εἴς τε τἄλλα πάντα καὶ τὰ φ.* FD ‖ 14. *ἐν κατὰ* F ‖ 17. *ἄρτους οἱ σιτοποιοὶ** panes frumentarii N *ἄρτι ιοι* (sic) *σιτοποιοὶ* F *ἀρτοποιοὶ* coniec. D ‖ *λέγονται πέττειν** dicuntur coquere F *πέττοντες λέγουσιν* FD ‖ 18. *διαττῶντες* Helmreich et Pantazides *διάττοντες* FD ‖ 19. *τοιοῦτον* FD *τοῦτο* Pantazides

κλιβάνων ἢ ἰπνῶν ὀπτήσωσιν, οὕτω κἀπὶ τῶν εἰς γαστέρα καταποθέντων οὐκ ἐπειδὰν ἐν αὐτῇ καταθραυσθῇ καὶ λυθῇ, πεπέφθαι φαμὲν ἀλλ' ὅταν, ὡς οἱ πεττόμενοι πυροί, κατὰ ποιότητα τὴν μεταβολὴν σχῇ. καθάπερ δ' ἐπὶ τῶν ἄρτων εἰς τὴν οἰκείαν ἡμῖν τοῖς ἐσθίουσιν ἀχθῆναι χρὴ ποιότητα τὸν πεττόμενον σῖτον, οὕτω [καὶ] κατὰ τὴν κοιλίαν ἔτι καὶ μᾶλλον εἰς οἰκειοτέραν, ὀνομάζω δ' οἰκειοτέραν ἑτέραν ἑτέρας κατὰ τὴν ὁμοιότητα τοῦ μέλλοντος ἐξ αὐτῆς τρέφεσθαι σώματος.
119 *ἄλλο γὰρ ἄλλῳ σώματι τῶν τρεφόντων οἰκεῖόν ἐστι ‖ καὶ διὰ τοῦτο τὰ ζῷα πρὸς τὰς οἰκείας ἔρχονται τροφὰς ἀδιδάκτως ὑπὸ τῆς φύσεως ὠθούμενα, τὰ μὲν ὑποζύγια πρός τε τὰς βοτάνας καὶ ἄχυρα καὶ χιλὴν καὶ κριθήν, οἱ λέοντες δὲ πρὸς τὰς σάρκας, ὥσπερ καὶ παρδάλεις καὶ λύκοι. καθάπερ οὖν ἐν τοῖς ζῴοις κατὰ γένος οὐ σμικρὰ διαφορὰ τῶν οἰκείων ἑκάστῳ τροφῶν ἐστιν, οὕτω καὶ κατ' εἶδος ἐν τοῖς γένεσιν εὑρίσκονται διαφοραὶ μεγάλαι τῶν μὲν μηδὲ γεύσασθαι δυναμένων οἴνου, πάμπολυ δ' ἑτέρων ἀλύπως πινόντων, καὶ τῶν μέν, ὡς εἴρηται, τά τε τῶν βοῶν καὶ τράγων καὶ κριῶν κρέα μεθ' ἡδονῆς μὲν ἐσθιόντων, πεττόντων δ' ἀλύπως, τῶν δὲ μηδὲ τὴν ὀσμὴν αὐτῶν ὑπομενόντων, μήτι γε τὴν ἐδωδήν, καὶ εἰ δι' ἀπορίαν ἐδέσματος ἑτέρου, καθάπερ ἐν λιμῷ γίγνεται, βιάσαιντο σφᾶς αὐτοὺς προσάρασθαι τὸ τοιοῦτον κρέας, οὔτε πέψαι δυναμένων αὐτὸ χωρὶς βλάβης ἀνατρεπομένων τε τὴν ὄρεξιν ἐπὶ*

7. [*καὶ*]* ‖ 12. *ὠθούμενα* FD *ὁδηγούμενα* Nauck; cf. Praef. p. XXVII. XXVIII ‖ 13. *βοτάνας καὶ ἄχυρα** ad herbas, paleam N *βοτάνας τρέφεταί τε ἄχυρα* FD ‖ 17. [*ἐν τοῖς γένεσιν*] Nauck ‖ 23. *καὶ εἰ δι' ἀπορίαν* coni. D et si propter inopiam N *καὶ εἰς διαπορίαν* F ‖ 24. *βιάσαιντο** *βιασθεῖεν* coni. D *βιασθέντες* F ‖ *προσάρασθαι* FD *προσφέρεσθαι* Nauck; cf. Praef. p. XXIX ‖ 26. *αὐτὸ**

τῇ προσφορᾷ βαρυνομένων τε παραχρῆμα κἂν ἐρυγή
τις αὐτοῖς ἐπιγένηται, μηδὲ ταύτης ἀλύπως ἀνεχομέ-
νων. ὅτι δὲ ταῦθ' οὕτως ἔχοντα φαίνεται, πρῶτον
μὲν ἐκείνου χρὴ μεμνῆσθαι, τοῦ προσφέρεσθαι ⟨μὲν⟩
τοὺς ἀνθρώπους ἥδιον ἄλλον ἄλλο κατὰ τὴν οἰκειό- 120
τητα τῆς φύσεως ἔρχεσθαί τε πρὸς τὴν τῶν τοιούτων
ἐδωδὴν μᾶλλον, ὥσπερ γε καὶ πρὸς τὴν τῶν εὐπέπτων
αὐτοῖς εἶναι φανέντων, ἀποστρέφεσθαι δὲ καὶ φεύγειν
ἀπὸ τῶν ἀηδῶν καὶ δυσπέπτων, ὥστε σημεῖον εἶναι
τὸ ἔθος οἰκειότητος φυσικῆς. ὅτι δὲ καὶ [ὡς] αἰτία
γίγνεται πολλάκις, δῆλον ἐκ τῶν ἐν ἀρχῇ μὲν ἀηδῶς
ἢ βλαβερῶς ὑπό τινων διατιθεμένων, εἰ δὲ κατὰ βραχὺ
τὴν πρὸς αὐτὰ συνήθειαν ὑπομείναιεν, οὔτ' ἀηδῶς οὔτε
βλαβερῶς ἔτι διατιθεμένων. ἡ δ' αἰτία [καὶ] τοῦδε
τοιαύτη ⟨τίς⟩ ἐστιν· ὥσπερ ἀλλοιοῦται κατὰ [τινα]
ποιότητα τῶν ἐσθιομένων τε καὶ πινομένων ἕκαστον,
οὕτω καὶ αὐτὸ διατίθησί πως τὸ ἀλλοιοῦν. ἔνεστι δὲ
καὶ τούτου λαβεῖν ἐναργὲς τεκμήριον ἐκ τῆς τῶν γεν-
νωμένων χυμῶν διαφορᾶς ὑφ' ἑκάστου τῶν ἐδεσμάτων·
τὰ μὲν γὰρ μελαγχολικὸν αἷμα γεννᾷ, τὰ δὲ φλεγμα-
τικὸν ἢ τὴν ὠχράν τε καὶ ξανθὴν ὀνομαζομένην χολὴν
οὐκ ὀλίγην ἔχον, ὥσπερ ἔνια καθαρὸν αἷμα· διαφορὰν
οὖν τινα καὶ τοῖς τρεφομένοις μορίοις ἀναγκαῖον γί-
γνεσθαι πρὸς ἄλληλα κατὰ τὴν τοῦ τρέφοντος αἵματος
ἰδέαν. ἐναργὲς ‖ δὲ τεκμήριον τῆς τῶν τρεφομένων 121

nec digerere potentibus eas (sc. carnes) N *αὐτὰ* FD ‖ 3. *ὅτι δὲ* D *ὅτι τε* F ‖ *ἔχοντα** *ἔχειν* FD ‖ 4. ⟨*μὲν*⟩* ‖ 5. *ἥδιον* D *ἴδιον* F ‖ 10. [*ὡς*]* et ut causa N ‖ 14. [*καὶ*]* ‖ 15. ⟨*τις*⟩* talis quaedam N ‖ ante *ὥσπερ* tamquam index novi capitis: *διὰ τί τὸ ἔθος ποτὲ καὶ αἴτιον γίνεται οἰκειότητος φυσικῆς* FD ‖ [*τινα*]* secundum qualitatem N ‖ 17. *αὐτὸ* D *αὐτῷ* F ‖ *τὸ ἀλλοιοῦν* D *τῷ ἀ.* F ‖ 22. *ἔχον* D *ἔχων* F ‖ 25. *τρεφομένων** *τρεφόντων* FD nutrientium N

ὁμοιώσεως πρὸς τὸ τρέφον ἡ τῶν φυτῶν τε καὶ σπερμάτων μεταβολὴ μέχρι τοσούτου γιγνομένη πολλάκις, ὡς τὸ βλαβερώτατον ἐν ἑτέρᾳ γῇ μεταφυτευθὲν εἰς ἑτέραν γῆν οὐ μόνον ἀβλαβὲς ἀλλὰ καὶ χρήσιμον γίγνεσθαι. πολλὴ γὰρ καὶ ἡ τούτων πεῖρα τοῖς τὰ γεωργικά τε καὶ περὶ φυτῶν ὑπομνήματα συνθεῖσι, καθάπερ γε καὶ τοῖς περὶ τῆς τῶν ζῴων ἱστορίας γράψασι τῆς κατὰ τὰ χωρία γιγνομένης μεταβολῆς. ἐπεὶ τοίνυν οὐ μόνον ἀλλοιοῦται τὸ τρέφον ὑπὸ τοῦ τρεφομένου ἀλλὰ καὶ αὐτό πώς τιν' ἀλλοιοῖ βραχεῖαν ἀλλοίωσιν, ἀναγκαῖόν ἐστι τὴν βραχεῖαν ταύτην ἀξιόλογον ἐν τῷ χρόνῳ γίγνεσθαι, ὥστ' εἰς ἴσον ἥκειν οἰκειότητι φυσικῇ τὴν ἐκ τῶν πολυχρονίων ἐθῶν.

Cap. III. Ἐπὶ μὲν οὖν τῶν ἐσθιομένων τε καὶ πινομένων εὑρῆσθαί μοι δοκῶ τὴν αἰτίαν τῆς τῶν ἐθῶν δυνάμεως, ἐπὶ δὲ τῶν ἔξωθεν ἡμῖν προσπιπτόντων ἴδωμεν ἐφεξῆς. ἔοικε γὰρ καὶ ταῦτα τὴν αὐτὴν κατὰ γένος ἔχειν αἰτίαν τοῖς προειρημένοις. ἀλλοίω-
122 σιν οὖν ‖ τιν' ἐργάζεται κατὰ τὸ σῶμα μάλιστα μὲν τῶν ἐπιπολῆς μορίων, ἤδη δὲ καὶ τῶν διὰ βάθους. πιλεῖται μὲν γὰρ καὶ συνάγεται καὶ σφίγγεται καὶ πυκνοῦται τὸ ⟨μὲν⟩ δέρμα πρῶτον [μὲν] ὑπὸ τῶν ψυχόντων, ἐφεξῆς δὲ καὶ τὰ τούτῳ συνεχῆ κἂν ἐν

1. ὁμοιώσεως D assimilationis N ὁμοίως F ‖ τὸ τρέφον F τὸ τρεφόμενον D ad nutritum N ‖ τῇ . . μεταβολῇ D ‖ 2. γιγνομένη F γιγνομένῃ D ‖ 7. καὶ τοῖς* et ipsis qui de animalium historia scripserunt N καὶ τὰ FD ‖ 8. τῆς . . γιγνομένης μεταβολῆς* (sc. πεῖρα πολλή), eius quae . . fit transmutationis N τῇ — γιγνομένῃ μεταβολῇ FD καθάπερ γε καὶ τὰ περὶ [τῆς τῶν ζῴων ἱστορίας γράψασι] τῆς κατὰ τ. χ. μεταβολῆς Nauck ‖ 15. εὑρῆσθαι* inventa mihi esse videtur causa N εὐπορεῖσθαι FD ‖ 17. ante ἔοικε tamquam index novi capitis: Περὶ τῆς αἰτίας τοῦ πολὺ δύνασθαι τὸ ἔθος ἐπὶ τοῖς ἔξωθεν ἡμῖν προσπίπτουσι (προσπιπτόντων D) FD ‖ 22. ⟨μὲν⟩* ‖ πρῶτον [μὲν] Pantazides ‖ 23. τούτῳ

χρόνῳ πλείονι τὴν αὐτὴν ἀλλοίωσιν πάσχῃ τὸ σῶμα, καὶ τοῖς διὰ βάθους ἡ κοινωνία τῆς μεταβολῆς γίγνεται. κατ' ἀρχὰς δ' εὐθέως κατὰ συμβεβηκός, οὐ πρώτως, ὑπὸ τοῦ δρῶντος αἰτίου μεταβολὴ καὶ ἀλλοίωσις οὐχ ἥκιστα τοῖς ἐν τῷ βάθει κειμένοις συμπίπτει· πυκνωθέντος γὰρ τοῦ δέρματος ἀθροίζεται κατὰ τὸ τοῦ σώματος ὅλου βάθος ἡ θερμασία. ὥσπερ δὲ τὸ ψῦχον αἴτιον τὰς εἰρημένας ἀλλοιώσεις ἐργάζεται, κατὰ τὸν αὐτὸν λόγον τὰς ἐναντίας αὐτῷ τὸ θερμαῖνον. καὶ γὰρ φύσιν ἔχει πρὸς τῶν ἐναντίων γίγνεσθαι τὰ ἐναντία, τὰ μὲν πρώτως, τὰ δὲ κατὰ συμβεβηκός, ἐφ' ὧν δὴ καὶ μάλιστα σφάλλονται πολλοὶ θεώμενοί τινα κατὰ συμβεβηκὸς ὡσαύτως ἐπιτελούμενα πρὸς τῶν ἐναντίων, ὥσπερ γε πάλιν καὶ ἐναντία πολλάκις ὑπὸ τῶν αὐτῶν αἰτίων γιγνόμενα. ἀμέλει κἀπὶ τῶν θερμαινόντων ὁμοίως ἀπατᾶσθαι συμβαίνει. τὸ γοῦν θερμὸν αἴτιον, οἷον ὁ ἥλιος, ὁπόταν ὁμιλήσῃ τινὶ σώματι πολυχρονίως, ἐναντίαν διάθεσιν τῇ κατ' ‖ ἀρχὰς ἐργάζεται περὶ αὐτό. 123
ἐν ἀρχῇ μὲν γὰρ ἀλεαίνων ἡμᾶς διαχεῖ μὲν τὰ ὑγρά, χαλᾷ δὲ τὸ δέρμα καὶ μαλακωτέρας ἐργάζεται τὰς σάρκας· εἰ δὲ πλείοσιν ἡμέραις ὥρᾳ θέρους ἐν αὐτῷ διατρίψειέ τις γυμνός, αὐχμηρὸν μὲν καὶ σκληρὸν τούτῳ γίγνεται τὸ δέρμα, ξηραὶ δ' αἱ σάρκες. ἀλλ' ἐπὶ μὲν τῶν τοιούτων οὐ μόνης τῆς πολυχρονίου θερμασίας τοὖργον ἀλλὰ καὶ τῆς ἐζευγμένης αὐτῇ ξηρότητος. καὶ πολλάκις γ' ἡμᾶς ἐν τοῖς περὶ τῶν αἰτίων λογισμοῖς σφάλλει τοῦτο παρορωμένης τῆς ἐπιπλεκομένης

D huic N *τούτων* F ‖ 2. *βάθους* D *βάθος* F ‖ 8. *ψῦχον* coni. D infrigidans causa N *ψυχρὸν* F; cf. Praef. p. XXIX ‖ 15. *αἰτίων* D *αἴτια* F ‖ 17. *πολυχρονίως* D *πολυχρονίας* F ‖ 21. *πλείοσιν* Nauck *πλέοσιν* FD

αἰτίας. ἐχρῆν γὰρ ἡμᾶς ἐννοεῖν ἕτερον μέν τι δρᾶν τὴν ὑγρὰν θερμασίαν, ἕτερον δὲ τὴν ξηράν, ὅπερ οὐ ποιοῦμεν ἐνίοτε καὶ διὰ τοῦτο σφαλλόμεθα τὴν οἰκείαν ἐνέργειαν ἑκατέρων τῶν αἰτίων παρορῶντες· εἰ δέ τις προσέχοι τὸν νοῦν, εἴσεται φυλαττομένην ἑκατέραν. ὥσπερ γὰρ ἡ [μὲν] ὑγρότης μόνη χωρὶς θερμότητος [ἢ ψύξεως] ἐπιφανοῦς ὑγραίνει τὸ σῶμα, τῆς θερμότητος θερμαινούσης, οὕτως ἡ σύνοδος ἀμφοτέρων ἀμφότερα φαίνεται δρῶσα. κατὰ μὲν ⟨οὖν⟩ τὰ τῶν γλυκέων ὑδάτων λουτρὰ συμβαίνει τοῦτο, κατὰ δὲ τὰ εἱληθερῆ τὸ ξηραί-
124 νον αἴτιον ἐπιπλέκεται τῷ θερμαίνοντι. τοι||οῦτος γὰρ ὁ θερινὸς ἥλιος, ὥστ' εἰκός, ὅσοι γυμνοὶ τὸ πλεῖστον ἐν αὐτῷ διατρίβουσιν, ὥσπερ οἵ τε θερισταὶ καὶ οἱ ναῦται, σκληρὸν καὶ ξηρὸν αὐτῶν γίγνεσθαι τὸ δέρμα παραπλησίως τῷ τῶν φολιδωτῶν ζῴων. ὥσπερ οὖν αἱ φυσικαὶ τῶν σωμάτων ἰδιότητές τε καὶ τῆς ὅλης οὐσίας διαφοραί τε τοῦ δέρματος κατὰ σκληρότητα καὶ μαλακότητα πυκνότητά τε καὶ μανότητα διαφόρων μὲν ἐδεσμάτων τε καὶ πομάτων χρῄζουσιν, οὐχ ὁμοίως δ' ἀλλήλαις ἅπασαι διατίθενται θερμαινόμεναί τε καὶ ψυχόμεναι, οὕτως αἱ δι' ἔθος [τε] γιγνόμεναι ταῖς φυσικαῖς παραπλήσιαι τὴν αὐτὴν ἐκείναις ἴσχουσιν ὠφέλειάν τε καὶ βλάβην ἐκ τῆς τῶν ἐσθιομένων τε καὶ πινομένων ψυχόντων τε καὶ θερμαινόντων ἀλλοιώσεως. ἀραιὸν μὲν γὰρ καὶ μαλακὸν σῶμα ῥᾳδίως πάσχει θερμαινόμενόν τε καὶ ψυχόμενον, πυκνὸν δὲ καὶ σκλη-

3. ποιοῦμεν D ποιοῦμαι F ‖ 4. παρορῶντες* praetervidentes N παρόντων FD ‖ 6. [μὲν]* ‖ [ἢ ψύξεως]* ‖ 9. ⟨οὖν⟩* igitur quidem secundum N ‖ 10. τὰς εἱληθερεῖς corr. in τὰ εἱληθερῆ F ‖ 17. τε post διαφοραὶ del. Pantazides; cf. Praef. p. XXIX ‖ 21. [τε]* quae propter assuetudinem fiunt N δι' ἔθος τε (vel γε) F δι' ἔθος τι D ‖ 22. παραπλήσιαι D παραπλησίαν F

ρὸν ἀνέχεταί τε καὶ καταφρονεῖ τῶν ἔξωθεν αὐτῷ προσπιπτόντων ἁπάντων, οὐ μόνον εἰ θερμαίνοιεν ἢ ψύχοιεν, ἀλλ' εἰ καὶ σκληρὸν εἴη τι καὶ τραχύ. διὸ καὶ χαμευνίας ἀνέχεται ταῦτα, τῶν ἐναντίως διακειμένων οὐ φερόντων αὐτάς· καὶ γὰρ θλᾶται ῥᾳδίως καὶ ψύχεται καὶ πᾶν ὁτιοῦν ἑτοίμως πάσχει.

Cap. IV. *Τοιοῦτος μὲν δή τίς ἐστι καὶ ὁ περὶ τούτων λόγος, ‖ ὁ δὲ περὶ τῶν γυμνασίων τοιόσδε.* 125
τὰ γυμναζόμενα μόρια τοῦ σώματος ἰσχυρότερά θ' ἅμα καὶ τυλωδέστερα γίγνεται καὶ κατὰ τοῦτο δύναται φέρειν τὰς οἰκείας κινήσεις μᾶλλον ἑτέρων, ὅσα δι' ἀγυμνασίαν μαλακώτερά ἐστι καὶ ἀσθενέστερα. κοινὸς δ' ὁ λόγος οὗτος ὑπάρχει καὶ περὶ τῶν τῆς ψυχῆς γυμνασίων· γυμναζόμεθα γὰρ πρῶτα μὲν ὑπὸ τοῖς γραμματικοῖς ἔτι παῖδες ὄντες, εἶθ' ἑξῆς παρά τε τοῖς ῥητορικοῖς διδασκάλοις γεωμετρικοῖς τε καὶ ἀριθμητικοῖς καὶ λογιστικοῖς. οὐσῶν γὰρ δυνάμεων κατὰ τὸ τῆς ψυχῆς ἡγεμονικὸν εἰς ἁπάσας τέχνας ἀναγκαῖον ἑτέραν μὲν εἶναι, καθ' ἣν ἀκόλουθόν τε καὶ μαχόμενον γνωρίζομεν, ἑτέραν δέ, καθ' ἣν μεμνήμεθα· συνετώτεροι μὲν κατὰ τὴν πρότερον εἰρημένην, μνημονευτικώτεροι δὲ κατὰ τὴν δευτέραν γιγνόμεθα φύσιν ἐχουσῶν ἁπασῶν τῶν δυνάμεων ὑπὸ μὲν τῶν γυμνασίων αὐξάνεσθαί τε καὶ ῥώννυσθαι, βλάπτεσθαι δ' ὑπὸ τῆς ἀργίας, ὥς που καὶ Πλάτων ἐν Τιμαίῳ κατὰ τήνδε τὴν ῥῆσιν

2. *θερμαίνοιεν ἢ ψύχοιεν* D *θερμάνειεν ἢ ψύχειεν* F ‖ 5. *αὐτάς** non tolerantibus eas (sc. imas cubationes) N *αὐτά* FD ‖ 8. ante *ὁ δὲ* tamquam index novi capitis: *Περὶ γυμνασίων* FD | *τῶν* ante *γυμνασίων* om. D ‖ 14. *ὑπὸ* Helmreich *παρὰ* Nauck *ἐπὶ* FD; cf. Praef. p. XXX ‖ 16. *γεωμετρικοῖς τε καὶ ἀριθμητικοῖς* ἀριθμητικοῖς τε καὶ γεωμετρικοῖς* FDN; cf. Praef. p. XXX ‖ 21. *πρότερον** prius dictam N *προτέραν* FD

ἐδήλωσεν ⟨αὐτοῖς⟩ ὀνόμασιν εἰπὼν ὧδε· ‘καθάπερ εἴπομεν πολλάκις, ὅτι τρία ψυχῆς ἐν ἡμῖν εἴδη κατῴκισται, τυγχάνει δ' ἕκαστον κινήσεις ἔχον, οὕτω κατὰ 126 *τὰ αὐτὰ καὶ νῦν ὡς διὰ βραχυτάτων ῥητέον,* ‖ *ὅτι τὸ μὲν αὐτῶν ἐν ἀργίᾳ διάγον καὶ τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον ἀσθενέστατον ἀνάγκη γίγνεσθαι, τὸ δ' ἐν γυμνασίοις ἐρρωμενέστατον· διὸ φυλακτέον, ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα συμμέτρους’. ταῦτα προειπὼν ἐφεξῆς φησι ‘τὸ δὲ δὴ περὶ τοῦ κυριωτάτου ⟨τοῦ⟩ παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα ὁ θεὸς ἑκάστῳ δέδωκε, τοῦτο ὅ δή φαμεν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν ὡς ὄντας φυτὸν οὐκ ἔγγειον ἀλλ' οὐράνιον, ὀρθότατα λέγοντες· ἐκεῖθεν γὰρ ὅθεν ἡ πρώτη τῆς ψυχῆς γένεσις ἔφυ, τὸ θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν ἀνακρεμαννὺν ὀρθοῖ πᾶν τὸ σῶμα. τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ περὶ φιλονεικίας τετευτακότι καὶ ταῦτα διαπονοῦντι σφόδρα πάντα τὰ δόγματα ἀνάγκη θνητὰ γεγονέναι καὶ παντάπασι καθ' ὅσον*

1. *⟨αὐτοῖς⟩** cf. Praef. p. XXX ‖ *καθάπερ κτλ.* Tim. p. 89 E 90 A; cf. Galen. Plac. p. 503, 8 ‖ 2. *τρία τριχῇ ψυχῆς* cod. A Plat.; cf. Praef. p. XXXI ‖ 3. *οὕτω καὶ κατὰ* FD ‖ 7. *διὸ φυλακτέον* D *διαφυλ.* F ‖ 8. *τὰς* et *πρὸς* absorbuit lacuna parvula in F; *τὰς* om. D ‖ 9. *τὸ δὲ δὴ κτλ.* Tim. p. 90 A; cf. Plac. p. 502, 12 ‖ *δὴ* om. cod. A Plat. ‖ 10. *τοῦ παρ' ἡμῖν* cod. A Plat.; *τῆς παρ' ἡμῖν* legit N vertens ‘de principalissima eius quae apud nos animae specie’ ‖ 11. *αὐτοδαίμονα* FD ‖ *ὁ* om. cod. A Plat. ‖ 15. *λέγοντες* D *λέγοντι* F ‖ *ἡ πρώτη — γένεσις* D (e Plat.) prima — generatio N *αἱ πρῶται — γενέσεις* F ‖ 17. *ἀνακρεμαννὺν* D (e Plat.); *ἀνακρεμαννύων* F ‖ 18. *ἢ* cod. A Plat., ‘voluptates vel’ N *καὶ* FD ‖ *τετευτακότι* cod. A Plat., legit N: ‘circa lites conversatur’ *τετυχηκότι* FD ‖ 20. *θνητὸν* FD ‖ *ἐγγεγονέναι* (pro *γεγονέναι*) cod. A Plat.

μάλιστα δυνατὸν θνητῷ γίγνεσθαι, τούτου μηδὲ σμικρὸν ἐλλείπειν ἅτε τοσοῦτον ηὐξηκότι· τῷ δὲ περὶ φιλομαθίαν καὶ περὶ τὰς τῆς ἀληθείας φρονήσεις ἐσπουδακότι καὶ ταῦτα μάλιστα τῶν αὑτοῦ γεγυμνα|σμένῳ 127 *φρονεῖν μὲν ἀθάνατα καὶ θεῖα, ἄνπερ ἀληθείας ἐφάπτηται, πᾶσα ἀνάγκη που, καθ᾽ ὅσον δ᾽ αὖ μετασχεῖν ἀνθρωπίνῃ φύσει ἀθανασίας ἐνδέχεται, τούτου μηδὲν μέρος ἀπολιπεῖν, ἅτε δὲ ἀεὶ θεραπεύοντα τὸ θεῖον ἔχοντά τε αὐτὸν ⟨εὖ⟩κεκοσμημένον τὸν δαίμονα ξύνοικον ἐν αὑτῷ διαφερόντως εὐδαίμονα εἶναι. θεραπεία δὲ δὴ παντὶ παντὸς [σώματος] μία, τὰς οἰκείας ἑκάστῳ τροφὰς καὶ κινήσεις ἀποδιδόναι.᾽ ἐν τούτοις τοῖς λόγοις ὁ Πλάτων περὶ τῶν τριῶν τῆς ψυχῆς εἰδῶν ἐδίδαξεν ἡμᾶς οὐ μόνον εἰς φιλοσοφίαν τι χρήσιμον ἀλλὰ καὶ τὴν τοῦ σώματος ὑγίειαν, ἀκολουθήσας Ἱπποκράτει [καὶ] κατὰ τοῦτο καθόλου μὲν εἰπόντι ᾽χρῆσις κρατύνει, ἀργίη τήκει᾽, κατ᾽ εἶδος δ᾽ ἐπὶ γυμνασίων αὖθις ἐν τῷ φάναι ᾽πόνοι σιτίων ἡγείσθωσαν᾽, ἐπὶ δὲ τῶν κατὰ μέρος εἰδῶν ἁπάντων ᾽⟨πόνοι σιτία ποτά*

2. *τὸ τοιοῦτον* cod. A Plat.; cf. Praef. p. XXXI ‖ *φιλομαθίας* FD ‖ 3. *τὰς ἀληθεῖς φρονήσεις* cod. A Plat. ‖ 4. *καὶ ταῦτα μάλιστα* F om. D ‖ *αὑτοῦ γεγυμνασμένῳ* D (e Plat.) *αὐτῶν γεγυμνασμένων* F ‖ 5. *ἄνπερ ἀληθείας ἐφάπτηται* D (e Plat.) si quidem veritati adhaeret N *ἅπερ ἀληθῆ ἐφάπτεται* F ‖ 6. *ἀνάγκη που, καθ᾽ ὅσον δ᾽ αὖ μετασχεῖν ἀνθρωπίνῃ* D *ἀν. ποῦ μετασχεῖν καθ᾽ ὅσον οὖν ἀνθρωπίνῃ* F necesse omnino in quantum contingit participare humanam naturam immortalitate N *ἀνθρωπίνη φύσις* cod. A Plat. ‖ 8. *ἅτε τε* D *ἅ. δὴ* F ‖ 9. *αὐτὸν* D *αὐτὸ* F ‖ ⟨*εὖ*⟩* e Plat.; habentem autem ipsum semper (*ἀεὶ* pro *εὖ*) perornatum N ‖ 10. *αὐτῷ* FD ‖ 11. *παντὶ πάντως μία* cod. A Plat. administratio vero omnis omni una N *παντὸς σώματος μία* FD ‖ 16. [*καὶ*]* ‖ *χρῆσις κτλ.* Hipp. III 324 L., Galen. XVIII B 879, 13; 880, 1. 2 ‖ *χρῆσις** usus N *κίνησις* FD ‖ 18. *πόνοι κτλ.* Hipp. V 314 L. I 588 E., Galen. I 28, 4; VI 84, 5; 319, 14; 369, 10 ‖ 19. *πόνοι κτλ.* Hipp. V 324 L.,

ὕπνοι⟩ ἀφροδίσια, πάντα μέτρια᾽. διὸ κἀνταῦθα προσέχειν χρὴ τὸν νοῦν ἀκριβῶς τοῖς λεγομένοις· ἔχει γάρ τινα παρακοὴν ὁμοίως τοῖς ἄλλοις ἅπασι λόγοις, ἐάν τις ἀμελῶς ἀκούῃ, καθάπερ ἔνιοι. γυμνάζεσθαι γὰρ
128 *ἑκάστην τῶν δυνάμεων ‖ ἀξιοῦμεν, οὐ δήπου χωρὶς ὅρων καὶ μέτρων προσηκόντων ἐπὶ πλεῖστον ἐκτεταμένων τῶν γυμνασίων [ὡς καταλῦσαι τὴν δύναμιν]· οὕτω δὲ καὶ σιτίοις καὶ ποτοῖς καὶ ὕπνοις καὶ ἀφροδισίοις ἐν τῷ προσήκοντι μέτρῳ χρῆσθαι μήτ᾽ ἐλλείποντι μήτε πλεονάζοντι. αἱ μὲν γὰρ ὑπερβολαὶ καταλύουσί γε τὰς δυνάμεις, τὸ δ᾽ ἐλλιπὲς ἐν ἑκάστῳ κωλύει τοσοῦτον τῆς τελείας ὠφελείας, ὅσον αὐτὸ τῆς συμμετρίας ἀπολείπεται. παρήγγελτο τοῦτο καὶ ὑφ᾽ Ἱπποκράτους ἐφ᾽ ἑνὸς ὡς ἐπὶ παραδείγματος, ἔνθα φησίν ‛ἐν πάσῃ κινήσει τοῦ σώματος ὅταν ἄρξηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον᾽. καί πως ὁ λόγος ἤδη κατὰ τὴν οἰκειότητα τῶν πραγμάτων ἐδίδαξέ τι καὶ περὶ τῶν [ἐκ] τῆς ψυχῆς ἐθῶν ἐν μνήμαις καὶ διαλογισμοῖς καὶ ζητήσεσι λογικαῖς, ὧν καὶ αὐτὸς ὁ Ἐρασίστρατος ἐμνημόνευσεν ἐν τῷ περὶ τῶν ἐθῶν λόγῳ μὴ προσθεὶς τὴν αἰτίαν καίτοι μὴ μόνον τοῦ Ἱππο-*

I 594 E., Galen. I 28, 4; VI 84, 7; 464, 12; XVII B 322, 14; XVIII A 600, 4; *πόνοι* usque ad *ὕπνοι* om. F labores cibi potus (om. *ὕπνοι*) N *ὕπνοι* om. D ‖ 1. *κἀνταῦθα** hic N *κἀντεῦθεν* FD ‖ 5. *ἑκάστην τῶν δυνάμεων** *ἕκαστον τῶν ὄντων* FD unumquodque eorum qui sunt N ‖ *οὐ* D non utique N *ὡς* F ‖ 6. *ἐκτεινομένων* Pantazides ‖ 7. [*ὡς — δύναμιν*]* cf. Praef. p. XXXII ‖ 10. *γε* D *τε* F ‖ 13. *τοῦτο καὶ* F hoc et N *καὶ* om. D ‖ 14. *ἐν πάσῃ κτλ.* Hipp. IV 484 L. I 408 E. — *ἐν πάσῃ κινήσει τοῦ σώματος** in exercitiis omnibus N *ἐν τοῖσι γυμναστικοῖσιν* FD (cf. Hipp. Aphor. I 3) ‖ 15. *πονέειν** laborare N (cf. Galen. XVII B 552, 1) *διαπονέειν* FD ‖ 16. *εὐθὺς* F *εὐθὺ* D ‖ 17. *περὶ τῶν τῆς ψυχῆς ἐθῶν** de animae assuetudinibus N

κράτους ἀλλὰ καὶ τοῦ Πλάτωνος εἰρηκότων αὐτήν. τὸ γὰρ ἐν τοῖς οἰκείοις τε καὶ συμμέτροις γυμνασίοις ἑκάστην τῶν δυνάμεων ἐνεργεῖν εὐρωστίαν αὐταῖς ἀποτελεῖ.

Cap. V. *Αὗται μὲν οὖν εἰσιν αἱ διαφοραὶ τῶν ἐθῶν κατά τε τὴν τῶν ὑλῶν, ἐν αἷς συνίστανται, καὶ τὴν τῶν αἰτίων, ὑφ' ὧν ‖ γίγνονται, δύναμιν. Ἐρασι- 129 στράτου δὲ καὶ τῶν κενώσεων ἐπιζητητικὸν γίγνεσθαι τὸ σῶμα φάντος, ἐπειδὰν ἐθισθῶσί τινες αὐταῖς, καὶ περὶ τούτων ἐπισκεπτέον. ἴσμεν γάρ τινας ἐκ τῶν ῥινῶν αἱμορραγοῦντας ἤτοι κατὰ περιόδους τινὰς ἰσοχρονίους ἢ ἀτάκτως ἢ δι' αἱμορροΐδων ἢ δι' ἐμέτων ⟨ἐκκενουμένους⟩ ἢ διαρροίαις ⟨ἢ χολέραις⟩ ἁλισκομένους, ἐνίοτε δ' ἑκουσίως ἀποχέοντας αἵματος ἢ διὰ φλεβοτομίας ἢ δι' ἀμυχῶν τῶν ἐν σφυροῖς [ἢ διὰ ῥινός], ὥσπερ γε καὶ διὰ τῶν καθαιρόντων φαρμάκων, ἐμετηρίων τε καὶ κατωτερικῶν· ὑπὲρ ὧν καὶ αὐτῶν ἐσκέφθαι τι χρήσιμον. ἐμοὶ γὰρ οὐ δοκεῖ τὰ σώματα δι' ἔθος δεῖσθαι τῶν τοιούτων κενώσεων, ἀλλὰ δι' ἣν αἰτίαν τῆς πρώτης ἐδεήθη κενώσεως ἤτοι τῆς φύσεως ἐργασαμένης αὐτὴν ἤ τινος ἀνθρώπου κατὰ συλλογισμὸν ἰατρικόν, οὕτω καὶ αὖθις καὶ πολλάκις χρῄζειν τῶν αὐτῶν ἐπὶ τοῖς αὐτοῖς. ἔνιοι μὲν γὰρ ἐπὶ μοχθηραῖς διαίταις, ἔνιοι δὲ διὰ κατασκευὴν μοχθηρὰν τοῦ σώματος ἀθροίζοντες αἵματος πλῆθος ἢ κακοχυμίαν ὑπὸ τῶν εἰρημένων κενώσεων ὠφελοῦνται τῆς φύσεως ἤ τινος ἰατροῦ τὸ περιττὸν ἀποχέοντος, πρὶν*

3. *αὐταῖς** *αὐτοῖς* FD ‖ 6. *τε** *γε* FD ‖ 8. *ἐκ τῶν** *ἔκ τε* FD ‖ 13. ⟨*ἐκκενουμένους*⟩* cf. Praef. p. XXXII ‖ *διαρροίαις* D dijariis vel coleris N *διαρροίας* (*ἢ χ.* om.) F ‖ 15. [*ἢ διὰ ῥινὸς*]* ‖ 17. *ἐμετηρίων* D *αἱμετηρίων* F

νοσῆσαι τὸν ἄνθρωπον. ἐνίοις δὲ νοσήσασιν ἡ μὲν
130 κρίσις ἐπὶ τοιαύταις ἐκκρίσεσι τοῦ νοσήματος ἴασις ‖ ἐγένετο· τινὲς δ' ὑπὸ τῶν ἰατρῶν ἐθεραπεύθησαν ὁμοίοις βοηθήμασι χρησαμένων, εἶθ' ὕστερον ἁλόντες ὁμοίῳ νοσήματι θεραπευθέντες τε δι' αὐτῶν, ἐάν ποτε πάλιν αὐτοῖς ἤτοι παντὸς τοῦ σώματος βάρος ἢ τῆς κεφαλῆς μόνης ⟨ἢ⟩ ἀνωμαλία τις ἤ καί τι τῶν παρὰ φύσιν ἕτερον ἐπιφαίνηται, κοινοῦνται τοῖς ἰατροῖς περὶ αὐτῶν δεδιέναι φάσκοντες ἁλῶναι τοῖς αὐτοῖς νοσήμασιν, οἷς ἔμπροσθεν ἑάλωσαν ἐπὶ προηγησαμένοις ὁμοίοις συμπτώμασι, κἄπειτα φθάσαντες ἢ διὰ καθάρσεώς τινος ἢ δι' αἵματος ἀφαιρέσεως ἐκφυγεῖν τὴν προσδοκηθεῖσαν νόσον ἑτοιμότερον ἐπὶ τὴν αὐτὴν ἀφικνοῦνται βοήθειαν, ὅταν αἴσθωνταί τινος ὁμοίου συμπτώματος [ὕστερόν ποτε] συμπεσόντος αὐτοῖς. ἔνιοι δὲ καὶ πρὶν αἰσθέσθαι τὴν προθεσμίαν ὑφορώμενοι τοῦ χρόνου, καθ' ὃν ἐν ὡρισμένῃ περιόδῳ τῶν τοιούτων ἔπαθόν τι, κενοῦσθαι φθάνουσιν ὀνομάζουσί τε τὴν προφυλακτικὴν κένωσιν ἐν ἔθει γεγονέναι σφίσιν, οὐδεμίαν ὑπαλλαγὴν τοῦ σώματος ἐκ τῶν τοιούτων κενώσεων λαμβάνοντος, ὁποίαν ἐδείχθη λαμβάνον ἐπὶ τοῖς προειρημένοις, ἀλλ' ὑπὸ τῆς αὐτῆς αἰτίας ταὐτὰ πάσχοντος. ἐὰν οὖν ὑπαλλάξωσι τὴν δίαιταν ἐλάττοσι
131 μὲν ἐδέσμασι χρώμενοι, προστιθέντες δὲ ‖ τοῖς γυμνα-

2. ἐπὶ τοιούταις ἐκκρίσεσι τοῦ νοσήματος ἴασις* (cf. IX 703 extr.; XVI 228, 10) in huiusmodi excretionibus aegritudinis sanatio N ἐστὶ τοιαύτη ἔκκρισις ἥ τε (δὲ D) τοῦ ν. ἴασις FD ‖ 6. παντὸς τοῦ Nauck που τὸ τοῦ FD; cf. Praef. p. XXXII ‖ ⟨ἢ⟩* cf. Praef. l. l. ‖ 11. ὁμοίως corr. in ὁμοίοις F ‖ 12. ἐκφυγεῖν* effugere opinatam aegritudinem N ἐφ' ὅλην τὴν προσδ. ν. F ἔθ' ὅλην τ. π. ν. D ‖ 15. [ὕστερόν ποτε]*; cf. Praef. p. XXXII. XXXIII ‖ 24. προστιθέντες δὲ τοῖς γυμνασίοις; cf. Praef. p. XXX

σίοις, ἄνοσοι διατελοῦσιν ἐκ τῆς τῶν ἐθῶν ὑπαλλαγῆς ὠφεληθέντες, οὐχ ὥσπερ οἱ πρόσθεν εἰρημένοι βλαβέντες· οὐ γὰρ ἔθους λόγῳ διὰ τῶν κενώσεων ὠφελεῖσθαι συνέβαινεν αὐτοῖς ἀλλ' ἐπὶ μοχθηρᾷ διαίτῃ κακοχυμίαν τε καὶ πλῆθος ἀθροίζουσιν.

III.

ΓΑΛΗΝΟΥ ΟΤΙ ΤΑΙΣ ΤΟΥ ΣΩΜΑΤΟΣ ΚΡΑΣΕΣΙΝ ΑΙ ΤΗΣ ΨΥΧΗΣ ΔΥΝΑΜΕΙΣ ΕΠΟΝΤΑΙ.

K. IV, p. 767. Cap. I. *Ταῖς τοῦ σώματος κράσεσιν ἕπεσθαι τὰς δυνάμεις τῆς ψυχῆς οὐχ ἅπαξ ἢ δὶς ἀλλὰ πάνυ πολλάκις οὐδ' ἐπ' ἐμαυτοῦ μόνου βασανίσας τε καὶ πολυειδῶς ἐρευνήσας ἀλλ' ἀπ' ἀρχῆς μὲν ἅμα τοῖς διδασκάλοις, ὕστερον δὲ σὺν τοῖς ἀρίστοις φιλοσόφοις ἀληθῆ τε διὰ παντὸς εὗρον τὸν λόγον ὠφέλιμόν τε τοῖς κοσμῆσαι τὰς ἑαυτῶν ἐθέλουσι ψυχάς, ἐπειδήπερ* 768 *[γάρ], ὡς διῆλθον ἐν τῇ περὶ τῶν ἐθῶν ‖ πραγματείᾳ, [καὶ] διὰ τῶν ἐδεσμάτων τε καὶ πομάτων ἔτι τε τῶν ὁσημέραι πραττομένων εὐκρασίαν ἐργαζόμεθα κἀκ ταύτης εἰς ἀρετὴν τῇ ψυχῇ συντελέσομεν, ὡς οἱ περὶ Πυθαγόραν τε καὶ Πλάτωνα καί τινες ἄλλοι τῶν παλαιῶν ἱστοροῦνται πράξαντες.*

Cap. II. *Ἀρχὴ δὲ παντὸς τοῦ μέλλοντος εἰρήσεσθαι λόγου γνῶσις τῆς διαφορᾶς τῶν ἐν τοῖς μικροῖς παιδίοις φαινομένων ἔργων τε καὶ παθῶν τῆς ψυχῆς, ἐξ ὧν αἱ δυνάμεις αὐτῆς κατάδηλοι γίγνονται. τινὰ μὲν γὰρ αὐτῶν φαίνονται δειλότατα καὶ καταπληκτι-*

3. *μόνον* LM ‖ 8. *γὰρ* codd. om. edd. ‖ *περὶ τῶν ἠθῶν* cod. Londin. Goulstoni; cf. Praef. p. XXXV. XXXVI ‖ 9. [*καὶ*]* non legit N ‖ 13. *ἱστορεῖται* LWm ‖ 14. *εἰρήσεσθαι** *εἰρῆσθαι* codd. edd. ‖ 17. *δυνάμεις αὐτῶν* LM ‖ 18. *καὶ καταπληκτικώτατα . . .** *ἢ κ.* codd.; cf. Praef. p. XXXVI

κώτατα . . . καὶ τινὰ μὲν ἄπληστα καὶ λίχνα, τινὰ δ' ἐναντίως διακείμενα, καὶ τινὰ μὲν ἀναίσχυντα, τινὰ δ' αἰσχυντηρά . . . καὶ πολλὰς ἑτέρας ἔχοντα τοιαύτας διαφοράς, ἃς ἁπάσας ἐν ἑτέροις διῆλθον. ἐνταῦθα δ' ἀρκεῖ παραδείγματος ἕνεκα τῶν τριῶν αὐτῆς εἰδῶν τε καὶ μερῶν ἐνδεδεῖχθαι τὰς δυνάμεις ἐναντίας ὑπαρχούσας φύσει τοῖς βρέφεσιν. ἐκ τούτου γὰρ ἐνέσται συλλογίζεσθαι μὴ τὴν αὐτὴν ἅπασιν εἶναι φύσιν τῆς ‖ 769 *ψυχῆς [εὔδηλον δ' ὅτι τὸ τῆς φύσεως ὄνομα κατὰ τοὺς τοιούτους λόγους ταὐτὸν σημαίνει τῷ τῆς οὐσίας]· εἴπερ γὰρ ἦν ἀπαράλλακτος αὐτῶν ἡ οὐσία τῆς ψυχῆς, ἐνήργουν τ' ἂν τὰς αὐτὰς ἐνεργείας ἔπασχόν τ' ἂν ἀπὸ τῶν αὐτῶν αἰτιῶν ταὐτὰ πάθη. δῆλον οὖν, ὅτι διαφέρουσιν ἀλλήλων οἱ παῖδες εἰς τοσοῦτον ταῖς τῶν ψυχῶν οὐσίαις, εἰς ὅσον καὶ ταῖς ἐνεργείαις τε καὶ τοῖς παθήμασιν αὐτῶν· εἰ δὲ τοῦτο, καὶ ταῖς δυνάμεσι. συγκεχυμένοι δ' εἰσὶν εὐθὺς ἐν τούτῳ πολλοὶ τῶν φιλοσόφων ἀδιάρθρωτον ἔννοιαν ἔχοντες τῆς δυνάμεως· ὡς γὰρ ἐνοικοῦντός τινος πράγματος ταῖς οὐσίαις, ὡς ἡμεῖς ταῖς οἰκίαις, οὕτω μοι δοκοῦσι περὶ τῶν δυνάμεων φαντάζεσθαι μὴ γιγνώσκοντες, ὅτι τῶν γιγνομένων ἑκάστου ποιητική ⟨τίς⟩ ἐστιν αἰτία νοουμένη κατὰ τὸ πρός τι καὶ ταύτης τῆς αἰτίας ὡς μὲν πράγματος τοιοῦδέ τινος ἰδίᾳ καὶ καθ' ἑαυτὸ κατηγορία τίς ἐστιν, ἐν δὲ τῇ πρὸς ⟨τὸ γιγνόμενον ἀφ' ἑαυτῆς*

1. *ἄπληστά τε καὶ* L ‖ *λάγνα* codd. ‖ 9. [*εὔδηλον — οὐσίας*]* cf. Praef. p. XXXVII ‖ 12. *ἀπὸ τῶν αὐτῶν*; cf. Praef. p. XXXVII ‖ 22. *τις* post *ποιητική* om. codd. ‖ 25. *ἐν δὲ τῇ πρὸς τὸ γιγνόμενον ἀφ' ἑαυτῆς σχέσει δύναμίς ἐστι* edd., *ἐν δὲ τῇ πρός τι γινομένου* (*γινομένη* MV) (omissis quae interiecta sunt verbis) codd.; per habitudinem vero eius quod fit ab ea potentia est eius quod fit N

σχέσει δύναμίς ἐσ⟩τι ⟨τοῦ⟩ γιγνομένου καὶ διὰ τοῦτο τοσαύτας δυνάμεις ἔχειν τὴν οὐσίαν φαμέν, ὅσας ἐνεργείας, οἷον τὴν ἀλόην καθαρτικήν τε δύναμιν ἔχειν ||
770 *καὶ τονωτικὴν στομάχου καὶ τραυμάτων ἐναίμων κολλητικὴν ⟨καὶ⟩ ἰσοπέδων ἑλκῶν ἐπουλωτικὴν ⟨καὶ⟩ ὑγρότητος βλεφάρων ξηραντικήν, οὐ δήπου τῶν εἰρημένων ἔργων ἕκαστον ἄλλου τινὸς ποιοῦντος παρ' αὐτὴν τὴν ἀλόην. αὕτη γάρ ἐστιν ἡ ταῦτα δρῶσα καὶ διὰ τὸ δύνασθαι ποιεῖν αὐτὰ τοσαύτας ἐλέχθη δυνάμεις ἔχειν, ὅσα τὰ ἔργα. λέγομεν οὖν τὴν ἀλόην καθαίρειν δύνασθαι καὶ ῥωννύναι τὸν στόμαχον καὶ κολλᾶν τραύματα καὶ ἕλκη συνουλοῦν καὶ ὀφθαλμοὺς ὑγροὺς ξηραίνειν, ὡς οὐδὲν διαφέρον ἢ καθαίρειν δύνασθαι φάναι τὴν ἀλόην ἢ δύναμιν ἔχειν καθαρτικήν [οὕτω δὲ καὶ τὸ ξηραίνειν ὑγροὺς ὀφθαλμοὺς δύνασθαι ταὐτὸν σημαίνει τῷ δύναμιν ἔχειν ὀφθαλμῶν ξηραντικήν]. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ὅταν εἴπωμεν 'ἡ ἐν ἐγκεφάλῳ καθιδρυμένη λογιστικὴ ψυχὴ δύναται μὲν αἰσθάνεσθαι διὰ τῶν αἰσθητηρίων, δύναται δὲ καὶ μεμνῆσθαι [διὰ] τῶν αἰσθητῶν αὐτὴ καθ' ἑαυτὴν ἀκολουθίαν τε καὶ μάχην ἐν τοῖς πράγμασιν ὁρᾶν ἀνάλυσίν τε καὶ σύνθεσιν,' οὐκ ἄλλο τι δηλοῦμεν ἢ εἰ περιλαβόντες*
771 *εἴποιμεν 'ἡ λογιστικὴ ψυχὴ δυνάμεις || ἔχει πλείους, αἴσθησιν καὶ μνήμην καὶ σύνεσιν ἑκάστην ⟨τε⟩ τῶν ἄλλων.' ἐπεὶ δ' οὐ μόνον αἰσθάνεσθαι δύνασθαί φαμεν αὐτὴν ἀλλὰ καὶ κατ' εἶδος ὁρᾶν ἀκούειν ὀσμᾶ-*

1. ⟨*τοῦ*⟩ om. codd. || 4. *τονωτίου* L || 5. ⟨*καὶ*⟩* legit d; cf. XI 710 || 8. *αὐτὴ γὰρ* LWV || 9. dicta est N *ἐδέχθη* L *ἐδείχθη* WMVm || 12. oculos humidos N *ὀφθαλμὸν ὑγρὸν* codd. || 14. [*οὕτω — ξηραντικήν*]* cf. Praef. p. XXXVII || 17. *δὲ* om. L || 20. [*διὰ*]* cf. Praef. p. XXXVIII || 24. ⟨*τε*⟩ et singulam N om. LWMV *καὶ ἑκ.* m

σθαι γεύεσθαι ἅπτεσθαι, πάλιν αὖ δυνάμεις αὐτὴν ἔχειν λέγομεν ὀπτικὴν ἀκουστικὴν ὀσφρητικὴν γευστικὴν ἁπτικήν. οὕτω δὲ καὶ τὴν ἐπιθυμητικὴν αὐτῇ δύναμιν ὁ Πλάτων ὑπάρχειν ἔλεγεν, ἣν [τε] δὴ κοινῶς ἐπιθυμητικήν, οὐκ ἰδίως ὀνομάζειν ἔθος αὐτῷ. πλείους μὲν γὰρ εἶναι ⟨καὶ⟩ ταύτης τῆς ψυχῆς ἐπιθυμίας φησί, πλείους δὲ καὶ τῆς θυμοειδοῦς, πολὺ δὲ πλείους καὶ ποικιλωτέρας τῆς τρίτης, ἣν δι᾽ αὐτὸ τοῦτο κατ᾽ ἐξοχὴν ὠνόμασεν ἐπιθυμητικὴν εἰωθότων οὕτως τῶν ἀνθρώπων ἐνίοτε τὰ πρωτεύοντα τῶν ἐν τῷ γένει τῷ τοῦ γένους ὅλου προσαγορεύειν ὀνόματι, καθάπερ ὅταν εἴπωσιν ὑπὸ μὲν τοῦ ποιητοῦ λελέχθαι τόδε τὸ ἔπος, ὑπὸ δὲ τῆς ποιητρίας τόδε· πάντες γὰρ ἀκούομεν Ὅμηρον ⟨μὲν⟩ λέγεσθαι ποιητήν, Σαπφὼ δὲ ποιήτριαν [οὕτω δὲ καὶ θῆρα λέγουσιν ἐξαιρέτως τὸν λέοντα καὶ ἄλλα τοιαῦτα κατ᾽ ἐξοχὴν ὀνομάζουσιν]. ‖ 772 ἐπιθυμητικὸν οὖν ἐστι κατὰ τὸ κοινὸν τῆς ἐπιθυμίας σημαινόμενον ἀληθείας μὲν καὶ ἐπιστήμης καὶ μαθημάτων καὶ συνέσεως καὶ μνήμης καὶ συλλήβδην εἰπεῖν ἁπάντων τῶν καλῶν ἐκεῖνο τὸ μέρος τῆς ψυχῆς, ὃ καλεῖν εἰθίσμεθα λογιστικόν· ἐλευθερίας δὲ καὶ νίκης ⟨καὶ⟩ τοῦ κρατεῖν καὶ ἄρχειν καὶ ⟨τοῦ⟩ δοξάζεσθαι καὶ [τοῦ] τιμᾶσθαι τὸ θυμοειδές· ἀφροδισίων δὲ καὶ

4. τε δὴ codd., τε non legit N ‖ 6. ⟨καὶ⟩ om. codd. ‖ 7. φασί L ‖ 9. ἐπιθυμητικὴν ἤγουν λογιστικήν W ἐπιθυμητικὸν (-ὴν V²) ἤγουν τὸ λογικὸν MV ἐπιθυμητικὴν ἢ τὸ λογιστικόν m ἐπιθυμητικὸν ἤγουν τὸ λογιστικόν L tertiae s. rationabilis assueverunt (omissis ceteris) d ‖ 10. τὰ πράγματα τὰ πρωτεύοντα MVm ‖ 14. ⟨μὲν⟩ om. codd. ‖ 15. [οὕτω — ὀνομάζουσιν]*; cf. Praef. p. XXXVII ‖ 16. ἐπιθυμητικὸν οὖν edd. concupiscibilis igitur N λογιστικὸν οὖν codd. ‖ 20. ὃ om. L ‖ 22. ⟨καὶ⟩ om. codd. ‖ ⟨τοῦ⟩ δοξάζεσθαι καὶ [τοῦ] τιμᾶσθαι* ‖ 23. venereorum vero N ἀφροδισίων τε codd.

τῆς ἐξ ἑκάστου τῶν ἐσθιομένων τε καὶ πινομένων ἀπολαύσεως τὸ κατ' ἐξοχὴν ὀνομαζόμενον ὑπὸ Πλάτωνος ἐπιθυμητικόν, οὔτε τῆς ἐπιθυμητικῆς ψυχῆς ὄρεξιν τῶν καλῶν ἔχειν δυναμένης οὔτε τῆς λογιστικῆς ἀφροδισίων ἢ βρωμάτων ἢ πομάτων ὥσπερ οὐδὲ νίκης ἢ ἀρχῆς ἢ δόξης ἢ τιμῆς, κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδὲ τῆς θυμοειδοῦς ὧν ὀρέξεις εἶχεν ἥ τε λογιστικὴ καὶ ἡ ἐπιθυμητική.

Cap. III. *Ὅτι μὲν οὖν τρία τῆς ψυχῆς ἐστιν εἴδη καὶ ὅτι ὁ Πλάτων βούλεται ταῦτα, δι' ἑτέρων ἐπιδέδεικται, καθάπερ γε καὶ ὅτι τὸ μὲν ἐν ἥπατι, τὸ δ' ἐν καρδίᾳ, τὸ δ' ἐν ἐγκεφάλῳ καθίδρυται· ὅτι δ'*
773 *ἐκ τούτων τῶν εἰδῶν τε ‖ καὶ μερῶν τῆς ὅλης ψυχῆς τὸ λογιστικὸν ἀθάνατόν ἐστι, Πλάτων μὲν φαίνεται πεπεισμένος, ἐγὼ δ' οὔθ' ὡς ἔστιν οὔθ' ὡς οὐκ ἔστιν ἔχω διατείνεσθαι πρὸς αὐτόν. πρῶτον οὖν ἐπισκεψώμεθα περὶ τῶν ἐν καρδίᾳ καὶ ἥπατι τῆς ψυχῆς εἰδῶν, ἃ κἀκείνῳ κἀμοὶ συνωμολόγηται φθείρεσθαι κατὰ τὸν θάνατον. ἔχοντος δ' ἰδίαν οὐσίαν ἑκατέρου τῶν σπλάγχνων, ἥτις μέν ἐστιν ἀκριβῶς αὕτη, μηδέπω ζητῶμεν, ἀναμνησθῶμεν δὲ περὶ τῆς κοινῆς οὐσίας ἁπάντων σωμάτων, ὡς ἐκ δυοῖν ἀρχῶν ἡμῖν ἐδείχθη σύνθετος ὑπάρχειν, ⟨ὕλης τε καὶ εἴδους⟩, ὕλης ⟨μὲν⟩ ἀποίου κατ' ἐπίνοιαν, ἐχούσης δ' ἐν ἑαυτῇ ποιοτήτων τετ-*

3. *τῆς ἐπιθυμητικῆς ψυχῆς** ipsa anima concupiscibili N *τῆς αὐτῆς ἐπιθυμητικῆς* (om. *ψυχῆς*) codd. ‖ 4. *τῶν καλῶν** *τοῦ καλοῦ* codd. edd.; cf. Praef. p. XXXVIII ‖ 5. *οὐδὲ* K *οὔτε* codd. edd. cett. ‖ 7. *ἔχειν* L ‖ 14. Verba inde ab *ἀθάνατόν ἐστι* usque ad *εἰ δ' ἀθάνατον ἔσται* (p. 38, 4) om. dp ‖ 16. *διατείνασθαι* W edd. ‖ 18. *μετὰ τὸν θάνατον* MVm ‖ 20. *αὐτή* codd. ‖ 21. *οὐσίας* m, om. codd. cett. et edd. ‖ 23. ⟨*ὕλης τε καὶ εἴδους*⟩ Crassus in ed. Iunt. Lat. ‖ ⟨*μὲν*⟩ om. codd. ‖ 24. *ἐν αὐτῇ* LWm *ἔνθ' αὐτῇ* V

τάρων κρᾶσιν, θερμότητος ψυχρότητος, ξηρότητος ὑγρότητος. ἐκ τούτων καὶ χαλκὸς καὶ σίδηρος καὶ χρυσὸς ἥ τε σὰρξ νεῦρόν τε καὶ χόνδρος καὶ πιμελὴ καὶ πάνθ' ἁπλῶς τὰ πρωτόγονα μὲν ὑπὸ Πλάτωνος, ὁμοιομερῆ δ' ὑπ' Ἀριστοτέλους ὀνομαζόμενα γέγονεν. ὥσθ' ὅταν αὐτὸς οὗτος Ἀριστοτέλης εἶδος εἶναι τοῦ σώματος εἴπῃ τὴν ψυχήν, ἐρωτητέον αὐτὸν ἢ τούς γ' ἀπ' αὐτοῦ, πότερον τὴν μορφὴν εἶδος εἰρῆσθαι πρὸς ‖ αὐτοῦ νοήσωμεν, 774
ὥσπερ ἐν τοῖς ὀργανικοῖς σώμασιν, ἢ τὴν ἑτέραν ἀρχὴν τῶν φυσικῶν σωμάτων σῶμα δημιουργοῦσαν, ὅπερ ὁμοιομερές τ' ἐστὶ καὶ ἁπλοῦν, ὡς πρὸς αἴσθησιν οὐκ ἔχον ὀργανικὴν σύνθεσιν. ἀποκρινοῦνται γὰρ ἐξ ἀνάγκης τὴν ἑτέραν ἀρχὴν τῶν φυσικῶν σωμάτων, εἴ γε δὴ τούτων εἰσὶ πρώτως ἐνέργειαι (δέδεικται γὰρ τοῦθ' ἡμῖν ἑτέρωθι καὶ νῦν, ἂν δεήσῃ, πάλιν εἰρήσεται). καὶ μὴν εἴπερ ἐξ ὕλης τε καὶ εἴδους ἅπαντα συνέστηκε τὰ τοιαῦτα σώματα, δοκεῖ δ' αὐτῷ τῷ Ἀριστοτέλει τῶν τεττάρων ποιοτήτων ἐγγιγνομένων τῇ ὕλῃ τὸ φυσικὸν γίγνεσθαι σῶμα, τὴν ἐκ τούτων κρᾶσιν ἀναγκαῖον αὐτοῦ τίθεσθαι τὸ εἶδος, ὥστε πως καὶ ἡ τῆς ψυχῆς οὐσία κρᾶσίς τις ἔσται τῶν τεττάρων εἴτε ποιοτήτων ἐθέλεις λέγειν, θερμότητός τε καὶ ψυχρότητος ξηρότητός τε καὶ ὑγρότητος, εἴτε σωμάτων, θερμοῦ καὶ ψυχροῦ ξηροῦ τε καὶ ὑγροῦ [τῇ δὲ τῆς ψυχῆς οὐσίᾳ τὰς δυνάμεις αὐτῆς δεικνύναι ἑπομένας, εἴ γε καὶ τὰς ἐνεργείας]. εἰ μὲν οὖν τὸ λογιζόμενον εἶδος τῆς

3. *νεῦρον* M *νεύρων* codd. cett. ‖ 4. *πρωτόγονα* cf. XV 8, 1; Plat. Politic. p. 288 E 289 A: '*τὸ πρωτογενὲς εἶδος*' ‖ 5. *ὅταν** *ὅτε* codd. *εἴτε* ABGCh *εἴγε* K ‖ 7. *γ' αὐτὸν* codd. ‖ 8. *νοήσωμεν* MVm *νοήσομεν* LW ‖ 20. *αὐτοῦ* LW *αὐτῇ* MVm ‖ 21. *ἐστὶ* L ‖ 24. [*τῇ δὲ — ἐνεργείας*]* cf. Praef. p. XXXVIII

775 ψυχῆς ἐστι, θνητὸν ἔσται· ⟨καὶ γὰρ⟩ καὶ αὐτὸ ‖ κρᾶσίς τις ἐγκεφάλου [καὶ πάνθ' οὕτως τὰ τῆς ψυχῆς εἴδη τε καὶ μέρη τὰς δυνάμεις ἑπομένας ἕξει τῇ κράσει· τουτέστιν αὐτὴ οὖν ἡ τῆς ψυχῆς οὐσία]· εἰ δ' ἀθάνατον ἔσται, ὡς ὁ Πλάτων βούλεται, διὰ τί χωρίζεται ψυχθέντος σφοδρῶς ἢ ὑπερθερμανθέντος ἢ ὑπερξηρανθέντος ἢ ὑπερυγρανθέντος τοῦ ἐγκεφάλου, καλῶς ἂν ἐπεποιήκει γράψας αὐτὸς ὥσπερ καὶ τἆλλα τὰ κατὰ ταὐτὸν ἔγραψε. γίγνεται γὰρ ὁ θάνατος κατὰ Πλάτωνα χωριζομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. διὰ τί δ' αὐτὴν αἵματος κένωσις χωρίζει πολλὴ καὶ κώνειον ποθὲν καὶ πυρετὸς διακαής, εἰ μὲν [ὁ Πλάτων] αὐτὸς ἔζη, παρ' ἐκείνου πάντως ἂν ἠξίωσα μαθεῖν. ἐπεὶ δ' οὔτ' ἐκεῖνος ἔστιν ἔτι καὶ τῶν Πλατωνικῶν διδασκάλων οὐδεὶς οὐδεμίαν αἰτίαν ἐδίδαξέ με, δι' ἣν ὑφ' ὧν εἶπον ἡ ψυχὴ τοῦ σώματος ἀναγκάζεται χωρίζεσθαι, τολμῶ λέγειν αὐτός, ὡς οὐ πᾶν εἶδος σώματος ἐπιτήδειόν ἐστιν ὑποδέξασθαι τὴν λογιστικὴν ψυχήν. ἀκόλουθον γὰρ ὁρῶ
776 τοῦτο τῷ περὶ ψυχῆς δόγματι τοῦ Πλά‖τωνος, ἀπόδειξιν δ' οὐδεμίαν ἔχω λέγειν αὐτοῦ διὰ τὸ μὴ γιγνώσκειν με τὴν οὐσίαν τῆς ψυχῆς ὁποία τίς ἐστιν, ἐκ τοῦ γένους τῶν ἀσωμάτων ὑποθεμένων ἡμῶν ὑπάρχειν αὐτήν. ἐν μὲν γὰρ σώμασί γε τὰς κράσεις ὁρῶ πάμπολύ τε διαφερούσας ἀλλήλων καὶ παμπόλλας οὔσας· ἀσωμάτου δ' οὐσίας αὐτῆς καθ' ἑαυτὴν εἶναι δυνα-

1. ἐστι* ἢ (ἢ) codd. edd. ‖ ⟨καὶ γὰρ⟩ om. codd. ‖ 2. [καὶ πάνθ' — οὐσία]* cf. Praef. p. XXXVII ‖ 3. τουττώς pro τουτέστιν L ‖ 4. ἀθάνατον* ἀθάνατος codd. edd. ‖ 8. ταὐτὸν L ταῦτα MVm ταύτην W ‖ 12. [ὁ Πλάτων]* ‖ 13. ἠξίωσα LW deposcerem N ἐζήτησα MV ἐζητήσαμεν m ‖ 19. ἀπόδειξιν δὲ L δὲ om. WVm, ἀπόδειξιν δὲ sed δὲ ead. m. expunctum et in marg. positum μήν M ‖ 23. σώμασί γε* σ. τε codd.

μένης, οὐκ οὔσης δὲ ποιότητος ἢ εἴδους σώματος οὐδεμίαν ἐπινοῶ διαφορὰν καίτοι πολλάκις ἐπισκεψάμενός τε καὶ ζητήσας ἐπιμελῶς, ἀλλ' οὐδὲ πῶς οὐδὲν οὖσα τοῦ σώματος εἰς ὅλον αὐτὸ δύναιτ' ἂν ἐκτείνεσθαι. τούτων μὲν οὐδὲν οὐδ' ἄχρι φαντασίας ἐννοῆσαι δεδύνημαι καίτοι προθυμηθεὶς χρόνῳ παμπόλλῳ· γιγνώσκω δ' ἐκεῖνο σαφῶς ⟨καὶ⟩ ἐναργῶς φαινόμενον, ὡς ἡ μὲν τοῦ αἵματος κένωσις καὶ ἡ τοῦ κωνείου πόσις καταψύχουσι τὸ σῶμα, πυρετὸς δὲ σφοδρὸς ὑπερθερμαίνει. καὶ πάλιν ἐρῶ ταὐτόν· διὰ τί ψυχόμενον ⟨σφοδρῶς⟩ ἢ ὑπερθερμαινόμενον τὸ σῶμα καταλείπει τελέως ἡ ψυχή; πολλὰ ζητήσας οὐχ εὗρον ὥσπερ γ' οὐδὲ διὰ τί χολῆς μὲν ξανθῆς ‖ ἐν ἐγκεφάλῳ πλεοναζούσης εἰς 777
παραφροσύνην ἑλκόμεθα, διὰ τί δὲ τῆς μελαίνης εἰς μελαγχολίαν, διὰ τί δὲ τὸ φλέγμα καὶ ὅλως τὰ ψυκτικὰ παραίτια ληθάργων, ἐξ ὧν καὶ μνήμης καὶ συνέσεως βλάβαις ἁλισκόμεθα, καὶ μέντοι καὶ διὰ τί μωρίαν [αὐτὴν] ἐργάζεται κώνειον ποθέν, ᾧ καὶ τοὔνομα [ἔνθεν παρώνυμον] ⟨ἀπὸ τοῦ πάθους, ὃ⟩ πάσχον ὁρῶμεν ὑπ' αὐτοῦ τὸ σῶμα. λύπης δ' ἁπάσης καὶ δυσθυμίας κουφίζει σαφῶς οἶνος πινόμενος, ἑκάστης γὰρ ἡμέρας τούτου πειρώμεθα· καὶ Ζήνων, ὥς φασιν, ἔλεγεν, ὅτι καθάπερ οἱ πικροὶ θέρμοι βρεχόμενοι τῷ ὕδατι γίγνονται

7. ⟨καὶ⟩* σαφῶς ἐναργῶς LWMV σαφῶς (om. ἐναργῶς) m; cf. Praef. p. XXXVIII ‖ 10. ⟨σφοδρῶς⟩*; cf. Praef. p. XXXIX ‖ 14. ἑλκόμενα L trahitur N ‖ τῆς μελαίνης (sc. πλεοναζούσης) edd. τὴν μέλαιναν codd. διὰ [τί] δὲ τὴν μέλαιναν Nauck ‖ 16. παραίτια ληθάργων, ἐξ ὧν* παραίτια ἐξ ὧν ληθάργης (ληθάργοις M) codd. ‖ 18. [αὐτὴν]* διὰ τί μωρίαν αὐτῇ G διὰ τιμωρίαν αὐτὴν B edd. cett. διὰ τί μωρὰν αὐτὴν Cobet, Mnem. N. S. II 162, IX 448 ‖ [ἔνθεν παρώνυμον]* ⟨ἀπὸ τοῦ πάθους ὃ⟩ om. codd. (addito καὶ ante πάσχον) ‖ 22. Ζήνων Diog. L. VII 1, 26; Athen. II 45; Eustath. ad φ 293 p. 1910, 42

γλυκεῖς, οὕτω καὶ αὐτὸς ὑπ' οἴνου διατίθεσθαι. φασὶ δὲ καὶ τὴν οἰνοπίαν ῥίζαν ἔτι καὶ μᾶλλον ἐργάζεσθαι τοῦτο καὶ ταύτην εἶναι τὸ τῆς Αἰγυπτίας ξένης φάρμακον, ὅ φησιν ὁ ποιητής·

'αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
νηπενθές ⟨τ'⟩ ἄχολόν τε κακῶν ἐπίληθες ἁπάντων.'

ἡ μὲν οὖν οἰνοπία ῥίζα χαιρέτω· δεόμεθα γὰρ αὐτῆς
778 *οὐδὲν ‖ εἰς τὸν λόγον δρῶντες ὁσημέραι τὸν οἶνον ἐργαζόμενον ὅσαπερ οἱ ποιηταὶ λέγουσιν·*

'οἶνός σε τείρει μελιηδής, ὅσ⟨τε⟩ καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ' αἴσιμα πίνῃ·
οἶνος καὶ Κένταυρον, ἀγακλυτὸν Εὐρυτίωνα
ἄασ' ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο
ἐς Λαπίθας ἐλθόνθ'. ὃ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ,
μαινόμενος κάκ' ἔρεξε δόμον κάτα Πειριθόοιο.'

καὶ ἀλλαχόθι περὶ αὐτοῦ φησιν

'⟨ἠλεός⟩, ὅστ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι
καί θ' ἁπαλὸν γελάσαι καί τ' ὀρχήσασθαι ἀνῆκεν
καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον.'

οὕτω δὲ καὶ Θεόγνις ἔλεγεν

'οἶνος πινόμενος πουλὺς κακόν· εἰ δέ τις αὐτὸν
πίνει ἐπισταμένως, οὐ κακὸν ἀλλ' ἀγαθόν.'

1. *αὐτὸς* codd. Cobet Mnem. IX 448 *αὐτὸν* edd. ‖ 5. *αὐτίκ' κτλ.* δ 220 ‖ 6. ⟨*τ'*⟩ om. codd. ‖ *ἐπίληθες* codd. AB *ἐπίληθον* ChK; cf. Nauck. Odyss. I p. VII ‖ 7. *εἰδεόμεθα* L ‖ 10. *οἶνός σε κτλ.* φ 293 sqq. Athen. XIV, 1 ‖ *ὃς καὶ* codd. ‖ 11. *ἕλοι* codd. ‖ *πίνει* codd. ‖ 12. *ἀρυτίωνα* L ‖ *ἄγασσ'* WMVm ‖ 14. *εἰς* codd. ‖ *ἐλθόντος* LWm *ἐλθόντες* M *ἐλθόντα* V ‖ *ἄασσεν* L *ἄγασσεν* WMVm ‖ 17. *ἠλεός κτλ.* σ 464 sqq. ‖ ⟨*ἠλεός*⟩ om. codd. et N; de hoc loco cf. Cobet Mnem. N. S. II 301 IX 448 ‖ 18. *κάθ'* pro *καί θ'* codd. ‖ 21. *οἶνος κτλ.* cf. Theogn. 211 Bergk (Brunco Act. Sem. Erl. III 354) ‖ *πουλὺς* GChK *πολὺς* codd. AB; cf.

ὄντως γάρ, εἰ συμμέτρως ποθείη, καὶ πέψει καὶ ἀναδόσει καὶ αἱματώσει καὶ θρέψει μεγάλα συντελεῖ μετὰ τοῦ καὶ τὴν ψυχὴν ἡμῶν ἡμερωτέραν ‖ ⟨θ'⟩ ἅμα καὶ 779 *θαρσαλεωτέραν ἐργάζεσθαι διὰ μέσης δηλονότι τῆς κατὰ τὸ σῶμα κράσεως, ἥντινα πάλιν [αὐτὴν] ἐργάζεται διὰ μέσων τῶν χυμῶν. οὐ μόνον δ' ὡς ἔφην ⟨ἡ⟩ κρᾶσις τοῦ σώματος ὑπαλλάττει [καὶ] τὰς ἐνεργείας τῆς ψυχῆς ἀλλὰ καὶ χωρίζειν αὐτὴν ἀπὸ τοῦ σώματος δύναται. τί γὰρ ἂν ἄλλο τις εἴποι θεώμενος τὰ ψύχοντά τε καὶ ὑπερθερμαίνοντα φάρμακα παραχρῆμα τὸν προσενεγκάμενον ἀναιροῦντα; τοῦ γένους δ' εἰσὶ τούτου καὶ οἱ τῶν θηρίων ἰοί. τοὺς δηχθέντας γοῦν ὑπὸ τῆς ἀσπίδος ὁρῶμεν ἀποθνήσκοντας αὐτίκα παραπλήσιον τοῖς ⟨ἀποθνήσκουσιν⟩ ὑπὸ τῆς κωνείου πόσεως, ὡς καὶ τοῦ ταύτης ἰοῦ ψύχοντος. ἀναγκαῖον οὖν ἔσται καὶ τοῖς ἰδίαν οὐσίαν ἔχειν ὑποθεμένοις τὴν ψυχὴν ὁμολογῆσαι δουλεύειν αὐτὴν ταῖς τοῦ σώματος κράσεσιν, εἴ γε καὶ χωρίζειν ἐξουσίαν ἔχουσι καὶ παραφρονεῖν ἀναγκάζουσι καὶ μνήμην καὶ σύνεσιν ἀφαιροῦνται καὶ λυπηροτέραν καὶ ἀτολμοτέραν καὶ ἀθυμοτέραν ἐργάζονται, καθάπερ ἐν ταῖς μελαγχολίαις*

Praef. p. XVII ‖ 2. *μετὰ τοῦ καὶ* MVm Corn. nos in ed. pr. Cobet Mnem. IX 448 *μετὰ καὶ τοῦ* LW et cum hoc N ‖ ⟨θ'⟩ om. codd. ‖ 5. *αὐτὴν* codd. qua rursus ipsam operatur N ‖ 6. *ἡ* add. Corn. ‖ 7. [*καὶ*]* ‖ 10. *ὑπερθερμαίνοντα* LW *θερμαίνοντα* MVm ‖ 12. *τούτου* M *τούτου* corr. in *τούτων* ead. man. V *τούτων* LWm de genere autem horum N ‖ *γοῦν** *οὖν* codd. ‖ 13. *παραπλήσιον τοῖς ⟨ἀποθνήσκουσιν⟩ ὑπὸ** similiter his qui moriuntur a potu N *παραπλήσιον τοῖς ἀπὸ* LW (*τῆς* codd. cett.) *παραπλ. τοῖς ὑπὸ* Nauck ‖ 16. *ἰδίοις* codd. ‖ 20. *ἀφαιροῦνται** auferunt N *ἀφαιροῦσι* Nauck *ἀφαιρεῖσθαι* codd.; cf. Praef. p. XXXIX ‖ 21. *εὐθυμοτέραν* codd. ‖ *ἐργάζονται** operantur N *ἐργάζεσθαι* codd.

φαίνεται, καὶ τούτων ἔχειν τἀναντία τὸν πίνοντα τὸν οἶνον συμμέτρως. ‖

780 Cap. IV. *Ἆρ' οὖν ὑπὸ μὲν τῆς κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν κράσεως ὑπαλλάττεσθαι πεφύκασιν αἱ δυνάμεις τῆς ψυχῆς, ὑπὸ δὲ τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν οὐδὲν πάσχειν; καὶ μὴν καὶ τούτου πολλὰ τεκμήρια κατά τε τὰ φάρμακα καὶ τὴν ὁσημέραι δίαιταν ἔχομεν, ἃ τάχ' ἂν ἐφεξῆς εἴποιμι ξύμπαντα πρότερον ἀναμνήσας ὃν ὁ Πλάτων ἔγραψε λόγον, ὑπὸ τῆς τοῦ σώματος ὑγρότητος εἰς λήθην ἔρχεσθαι τὴν ψυχὴν ὧν πρότερον ἠπίστατο πρὶν ἐνδεθῆναι τῷ σώματι. λέγει γὰρ ὧδέ πως αὐτοῖς ῥήμασιν ἐν Τιμαίῳ κατ' ἐκεῖνο τὸ χωρίον τοῦ συγγράμματος, ἔνθα φησὶ τοὺς θεοὺς δημιουργῆσαι τὸν ἄνθρωπον ἐνδοῦντας τὴν ἀθάνατον ψυχὴν 'εἰς ἐπίρρυτον σῶμα καὶ ἀπόρρυτον' εὔδηλον ὅτι τὴν ὑγρότητα τῆς τῶν βρεφῶν οὐσίας αἰνιττόμενος. ἐφεξῆς γοῦν τούτοις τάδε φησίν· 'αἱ δ' εἰς ποταμὸν ἐνδεθεῖσαι πολὺν οὔτ' ἐκράτουν οὔτ' ἐκρατοῦντο, βίᾳ δ' ἐφέροντό τε καὶ ἔφερον' καὶ μετ' ὀλίγα πάλιν 'πολλοῦ γὰρ ὄντος τοῦ κατακλύζοντος καὶ ἀπορ-*
781 *ρέοντος κύματος, ὃ τὴν τροφὴν παρεῖχεν,* ‖ *ἔτι μείζονα θόρυβον ἀπειργάζετο τὰ τῶν προσπιπτόντων παθήματα ἑκάστοις.' καὶ μέντοι καὶ διελθὼν αὐτὰ πάλιν ἐφεξῆς*

1. *τὸν πίνοντα** eum qui bibit *ὁ πίνων* codd. ‖ 6. *καὶ μὴν καὶ* MVm, alterum *καὶ* om. LW; cf. Praef. p. XXXIV ‖ 7. *κατά τε τὰ φ.** *κατά τε φ.* L *κατὰ τὰ φ.* codd. cett. ‖ 9. *ὃν* LW *οἷον* MVm ‖ *ὑπὸ δὲ τῆς* codd. ‖ 11. *λέγει καὶ* codd. ‖ 12. *ἐν Τιμαίῳ* cf. Plat. Tim. p. 43AB ‖ 14. *ἐνδοῦντας* G et Cobet Mnemos. X 184 *ἐνδόντας* codd. ‖ 22. *τὰ τῶν προσπιπτόντων παθήματα* cod. Ad. Goulst. cum Paris. A Plat., *τὰ προσπίπτοντα τῶν μαθημάτων* codd. ‖ 23. *ἑκάστοις* Ad. cum Par. A, Corn. ChK *ἑκάστης* AB *ἑκάστῳ* codd. ‖ *διελθὼν* G *διέλθωμεν* codd.

φησι· ‘διὰ δὴ ταῦτα πάντα τὰ πάθη κατ’ ἀρχὰς ἄνους ἡ ψυχὴ γίγνεται τὸ πρῶτον, ὅταν εἰς σῶμα ἐνδεθῇ θνητόν· ὅταν δὲ τὸ τῆς αὐξήσεως καὶ τροφῆς ἔλαττον ἐπίῃ ῥεῦμα, πάλιν ⟨δ’ αἱ⟩ περίοδοι λαμβανόμεναι γαλήνης τὴν ἑαυτῶν ὁδὸν ἴωσι καὶ καθιστῶνται μᾶλλον ἐπιόντος τοῦ χρόνου, τότε ἤδη πρὸς τὸ φύσει ἰόντων σχῆμα ἑκάστων τῶν κύκλων αἱ περιφοραὶ κατευθυνόμεναι τό τε θάτερον καὶ τὸ ταὐτὸν προσαγορεύουσαι κατ’ ὀρθὸν ἔμφρονα τὸν ἔχοντα αὐτὰς γιγνόμενον ἀποτελοῦσιν.’ ‘ὅταν’ φησίν ‘τὸ τῆς αὐξήσεως καὶ τροφῆς ἔλαττον ἐπίῃ ῥεῦμα’ τὴν ὑγρότητα δηλονότι λέγων τὴν ἔμπροσθεν [ὑπ’ αὐτοῦ] εἰρημένην τῆς κατὰ ψυχὴν ἀνοίας αἰτίαν γιγνομένην, ὡς τῆς μὲν ξηρότητος εἰς σύνεσιν, τῆς δ’ ὑγρότητος εἰς ἄνοιαν ἀγούσης τὴν ψυχήν. ἀλλ’ εἴπερ ὑγρότης μὲν ἄνοιαν ἐργάζεται, ξηρότης δὲ σύνεσιν, ἡ μὲν ἄκρα ξηρότης ἄκραν ἐργάζεται σύνεσιν, ἡ δ’ ἐπίμικτος ὑγρότητι τοσοῦτον ἀφαιρήσει τῆς τελείας συνέσεως, ὅσον ἐκοινώνησεν ὑγρότητος. ‖ τίνος οὖν θνητοῦ ζῴου τοιοῦτον σῶμα, ὥστ’ 782
ἄμοιρον ⟨ὑπάρχειν⟩ ὑγρότητος, ὥσπερ τὰ τῶν ἄστρων; οὐδενὸς οὐδ’ ἐγγύς. ὥστ’ οὐδὲ συνέσεως ἄκρας [ἐγγύς

1. *διὰ δὴ ταῦτα κτλ.* Tim. p. 44 AB ‖ *πάντα ταῦτα* LW; cf. Praef. p. XXXIV ‖ *πάθη* codd. *παθήματα νῦν* Plat. ‖ *κατ’ ἀρχάς τε* Plat. ‖ *ἄνους* Corn. absque intellectu N *ἀνοῦς* WMVm (Vollgraff, Stud. Pal. p. 71) *ἂν* L ‖ 3. *αὔξης* Plat. ‖ 4. *ἐπίῃ* Corn. advenit N *ἐπῇ* codd.; item paulo infra ‖ ⟨*δ’ αἱ*⟩ om. codd. ‖ 6. *κατὰ φύσιν* Plat. ‖ 7. *ἑκάστων* Corn. *ἑκάστου* codd. singulo N ‖ 8. *προσαγορεύουσαι* Corn. et idem nuncupavit N *προσαγόμεναι* codd. ‖ 9. *ἔμφρονα* Corn. prudentem N *εὔφρονα* codd. ‖ 12. [*ὑπ’ αὐτοῦ*]* cf. Praef. p. XL ‖ 13. *ἀνοίας* Corn. ignorantiae N *ἐννοίας* codd. ‖ 17. *ὑγρότητι* codd. ‖ 19. *θνητοῦ ζῴου* WMVm *ζ. θν.* L animalis mortalis N ‖ *ὥστ’** *τίνος* codd. edd. ‖ 20. ⟨*ὑπάρχειν*⟩* ‖ 21. [*ἐγγύς ἐστι*]* *ἄκρας* ⟨*μέτοχόν*⟩ *ἐστι σῶμα* Nauck deleto *τι*; cf. Praef. p. XL

ἐστί] τι σῶμα θνητοῦ ζῴου, πάντα δ' ὥσπερ ὑγρότητος οὕτω καὶ ἀνοίας μετέχει. ὁπότ' οὖν τὸ λογιστικὸν τῆς ψυχῆς μονοειδῆ ⟨τὴν⟩ οὐσίαν ἔχον τῇ τοῦ σώματος κράσει συμμεταβάλλεται, τί χρὴ νομίσαι πάσχειν τὸ θνητὸν εἶδος αὐτῆς; ἢ δῆλον ὅτι πάντῃ δουλεύει τῷ σώματι; ἄμεινον δὲ φάναι μὴ δουλεύειν ἀλλ' αὐτὸ δὴ τοῦτ' εἶναι τὸ θνητὸν τῆς ψυχῆς, τὴν κρᾶσιν τοῦ σώματος [ἐδείχθη γὰρ ἔμπροσθεν ἡ θνητὴ ψυχὴ κρᾶσις οὖσα τοῦ σώματος]. ἡ μὲν οὖν τῆς καρδίας κρᾶσις τὸ θυμοειδὲς εἶδός ἐστι τῆς ψυχῆς, ἡ δὲ τοῦ ἥπατος τὸ καλούμενον ὑπὸ Πλάτωνος μὲν ἐπιθυμητικόν, θρεπτικὸν δὲ καὶ φυτικὸν ⟨ὑπ' Ἀριστοτέλους. Ἀνδρόνικον δὲ τὸν Περιπατητικόν⟩, ὅτι μὲν ὅλως ἐτόλμησεν ἀποφήνασθαι τὴν οὐσίαν τῆς ψυχῆς ⟨κρᾶσιν ἢ δύναμιν εἶναι τοῦ σώματος⟩ ὡς ἐλεύθερος ἀνὴρ ἄνευ τοῦ περιπλέκειν ἀσαφῶς, ἐπαινῶ τε πάνυ καὶ ἀποδέχομαι τὴν προαίρεσιν τἀνδρός (εὑρίσκω γὰρ αὐτὸν καὶ κατ'
783 ἄλλα πολλὰ τοιοῦτον)· | ὅτι δ' ἤτοι κρᾶσιν εἶναί φησιν ἢ δύναμιν ἑπομένην τῇ κράσει, μέμφομαι τῇ προσθέσει τῆς δυνάμεως. εἰ γὰρ ἡ ψυχὴ πολλὰς ἔχει δυνάμεις οὐσία τις οὖσα καὶ τοῦτ' ὀρθῶς Ἀριστοτέλει λέλεκται καὶ τούτῳ διώρισται καλῶς ἡ ὁμωνυμία — λεγομένης γὰρ οὐσίας καὶ τῆς ὕλης καὶ τοῦ εἴδους καὶ τοῦ

2. verba ab *ὁπότ' οὖν* usque ad *προυθέμην* (p. 46, 9) om. dp ‖ 3. ⟨*τὴν*⟩* ‖ 4. *συμβάλλεται* codd. ‖ 5. *παντὶ* (pro *πάντῃ*) codd. ‖ *δουλεύει* G *δουλεύειν* codd. edd. cett. ‖ 8. [*ἐδείχθη — σώματος*]* ‖ 11. *ὑπὸ Πλάτωνος* codd. *ὑπὸ τοῦ Πλ.* edd. ‖ 12. *φυτικὸν* ChK *φυσικὸν* codd. edd. cett. (*φησὶν* V); cf. Praef. p. XL. XLI ‖ ⟨*ὑπὸ τοῦ Ἀρ. — Περιπατητικόν*⟩ edd. om. codd. ‖ 14. ⟨*κρᾶσιν — σώματος*⟩*; cf. Zeller, Phil. Gr. III 1^3, 624; Siebeck, Gesch. d. Psychol. I 2, 166 ‖ 18. *δ' ἤτοι** *δέ τι* codd. ‖ 19. *μέμφομαι τῇ προσθέσει* LW *σύμφημι τῇ προαιρέσει* MVm ‖ 20. *καὶ ἡ* MVm

συναμφοτέρου τὴν κατὰ τὸ εἶδος οὐσίαν ἀπεφήνατο ψυχὴν ὑπάρχειν —, οὐκ ἐγχωρεῖ ⟨λέγειν⟩ ἄλλο τι παρὰ τὴν κρᾶσιν, ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυτο. ἐν ταὐτῷ δὲ γένει τῆς οὐσίας καὶ ἡ τῶν Στωϊκῶν περιέχεται δόξα. πνεῦμα μὲν γάρ τι τὴν ψυχὴν εἶναι βούλονται καθάπερ καὶ τὴν φύσιν, ἀλλ' ὑγρότερον μὲν καὶ ψυχρότερον τὸ τῆς φύσεως, ξηρότερον δὲ καὶ θερμότερον τὸ τῆς ψυχῆς. ὥστε καὶ τοῦθ' ὕλη μέν τις οἰκεία τῆς ψυχῆς ἐστι τὸ πνεῦμα, τὸ δὲ τῆς ὕλης εἶδος ἡ ποιὰ κρᾶσις ἐν συμμετρίᾳ γιγνομένη τῆς ἀερώδους τε καὶ πυρώδους οὐσίας· οὔτε γὰρ ἀέρα μόνον οἷόν τε φάναι τὴν ψυχὴν οὔτε πῦρ, ὅτι μήτε ψυχρὸν ἄκρως ἐγχωρεῖ γίγνεσθαι ζῴου σῶμα ‖ μήτ' ἄκρως 784 θερμὸν ἀλλὰ μηδ' ἐπικρατούμενον ὑπὸ θατέρου κατὰ μεγάλην ὑπεροχήν, ὅπου γε, κἂν βραχεῖ πλεῖον γένηται τοῦ συμμέτρου, πυρέττει μὲν τὸ ζῷον ἐν ταῖς τοῦ πυρὸς ἀμέτροις ὑπεροχαῖς, καταψύχεται δὲ καὶ πελιδνοῦται καὶ δυσαίσθητον ἢ παντελῶς ἀναίσθητον γίγνεται κατὰ τὰς τοῦ ἀέρος ἐπικρατήσεις· οὗτος γὰρ αὐτός, ὅσον μὲν ἐφ' ἑαυτῷ, ψυχρός ἐστιν, ἐκ δὲ τῆς πρὸς τὸ πυρῶδες στοιχεῖον ἐπιμιξίας εὔκρατος γίγνεται. δῆλον οὖν ἤδη σοι γέγονεν, ὡς ἡ τῆς ψυχῆς οὐσία κατὰ ποιὰν κρᾶσιν ἀέρος τε καὶ πυρὸς γίγνεται κατὰ τοὺς Στωϊκούς· καὶ συνετὸς μὲν ὁ Χρύσιππος ἀπείργασται διὰ τὴν τούτων εὔκρατον μῖξιν, οἱ δ' Ἱπποκράτους υἱεῖς ⟨ὑώδεις⟩, οὓς ἐπὶ μωρίᾳ σκώπτουσιν οἱ κωμικοί,

2. *⟨λέγειν⟩* om. codd. ‖ 10. *ἐκ συμμετρίας* codd. ‖ 15. *ὑπεροχὴν* K *περιοχὴν* codd. edd. cett. ‖ *πλείω* codd. ‖ 17. *ἀμέτρως* codd. ‖ 19. *κατὰ τὰς τ. ἀ. ἐπικρατήσεις* m *κ. τὰς τ. ἀ. ἐπικρατῆσαι* MV *κατὰ τὸ τ. ἀ. ἐπικρατῆσαι* LW; cf. Praef. p. XLI ‖ 21. *ἄκρατος* L ‖ 25. *ἄκρατον* L ‖ 26. *⟨ὑώδεις⟩** cf. Praef. p. XLI; *υἱεῖς υἱοὺς ἐπὶ* LW *υἱεῖς ὑοὺς ἐπὶ* m *υἱεῖς οὓς* codd. cett. ‖ *σκώπτωσιν* L

διὰ τὴν ἄμετρον θέρμην. ἴσως οὖν τις ἐρεῖ μήτε Χρύσιππον ἐπαινεῖσθαι δεῖν ἐπὶ συνέσει μήτ' ἐκείνους ἐπὶ μωρίᾳ ψέγεσθαι μήτ' αὖ πάλιν ἐπὶ τῷ τῆς ψυχῆς ἐπιθυμητικῷ τοὺς ἐγκρατεῖς μὲν ἐπαινεῖσθαι, τοὺς δ' ἀκολάστους ψέγεσθαι, παραπλησίως δὲ καὶ εἰς τὰ τοῦ θυμοειδοῦς ἔργα καὶ πάθη μήτε τοὺς εὐτόλμους ἐπαινεῖσθαι [χρὴ] μήτε τοὺς ἀτόλμους ψέγεσθαι.

Cap. V. *Περὶ μὲν οὖν τούτων ὀλίγον ὕστερον*
785 *ἐπισκεψόμεθα· ‖ νυνὶ δ' οἷς ἐξ ἀρχῆς προὐθέμην, προσθήσω τὰ λείποντα τοσοῦτον ἔτι πάλιν ἐπειπών, ὡς οὐχ οἷόν τ' ἐστὶ πάντα δεικνύειν ἐν ἅπασι καὶ ὡς δυοῖν οὐσῶν αἱρέσεων ἐν φιλοσοφίᾳ [κατὰ τὴν πρώτην τομήν] — ἔνιοι μὲν γὰρ ἡνῶσθαι τὴν κατὰ τὸν κόσμον οὐσίαν ἅπασαν, ἔνιοι δὲ διῃρῆσθαί φασι κενοῦ περιπλοκῇ — τὴν δευτέραν αἵρεσιν ἐφωράσαμεν οὐκ ἀληθῆ δι' ἐκείνων τῶν ἐλέγχων, οὓς ἐν τῷ ⟨περὶ⟩ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐγράψαμεν. πρὸς δὲ τὸν παρόντα λόγον ὑπόθεσιν λαβόντες ⟨τὸ⟩ ἀλλοιοῦσθαί τε τὴν οὐσίαν ἡμῶν καὶ τὴν κρᾶσιν αὐτῆς ἐργάζεσθαι τὸ φυσικὸν σῶμα ἐν ὁμοιομερεῖ, τὴν τῆς ψυχῆς οὐσίαν ἐδείξαμεν κατὰ τὴν κρᾶσιν συνισταμένην, ἐάν γε μή τις αὐτὴν ὑπόθηται, καθάπερ ὁ Πλάτων, ἀσώματον ὑπάρχειν καὶ ἄνευ τοῦ σώματος εἶναι δυναμένην. ὑποθεμένοις δὲ τοῦτο τὸ ὑπὸ τῆς τοῦ σώματος κράσεως ἐνεργεῖν κωλύεσθαι τὰς οἰκείας ἐνεργείας ἱκανῶς μὲν*

7. [χρὴ codd.] Nauck ‖ 12. *αἱρέσεων ὁ ἐν* LW (*ἡ ἐν* MVm) ‖ [*κατὰ τὴν πρώτην τομήν*]; cf. Praef. p. XLII ‖ 14. *παραπλοκῇ* edd.; cf. Praef. p. XLIII ‖ 16. ⟨*περὶ*⟩ om. codd. ‖ 18. ⟨*τὸ*⟩ *suppositionem accipientes quoniam alteratur N ‖ 19. *ἐγράζεται* codd. (*ἀπεργάζεται* V² m) ‖ 20. *ἐν ὁμοιομερεῖ* post *αὐτῆς* collocatum habent WMVm et N ‖ *οὐσίαν ἀνεδείξαμεν* L ‖ 23. *καὶ ἄνευ* L et sine N *καὶ* om. codd. cett.

*ἤδη δέδεικται, προστεθήσονται δὲ καὶ ἄλλαι τινὲς ἀπο-
δείξεις. ἀλλὰ νῦν γε [καὶ τούτου ἐστὶ τοῦ τρόπου ‖ εἰρη-* 786
*μένου] τὸν περὶ τῶν κράσεων λόγον προσθεῖναι δοκεῖ
μοι βέλτιον εἶναι. δυνήσονται γὰρ λέγειν οἱ τὴν ψυ-
χὴν εἶδος εἶναι τοῦ σώματος ἡγούμενοι τὴν συμμετρίαν
τῆς κράσεως, οὐ τὴν ξηρότητα, συνετωτέραν αὐτὴν
ἐργάζεσθαι καὶ ταύτῃ διαφωνήσουσι τοῖς ἡγουμένοις,
ὅσῳπερ ἂν ἡ κρᾶσις γίγνηται ξηροτέρα, τοσούτῳ καὶ
τὴν ψυχὴν ἀποτελεῖσθαι συνετωτέραν. ἀλλ' οὐ καὶ
ξηρότητα συγχωρήσομεν αἰτίαν εἶναι συνέσεως ⟨ὥσπερ⟩
οἵ γ' [μὴν] ἀμφ' Ἡράκλειτον; καὶ γὰρ καὶ οὗτος εἶπεν
'αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη' τὴν ξηρότητα πάλιν ἀξιῶν
συνέσεως εἶναι αἰτίαν [τὸ γὰρ τῆς αὐγῆς ὄνομα τοῦτ'
ἐνδείκνυται]· καὶ βελτίονά γε δόξαν ταύτην νομιστέον
ἐννοήσαντας τοὺς ἀστέρας αὐγοειδεῖς θ' ἅμα καὶ ξηροὺς
ὄντας ἄκραν σύνεσιν ἔχειν [εἰ γὰρ μή τις αὐτοῖς ὑπάρ-
χειν τοῦτο φαίη, δόξει τῆς τῶν θεῶν ὑπεροχῆς ἀναίσθητος
εἶναι]. διὰ τί τοίνυν εἰς ἔσχατον γῆρας ἀφικνούμενοι
παρελήρησαν οὐκ ὀλίγοι τῆς τοῦ γήρως ἡλικίας ἀπο-
δεδειγμένης εἶναι ξηρᾶς; οὐ διὰ τὴν ξηρότητα φήσομεν
ἀλλὰ διὰ τὴν ψυχρότητα· φανερῶς γὰρ ‖ αὕτη πᾶσι* 787
*τοῖς ἔργοις τῆς ψυχῆς λυμαίνεται. ἀλλὰ ταῦτα μέν,
εἰ καὶ πάρεργά ἐστιν, ἀλλ' ἐναργῶς γε τὸ τῆς προκει-*

2. [*καὶ τούτου — εἰρημένου*]* cf. Praef. p. XLIII ‖ 4. [*βέλτιον εἶναι*] Nauck ‖ 9. *οὐ καὶ** *εἰ καὶ* codd. edd. siccitatem enim concedunt N *οὐ καὶ τῷ ξηρότερα συγχωρῆσαι μὴ ἐναντίαν εἶναι συνέσεως* Gataker, Advers. misc. (Londin. 1659) p. 138 ‖ 10. *συγχωρήσομεν* L *συγχωρήσαιεν* (*ξυγχ.*) codd. cett. ‖ ⟨*ὥσπερ*⟩ *οἵ γ' ἀμφ'** *οἵ γε μὴν ἀμφ'* codd. ‖ 12. *αὔη* [*ξηρὴ*] *ψυχὴ* Daremberg Cobet; cf. Praef. p. XLIII. XLIV ‖ 13. *εἶναι αἰτίαν* codd.; cf. Praef. p. XLIV ‖ [*τὸ γὰρ — ἐνδείκνυται*]* ‖ 15. *ἐννοήσαμεν τοὺς* LWVm *ἐννοήσωμεν τοὺς* M ‖ 16. [*εἰ γὰρ — εἶναι*]* ‖ 19. *παρελήρησαν* LW Cobet, Mnem. IX 443 *περιελήρησαν* MV²m (*περιέλκουσαν* V¹) *παρεληρήθησαν* edd.

μένης νῦν ἡμῖν πραγματείας ἐνδείκνυται, ⟨τὸ⟩ τὰ τῆς ψυχῆς ἔργα καὶ πάθη ταῖς τοῦ σώματος ἕπεσθαι κράσεσιν. εἰ μὲν γὰρ εἶδός ἐστιν ὁμοιομεροῦς σώματος ἡ ψυχή, τὴν ἀπόδειξιν ἐξ αὐτῆς τῆς οὐσίας ἕξομεν ἐπιστημονικωτάτην· εἰ δ' ὑποθοίμεθα ταύτην ἀσώματον εἶναι φύσιν ἰδίαν ἔχουσαν, ὡς ὁ Πλάτων ἔλεγεν, ἀλλὰ τό γε δεσπόζεσθαι καὶ δουλεύειν τῷ σώματι καὶ κατ' αὐτὸν ἐκεῖνον ὁμολογεῖται διά τε τὴν τῶν βρεφῶν ἄνοιαν καὶ τὴν τῶν ἐν γήρᾳ ληρούντων ἔτι τε τῶν εἰς παραφροσύνην ἢ μανίαν ἢ ἐπιλησμοσύνην [ἢ ἄνοιαν] ἀφικνουμένων ἐπὶ φαρμάκων δόσεσιν ἤ τισιν ἐν τῷ σώματι γεννηθεῖσι μοχθηροῖς χυμοῖς. ἄχρι μὲν γὰρ τοῦ λήθην ἢ ἄνοιαν ἢ ἀκινησίαν ἢ ἀναισθησίαν ἕπεσθαι τοῖς εἰρημένοις, ἐμποδίζεσθαι φαίη τις ἂν αὐτὴν ἐνεργεῖν αἷς ἔχει φύσει δυνάμεσιν· ὅταν δέ ⟨τις⟩ οἴηται βλέπειν τὰ μὴ βλεπόμενα καὶ ἀκούειν ἃ μηδεὶς
788 ἐφθέγξατο, καὶ φθέγγηταί τι ‖ τῶν αἰσχρῶν ἢ ἀπορρήτων ἢ ὅλως ἀδιανοήτων, οὐ μόνον ἀπωλείας ἐστὶ τεκμήριον ὧν εἶχε δυνάμεων ἡ ψυχὴ συμφύτων ἀλλὰ καὶ τῆς τῶν ἐναντίων ἐπεισόδου. τοῦτο μὲν ⟨οὖν⟩ ἤδη καὶ ὑποψίαν τινὰ φέρει μεγάλην ὅλῃ τῇ τῆς ψυχῆς οὐσίᾳ, μὴ οὐκ ἀσώματος ᾖ. πῶς γὰρ ἂν ὑπὸ τῆς τοῦ σώματος κοινωνίας εἰς τὴν ἐναντίαν ἑαυτῆς φύσιν ἀχθείη μήτε ποιότης τις οὖσα τοῦ σώματος μήτ' εἶδος μήτε πάθος μήτε δύναμις; ἀλλὰ τοῦτο μὲν ἐάσωμεν, ἵνα μὴ τὸ πάρεργον ἡμῖν γένηται [αὖ] πολὺ μεῖζον

1. ⟨τὸ⟩* ‖ 2. ἕπεσθαι* ἑπόμενα codd. edd.; cf. Praef. p. XLV ‖ 5. ὑποθοίμεθα* ὑποθώμεθα codd. ‖ ἀσώματον G ἀθάνατον codd. edd. cett. ‖ 9. ἔννοιαν codd. ‖ 10. [ἢ ἄνοιαν]* ‖ 12. γενηθεῖσι LW ‖ 15. φύσεως Lm ‖ ⟨τις⟩* ‖ 16. τὰ μὴ φαινόμενα Nauck ‖ 20. οὖν om. codd. ‖ 21. φέρει codd. Cobet l. l. X 185 ἀφαιρεῖ edd. ‖ 24. ποιότητός τις L V¹ ‖ 26. [αὖ] non leg. N

*ἔργου οὗ προὐθέμεθα. τὸ δ’ ὑπὸ τῶν τοῦ σώματος
κακῶν δυναστεύεσθαι τὴν ψυχὴν ἐναργῶς ἐν μελαγχο-
λίαις καὶ φρενίτισι καὶ μανίαις φαίνεται. τὸ μὲν γὰρ
ἀγνοῆσαι διὰ νόσημα σφᾶς τ’ αὐτοὺς καὶ τοὺς ἐπιτη-
δείους, ὅπερ ὅ τε Θουκυδίδης συμβῆναι πολλοῖς φησιν
ἔν τε τῇ λοιμώδει νόσῳ τῇ νῦν γενόμενον ἔτεσιν οἱ
πολλοῖς [ἦν] καὶ ἡμεῖς ἐθεασάμεθα, παραπλήσιον εἶναι
δόξει τῷ μὴ βλέπειν διὰ λήμην ἢ ὑπόχυσιν οὐδὲν
αὐτῆς τῆς ὀπτικῆς δυνάμεως πεπονθυίας· ‖ τὸ δ’ ἀνθ’* 789
*ἑνὸς τρία βλέπειν αὐτῆς τῆς ὀπτικῆς δυνάμεώς ἐστι
μέγιστον πάθος, ᾧ τὸ φρενιτίζειν ἔοικεν.*

Cap. VI. *Ὅτι δὲ καὶ ὁ Πλάτων αὐτὸς οἶδε βλαπτομένην τὴν ψυχὴν ἐπὶ τῇ κακοχυμίᾳ τοῦ σώματος, ἡ ἑξῆς ῥῆσις ἤδη δηλώσει· ‘ὅπου γὰρ ἂν οἱ τῶν ὀξέων καὶ τῶν ἁλυκῶν φλεγμάτων ἢ καὶ ὅσοι πικροὶ καὶ χολώδεις χυμοὶ κατὰ τὸ σῶμα πλανηθέντες ἔξω μὲν μὴ λάβωσιν ἀναπνοήν, ἐντὸς ⟨δὲ⟩ εἱλλόμενοι τὴν ἀφ’ ἑαυτῶν ἀτμίδα τῇ τῆς ψυχῆς φορᾷ συμμίξαντες ἀνακερασθῶσι, παντοδαπὰ νοσήματα ψυχῆς ἐμποιοῦσι μᾶλλον καὶ ἧττον καὶ ἐλάττω καὶ πλείω πρός τε τοὺς τρεῖς τόπους ἐνεχθέντα τῆς ψυχῆς, πρὸς ὃν ἂν ἕκαστ’ αὐτῶν προσπίπτῃ, ποικίλλει μὲν εἴδη δυσκολίας καὶ*

1. *ἔργου* G Ch K *ἔργον* codd. AB ‖ 5. Thucyd. II 49, 8 ‖ 6. *γενόμενον** *γενομένῃ* codd. edd. ‘*γενομένῃ* non mutaverim; ante *ἔν τε τῇ* excidisse quaedam videntur’ Nauck; cf. Praef. p. XLV ‖ 7. *πολλοῖς* [*ἦν*] *καὶ* Corn. ‖ 12. *καὶ* Oribasius (III 214 Bussem. et Daremb.) N edd. om. codd. ‖ 13. *ἐπὶ κακοχυμίᾳ* Orib. ‖ 14. *ὅπου γὰρ* (edd.) *κτλ.* Tim. p. 86 E ‖ *ὅπου γὰρ ἂν οἱ τῶν* Plat. Orib. *ὅταν γὰρ ἂν ἡ τῶν* codd. ‖ 15. *ἢ καὶ* Orib. codd. *ἢ* om. cod. A Plat. ‖ 16. *ἔξωθεν* Orib. ‖ 17. *διαπνοὴν* Orib. ‖ ⟨*δὲ*⟩ om. codd. ‖ *εἱλούμενοι* Orib. *ἰλλόμενοι* Cobet (Mnem. N. S. I 432) *ἑλκόμενοι* codd. ‖ 18. *φορᾷ* Orib. Plat. *διαθέσει σφόδρα* codd. ‖ 20. *ἧττον* Orib. Plat. magis et minus N *ἧττω* codd. ‖ 21. *ἕκαστ’* Plat. *ἕκαστον* Corn. *ἑκάστῃ* codd. ‖ 22. *προσπίπτῃ* Plat. *προσ-*

δυσθυμίας παντοδαπά, ποικίλλει δὲ θρασύτητός τε καὶ δειλίας, ἔτι ⟨δὲ⟩ λήθης ἅμα καὶ δυσμαθείας.' ἐν ταύτῃ τῇ ῥήσει σαφῶς ὁ Πλάτων ὡμολόγησε τὴν ψυχὴν ἐν κακίᾳ τινὶ γίγνεσθαι διὰ τὴν ἐν τῷ σώματι κακοχυμίαν, ὥσπερ [δὲ] πάλιν ἐν νόσῳ καθίσταται· διὰ τὴν τοῦ σώματος ἕξιν κατὰ τήνδε τὴν ῥῆσιν· 'τὸ δὲ σπέρμα 790 ⟨ὅτῳ⟩ πολὺ ‖ καὶ γλοιῶδες περὶ τὸν μυελὸν γίγνεται καθαπερεὶ δένδρον πολυκαρπότερον τοῦ συμμέτρου πεφυκὸς ᾖ, πολλὰς μὲν καθ' ἕκαστον ὠδῖνας, πολλὰς δ' ἡδονὰς κτώμενος ἐν ταῖς ἐπιθυμίαις καὶ τοῖς περὶ τὰ τοιαῦτα τόκοις ἐμμανὴς τὸ πλεῖστον τοῦ βίου γιγνόμενος διὰ τὰς μεγίστας ἡδονὰς καὶ λύπας νοσοῦσαν καὶ ἄφρονα ἴσχων ὑπὸ τοῦ σώματος τὴν ψυχὴν οὐχ ὡς νοσῶν ἀλλ' ὡς ἑκὼν κακὸς ⟨κακῶς⟩ δοξάζεται· τὸ δ' ἀληθὲς ἡ περὶ τὰ ἀφροδίσια ἀκολασία κατὰ τὸ πολὺ μέρος διὰ τὴν ἑνὸς γένους ἕξιν ὑπὸ μανότητος ὀστῶν ἐν τῷ σώματι ῥυώδη καὶ ὑγραίνουσαν νόσος ψυχῆς γέγονε.' ἱκανῶς μὲν οὖν κἀν ταύτῃ τῇ ῥήσει τὴν ψυχὴν νοσεῖν ἀπεφήνατο διὰ τὴν μοχθηρὰν ἕξιν ⟨τοῦ⟩ σώματος. ἀλλ' οὐδὲν ἧττον ἔτι καὶ διὰ τῶν ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένων ἡ γνώμη κατάδηλος γίγνεται

πίπτοι codd. ‖ ποικίλλει μὲν εἴδη Plat. ποικίλα μὲν γὰρ εἶναι εἴδη codd. ‖ 1. παντοδαπά Plat. παντοδαπὰς codd. ‖ ποικίλλει δὲ θρασύτητος Plat. πολλάκις δὲ θρασύτητας codd. ‖ 2. δὲ om. codd. ‖ λήθας codd. ‖ δυσμαθείας Plat. δυσθυμίας οἵας codd. ‖ 5. [δὲ]* sicut rursus N ‖ 6. τοῦ σώματος* ἐν τῷ σώματι codd. edd. ‖ τὸ δὲ κτλ. Tim. p. 86 C ‖ 7. ὅτῳ om. codd. edd. ‖ γλοιῶδες codd. ῥυῶδες Plat. ‖ γίγνεσθαι codd. ‖ 8. καθάπερ ἢ codd. ‖ 10. ἐν τηι ἐπιθυμίαι L ‖ 11. τε (pro τὸ) LW Vm δὲ M ‖ γιγνόμενος τοῦ βίου Plat. ‖ 12. λύπας καὶ νόσους ἄφρονα codd. ‖ 14. κακῶς Plat. om. codd. ‖ 15. κατὰ τὸ πολὺ μέρος Plat. καὶ τὸ πολυμερῶς codd. ‖ 16. ὀστῶν Plat. ὡς τὴν codd. ‖ 17. ἐν σώματι Plat. ‖ ῥυώδη G ῥοώδη codd. edd. cett. ‖ νοῦσον codd. ‖ 18. γέγονε Plat. γεγονέναι codd. ‖ 19. διὰ τὴν* διὰ τὸ codd. ‖ ⟨τοῦ⟩*

τοῦ φιλοσόφου. τί γάρ φησι; 'καὶ σχεδὸν ἅπανθ' ὁπόσα ἡδονῶν ἀκρασία καὶ ὄνειδος ⟨ὡς ἑκόντων λέγεται τῶν κακῶν, οὐκ ὀρθῶς ὀνειδίζεται· κακὸς⟩ μὲν γὰρ ἑκὼν οὐδείς, διὰ δὲ πονηρὰν ἕξιν τοῦ σώματος καὶ ἀπαιδεύτους τροφὰς κακὸς γίγνεται, παντὶ δὲ ταῦτα ἐχθρὰ καὶ ἄκοντι προσγίγνεται.' ὅτι μὲν οὖν ὁ Πλάτων αὐτὸς ‖ ὁμολογεῖ τὰ προαποδεδειγμένα ὑπ' ἐμοῦ, ἔκ τε 791
τούτων αὐτῶν τῶν ῥήσεών ἐστι δῆλον ἐξ ἄλλων τε πολλῶν, ὧν τινὰς μὲν ἐν τῷ Τιμαίῳ, καθάπερ καὶ τάσδε τὰς νῦν εἰρημένας, τινὰς δ' ἐν ἄλλοις αὐτοῦ βιβλίοις ἔστιν εὑρεῖν.

Cap. VII. Ὅτι δὲ καὶ Ἀριστοτέλης τῇ κράσει τοῦ τῆς μητρὸς αἵματος, ἐξ οὗ τὴν γένεσιν ἔχειν ἡμῶν φησι τὸ αἷμα, τὰς τῆς ψυχῆς δυνάμεις ἀκολουθεῖν οἴεται, δῆλόν ἐστιν ἐκ τῶν ῥήσεων αὐτοῦ. κατὰ μέν γε τὸ δεύτερον περὶ ζῴων μορίων οὕτως ἔγραψεν· 'ἔστι δ' ἰσχύος μὲν ποιητικώτερον τὸ παχύτερον αἷμα καὶ θερμότερον, αἰσθητικώτερον δὲ καὶ νοερώτερον τὸ λεπτότερον καὶ ψυχρότερον. τὴν αὐτὴν δ' ἔχει διαφορὰν καὶ τῶν ἀνάλογον ὑπαρχόντων πρὸς τὸ αἷμα· διὸ καὶ μέλιτται καὶ ἄλλα τοιαῦτα ζῷα φρονιμώτερα τὴν φύσιν ἐστὶν ἐναίμων πολλῶν, καὶ τῶν ἐναίμων τὰ ψυχρὸν ἔχοντα καὶ λεπτὸν αἷμα φρονιμώτερα τῶν ἐναντίων ⟨ἐστίν⟩. ἄριστα δὲ τὰ θερμὸν ἔχοντα καὶ λεπτὸν καὶ καθαρόν· ἅμα γὰρ πρός τ' ἀνδρείαν τὰ τοιαῦτα καὶ ⟨πρὸς⟩ φρό-

1. *καὶ σχεδὸν κτλ.* Tim. p. 86 D *καὶ σχ. δὴ πάντα* Plat. ‖ 2. *ἀκράτεια* Plat. ‖ verba *ὡς ἑκόντων* usque ad *ὀνειδίζεται· κακὸς* om. codd. ‖ 4. *ἕξιν τινὰ* Plat. ‖ 9. *τινὲς μὲν* codd. ‖ 10. *ἄλλοις αὐτοῦ βιβλίοις* LW *ἀ. β. αὐτοῦ* codd. cett. libris suis (eius) N ‖ 17. *ἔστι δ' κτλ.* Part. anim. II 2, 25 sqq. (Par. 1854) p. 648 a Bekk. ‖ 20. *ἀνάλογα* L ‖ 23. *ἐστίν* add. Corn., legit N, om. codd. edd. ‖ 24. *καθαρὸν αἷμα πρός τε γὰρ* codd. purum, simul enim N ‖ 25. *πρὸς φρόνησιν* Bekk. et ad prudentiam N *πρὸς* om. codd.

792 νησιν ἔχει καλῶς· διὸ ‖ καὶ τὰ ἄνω μόρια πρὸς τὰ κάτω ταύτην ἔχει τὴν διαφορὰν καὶ πρὸς τὸ θῆλυ ⟨αὖ⟩ τὸ ἄρρεν καὶ τὰ δεξιὰ πρὸς τὰ ἀριστερὰ τοῦ σώματος.' εὔδηλος μὲν οὖν ἐστιν [ὡς] ὁ Ἀριστοτέλης κἀκ ταύτης τῆς ῥήσεως ἕπεσθαι βουλόμενος τὰς τῆς ψυχῆς δυνάμεις τῇ φύσει τοῦ σώματος· οὐδὲν δ' ἧττον καὶ κατωτέρω τοῦ συγγράμματος ἀποφαινόμενος τὴν αὐτὴν δόξαν ἔγραψεν ὧδε· 'τὰς δὲ καλουμένας ἶνας τὸ μὲν ἔχει ⟨αἷμα⟩, τὸ δ' οὐκ ἔχει, οἷον τὸ τῶν ἐλάφων καὶ δορκάδων, διόπερ οὐ πήγνυται τὸ τοιοῦτον ⟨αἷμα⟩· τοῦ γὰρ αἵματος τὸ μὲν ὑδατῶδες μᾶλλον ψυχρόν ἐστι, διὸ καὶ οὐ πήγνυται, τὸ δὲ γεῶδες πήγνυται ἐξατμίζοντος τοῦ ὑγροῦ [ἐν ταῖς πήξεσι]· ⟨αἱ δ' ἶνες γῆς εἰσιν⟩. συμβαίνει δ' ἔνια καὶ γλαφυρωτέραν ἔχειν τὴν διάνοιαν τῶν τοιούτων, οὐ διὰ τὴν ψυχρότητα τοῦ αἵματος ἀλλὰ διὰ ⟨τὴν⟩ λεπτότητα μᾶλλον καὶ διὰ τὸ καθαρὸν εἶναι· τὸ γὰρ γεῶδες οὐδέτερον ἔχει τούτων. εὐκινητοτέραν γὰρ ἔχουσι τὴν αἴσθησιν τὰ λεπτοτέραν ἔχοντα τὴν ὑγρότητα καὶ καθαρωτέραν· διὰ γὰρ τοῦτο καὶ τῶν ἀναίμων ἔνια συνετωτέραν ἔχει τὴν ψυχὴν ἐνίων ἐναί-
793 μων, καθάπερ εἴρηται ‖ [καὶ] πρότερον, οἷον ἡ μέλιττα

2. αὖ codd. Arist. om. codd. edd. ‖ 4. εὔδηλος* εὔδηλον codd. edd. ‖ [ὡς] cf. Praef. p. XLVI ‖ 8. τὰς δὲ κτλ. Part. anim. II 4, 20 sqq. 650 b B. ‖ 9. αἷμα om. codd., non om. N ‖ δορκάδων codd. edd. προκῶν Bekk. ‖ 10. αἷμα om. codd. ‖ 12. συνεξατμίζοντος Bekk. evaporante (ἐξατμίζοντος) humido N ἐξατμιζομένου codd. edd.; cf. infra p. 54, 1 συνεξατμίζεται codd., ubi N 'simul evaporat' ‖ 13. [ἐν ταῖς πήξεσι]* ‖ αἱ δ' — εἰσιν om. codd. 'ines autem terrae sunt' N ‖ 14. ἔνιά γε καὶ Bekk. ‖ 16. τὴν ante λεπτότητα om. codd. edd. ‖ 17. ἀκινητοτέραν MVm εὐκινητότερον LW ‖ 18. αἴσθησιν καὶ λεπτοτέραν codd. sensum, quae subtiliorem habent humiditatem' N ‖ 21. εἴρηται πρότερον Bekk. dictum est prius N ‖ μέλισσα LW ‖ οἷον — μυρμήκων om. MVm

καὶ τὸ γένος τὸ τῶν μυρμήκων κἂν εἴ τι ἕτερον τοιοῦτόν ἐστι. δειλότερα δὲ τὰ λίαν ὑδατώδη· ὁ γὰρ φόβος καταψύχει. προωδοποίηται τοίνυν τῷ πάθει τὰ τοιαύτην ἔχοντα τὴν ἐν τῇ καρδίᾳ κρᾶσιν· τὸ γὰρ ὕδωρ ⟨τῷ⟩ ψυχρῷ πηκτόν ἐστι· διὸ καὶ τἄλλα τὰ ἄναιμα δειλότερα τῶν ἐναίμων ἐστίν, ὡς ἁπλῶς εἰπεῖν, καὶ ἀκινητίζει τε φοβούμενα καὶ προίεται περιττώματα καὶ μεταβάλλει ἔνια τὰς χρόας ⟨αὐτῶν⟩. τὰ δὲ πολλὰς ἔχοντα λίαν ἶνας καὶ παχείας γεωδέστερα τὴν φύσιν ἐστὶ καὶ θυμώδη τὸ ἦθος καὶ ἐκστατικὰ διὰ τὸν θυμόν· θερμότητος γὰρ ποιητικὸν ὁ θυμός. τὰ δὲ στερεὰ θερμανθέντα μᾶλλον θερμαίνει τῶν ὑγρῶν, αἱ δ' ἶνες στερεὸν καὶ γεῶδες, ὥστε γίγνονται οἷον πυρίαι ἐν τῷ αἵματι καὶ ζέσιν ποιοῦσιν ἐν τοῖς θυμοῖς· διὸ οἱ ταῦροι καὶ οἱ κάπροι θυμώδεις καὶ ἐκστατικοί· τὸ γὰρ αἷμα τούτων ἰνωδέστατον καὶ τό γε τοῦ ταύρου τάχιστα πήγνυται πάντων. ἐξαιρουμένων δὲ τούτων τῶν ἰνῶν οὐ ‖ πήγνυται τὸ αἷμα· καθάπερ γὰρ ἐκ πηλοῦ εἴ τις 794 *ἐξέλοι τὸ γεῶδες, οὐ πήγνυται τὸ ὕδωρ, οὕτω καὶ τὸ αἷμα· αἱ γὰρ ἶνες γῆς· μὴ ἐξαιρουμένων δὲ πήγνυται, οἷον [ἂν πάθῃ ἡ] ὑγρὰ γῆ ὑπὸ ψύχους· τοῦ γὰρ θερ-*

1. *ἕτερον τοιοῦτον* Bekk. si quid alterum tale d, si quid tale p *εἴ τι τοιοῦτον ἕτερον* codd. ‖ 3. *προωδοποίηται* Bekk. praedisposita sunt N *προοδοποιεῖται* codd. ‖ *τοίνυν* codd. *οὖν* Bekk. ‖ *τῷ πάθει* Bekk. Corn. huic passioni N *τὰ πάθη* codd. ‖ 4. *τοιαύτην* Bekk. talem N *τοιαῦτα* codd. ‖ 5. *ὕδωρ ψυχρὸ* (*ψυχρῷ*) *πηκτόν* LW ‖ *ἄναιμα* Bekk. exsanguia N *ἔναιμα* codd. ‖ 7. *γε* pro *τε* codd. edd. ‖ *περιπτώματα* L ‖ 8. ⟨*αὐτῶν*⟩ om. codd., non om. N ‖ *πολλὰ* L ‖ 11. *ποιητικὸν* Bekk. caloris enim est furor effectus N *παρεκτικὸς* codd. ‖ 13. *γίγνονται* codd. *γίνονται* Bekk. ‖ 14. *ἐν τοῖς θυμοῖς* Bekk. in furoribus N *ἐν τοῖς χυμοῖς* codd. ‖ 16. *ἰνωδέστατον* Bekk. plenissimus inis N *ἰνω(ο)δέστερον* codd. ‖ 17. *τούτων τῶν ἰνῶν* Bekk. his inis N *τῶν ἰνῶν τούτων* codd. ‖ 21. *οἷον ὑγρὰ* Bekk. sicut humida terra a frigore N *οἷον ἂν πάθῃ ἡ ὑγρὰ* codd.

μοῦ ὑπὸ τοῦ ψυχροῦ ἐκθλιβομένου συνεξατμίζει τὸ ὑγρόν, καθάπερ εἴρηται πρότερον, καὶ πήγνυται οὐχ ὑπὸ θερμοῦ ἀλλ' ὑπὸ ψυχροῦ ξηραινόμενον· ἐν δὲ τοῖς σώμασιν ὑγρόν ἐστι διὰ τὴν θερμότητα τὴν ἐν τοῖς ζῴοις.' ταῦτα προειπὼν ὁ Ἀριστοτέλης ἐφεξῆς αὐτοῖς συνάπτει ταῦτα· 'πολλῶν δ' ἐστὶν αἰτία ἡ τοῦ αἵματος φύσις καὶ κατὰ τὸ ἦθος τοῖς ζῴοις καὶ κατὰ τὴν αἴσθησιν, εὐλόγως· ὕλη γάρ ἐστι παντὸς τοῦ σώματος· ἡ γὰρ τροφὴ ὕλη, τὸ δ' αἷμα ⟨ἡ⟩ ἐσχάτη τροφή. πολλὴν οὖν ποιεῖ διαφορὰν θερμὸν ὂν καὶ ψυχρὸν καὶ λεπτὸν καὶ παχὺ καὶ καθαρὸν καὶ θολερόν.' οὐσῶν δὲ καὶ ἄλλων αὐτοῦ ῥήσεων ἐν ταῖς περὶ τῶν ζῴων [αὐτοῦ] πραγματείαις καὶ τοῖς τῶν προβλημάτων [αὐτοῦ] βι-
795 βλίοις ἔδοξέ μοι περιττὸν εἶναι παραγράφειν ἁπάσας· ἀρκεῖ γάρ μοι τὴν Ἀριστοτέλους ἐνδείξασθαι γνώμην, ἣν ἔχει περί τε τῶν κράσεων τοῦ σώματος καὶ τῶν τῆς ψυχῆς δυνάμεων· ὅμως δὲ προσθήσω καὶ τὰ κατὰ τὸ πρῶτον εἰρημένα τῆς τῶν ζῴων ἱστορίας, ὧν τινὰ μὲν ἄντικρυς εἰς τὴν κρᾶσιν ἀνάγεται, τινὰ δὲ διὰ μέσων τῶν φυσιογνωμονικῶν σημείων [καὶ μάλιστα κατὰ τὸν Ἀριστοτέλην]. βούλεται γὰρ οὗτος τοῖς τῆς ψυχῆς ἤθεσί τε καὶ δυνάμεσιν οἰκείαν γίγνεσθαι τὴν διάπλασιν ὅλου τοῦ σώματος ἑκάστῳ γένει τῶν ζῴων. οἷον αὐτίκα τῶν ἐναίμων ἡ γένεσις μέν ἐστιν ἐκ τοῦ

1. συνεξατμίζει Bekk. simul evaporat N συνεξατμίζεται codd. ‖ 5. προσειπὼν LW ‖ 6. σώματος pro αἵματος codd. et N ‖ 7. κατὰ τὸ εἶδος codd. secundum mores N ‖ 9. ἡ ante ἐσχάτη om. codd. edd. ‖ πολλὴν ἂν ποιῇ codd. multam igitur facit N ‖ 11. παχὺ Bekk. πολὺ LWMm N edd. πολὺ in textu παχὺ in marg. V ‖ θολερὸν καὶ καθαρὸν Bekk. ‖ 12. αὐτῷ codd. ‖ [αὐτοῦ]* cf. Praef. p. XL ‖ 20. [καὶ — Ἀριστοτέλην]* secundum ipsum Arist. N ‖ 23. ὅλου edd. totius corporis N ὅλην codd. ‖ τῶν ante ζῴων om. LW

τῆς μητρὸς αἵματος, ἀκολουθεῖ δὲ τῇ κράσει τούτου τὰ τῆς ψυχῆς ἤθη, καθότι καὶ διὰ τῶν προγεγραμμένων ῥήσεων ἀπεφήνατο· τῶν δ' ὀργανικῶν μορίων ἡ διάπλασις οἰκεία τοῖς τῆς ψυχῆς ἤθεσι γίγνεται [κατ' αὐτὸν τὸν Ἀριστοτέλην]· καὶ κατὰ τοῦτο δὴ λοιπὸν οὐκ ὀλίγα πέφυκε ⟨γνωρίσματα⟩ περί τε τῶν τῆς ψυχῆς ἠθῶν καὶ τῆς τοῦ σώματος κράσεως. ἔνια δὲ τῶν φυσιογνωμονικῶν ἄντικρύς τε καὶ δι' οὐδενὸς μέσου τὴν κρᾶσιν ἐνδείκνυται. τοιαῦτα δ' ἐστὶ κατὰ τὰς χρόας καὶ τρίχας, ἔτι δὲ τὰς φωνὰς ‖ καὶ τὰς ἐνεργείας 796 τῶν μορίων. ἀκούσωμεν οὖν ἤδη τῶν ὑπ' Ἀριστοτέλους γεγραμμένων ἐν τῷ πρώτῳ τῆς τῶν ζῴων ἱστορίας· ʻπροσώπου δὲ τὸ μὲν ὑπὸ τὸ βρέγμα ⟨μεταξὺ τῶν ὀμμάτων⟩ μέτωπον· τοῦτο δ' οἷς μὲν μέγα, βραδύτεροι, οἷς δὲ μικρόν, εὐκίνητοι, καὶ οἷς μὲν πλατύ, ἐκστατικοί.' μία μὲν αὕτη ῥῆσις· ἑτέρα δ' οὐ μετὰ πολὺ τῆσδε τόνδε τὸν τρόπον ἔχουσα· ʻὑπὸ ⟨δὲ⟩ τῷ μετώπῳ ὀφρύες διφυεῖς, ὧν αἱ μὲν εὐθεῖαι [φύουσαι] μαλακοῦ ἤθους σημεῖον, αἱ δὲ πρὸς τὴν ῥῖνα ⟨τὴν⟩ καμπυλότητα ἔχουσαι στρυφνοῦ, αἱ δὲ πρὸς τοὺς κροτάφους μωκοῦ καὶ εἴρωνος, ⟨αἱ δὲ κατεσπασμέναι φθόνου⟩.' εἶτα πάλιν μετ' οὐ πολύ ʻκοινὸν δὲ ⟨τῆς⟩ βλεφαρίδος μέρος

4. [κατ' αὐτὸν τὸν Ἀρ.]* ‖ ⟨γνωρίσματα⟩*; cf. Praef. p. XLVI ‖ 8. δι' οὐδὲν μέσον L ‖ 13. προσώπου δὲ κτλ. Hist. Anim. I 8 (vol. III 8 Par.) p. 491 b Bekk. ‖ 13. μεταξὺ τῶν ὀμμ. om. codd., non om. N ‖ 15. σμικρὸν LW ‖ 17. ὑπὸ δὲ κτλ. Hist. Anim. I 9 ‖ δὲ post ὑπὸ om. codd., non om. N ‖ 18. ὀφρύων μὲν αἱ μὲν εὐθεῖαι LMVm ὀφρ. δὲ αἱ μ. εὐθ. W supercilia bina, horum N ‖ [φύουσαι]* non legit N, abest in codd. Aristot. ‖ 19. πρὸς τῇ ῥινὶ codd., ad nasum autem N ‖ τὴν ante καμπ. om. codd. ‖ 20. μωκοῦ καὶ εἴρωνος Bekk. subsannatoris et derisoris N μεμηκυῖαι εἴρωνος codd. ‖ 21. αἱ δὲ — φθόνου om. codd. et N; cf. infra p. 56,4 ‖ 22. βλεφαρίδων (sine articulo) LWm βλεφαρίων V βλεφάρων M

τῆς ἄνω καὶ κάτω κανθοὶ δύο, ⟨ὁ⟩ μὲν πρὸς τῇ ῥινί, ὁ δὲ πρὸς τοῖς κροτάφοις, οἳ ἂν μὲν ὦσι μακροί, κακοηθείας σημεῖον, ἐὰν δ' οἷον οἱ κτένες κρεῶδες ἔχωσι πρὸς τῷ μυκτῆρι, πονηρίας' [εἶτ' ἐφεξῆς πάλιν 'αἱ ὀφρύες ἂν ὦσι κατεσπασμέναι, φθόνου']. καὶ μετὰ τοῦτο πάλιν 'ὀφθαλμοῦ δὲ τὸ μὲν λευκὸν ὅμοιον ὡς ἐπὶ τὸ πολὺ πᾶσι, τὸ ⟨δὲ⟩ καλούμενον μέλαν διαφέρει· τοῖς μὲν
797 *γάρ ἐστι μέλαν, τοῖς δὲ σφόδρα γλαυκόν, τοῖς δὲ χαροπόν, ⟨ἐνίοις δ' αἰγωπόν, ὃ ἤθους⟩ βελτίστου σημεῖον' [ἐστί]. καὶ δὴ καὶ τούτων ἐφεξῆς τάδε γράφει· 'τῶν δ' ὀφθαλμῶν οἱ μὲν μεγάλοι, οἱ δὲ μικροί, οἱ δὲ ⟨μέσοι· οἱ⟩ μέσοι βέλτιστοι. καὶ ἢ ἐκτὸς σφόδρα ἢ ἐντὸς ἢ μέσως· τούτων οἱ ἐντὸς μάλιστα ὀξυωπέστατοι ⟨ἐπὶ⟩ παντὸς ζῴου, τὸ δὲ μέσον ἤθους βελτίστου σημεῖον. καὶ ⟨ἢ⟩ σκαρδαμυκτικοὶ ἢ ἀτενεῖς ἢ μέσοι· ⟨βελτίστου δ' ἤθους οἱ μέσοι⟩, ἐκείνων δ' οἱ μὲν ἀναιδεῖς, οἱ δ' ἀβέβαιοι.' καὶ πάλιν οὐ μετὰ πολὺ ⟨κατὰ⟩*

1. *ὁ* ante *μὲν* om. codd., legit N ‖ 2. *δύο δὲ* pro *ὁ δὲ* codd. hoc autem versus tempora N ‖ *οἳ ἂν μὲν ὦσι* Bekk. quae si quidem fuerint N *οἷς οὖν εἰσὶ* codd. ‖ 3. *σημεῖον. οἷς δὲ βραχεῖς, ἤθους βελτίονος. ὧν δὲ οἱ κτένες οἷον κρεῶδες ἔχοντες πρὸς* codd. signum; si autem velut ctenes carnositatem habeant N ‖ 4. [*εἶτ' — φθόνου*]* ‖ 6. *ὀφθαλμοῦ κτλ.* Hist. Anim. I 10 p. 492a Bekk. ‖ *ὀφθαλμῶν* codd. oculorum N ‖ *ὁμοίως ἐπὶ πολὺ* codd. simile est ut plurimum N ‖ 7. ⟨*δὲ*⟩ om. codd., non om. N ‖ 8. *καὶ σφόδρα* LW ‖ 9. ⟨*ἐνίοις — ἤθους*⟩* 'his vero charopon, charopon igitur moris optimi est signum' N ‖ post *σημεῖον* add. *ἐστι* codd.; Ch et K add. ex Aristotele: *καὶ πρὸς ὀξύτητα ὄψεως κράτιστον* ‖ 11. *οἱ μὲν μεγάλοι, οἱ δὲ μικροὶ* Bekk. hi quidem sunt magni, hi autem parvi N *οἱ μὲν μικροί, οἱ δὲ μεγάλοι* codd. ‖ 12. ⟨*μέσοι· οἱ*⟩* ex Bekk. ‖ 13. *τούτων* m *τῶτοι* LWV *τοῦ τοιοὶ* M ‖ *ὀξυνωπέστατοι* codd. ‖ 14. ⟨*ἐπὶ*⟩ om. codd. ‖ 15. *καὶ ἢ* Bekk. et aut N ⟨*ἢ*⟩ om. codd. ‖ *σκαρδαμυτικοὶ* codd. ‖ *προπετεῖς* pro *ἀτ.* codd. ‖ 16. ⟨*βελτίστου — μέσοι*⟩ om. codd., non om. N ‖ *οἱ μὲν ἀναιμώδεις, οἱ δ' ἀβέβαιοι* codd. si quidem inverecundi, hi autem instabiles d *ὁ μὲν ἀναιδὴς ὁ δ' ἀβέβαιος* Bekk. ‖ 17. *πολὺ** post multum N *πολλὰ* codd. ‖ ⟨*κατὰ*⟩ *τὸν** in sermone N

τὸν περὶ τῶν ὤτων λόγον ὡδί πως ἔγραψε περὶ τοῦ μεγέθους αὐτῶν· ‘καὶ ἢ μεγάλα ἢ μικρὰ ἢ μέσα ἢ ἐπανεστηκότα σφόδρα ἢ οὐθὲν ἢ μέσον· τὰ δὲ μέσα βελτίστου ἤθους σημεῖον, τὰ δὲ μεγάλα καὶ ἐπανεστηκότα μωρολογίας καὶ ἀδολεσχίας.’ ταῦτα μὲν ἐν τῷ πρώτῳ περὶ ζῴων ἱστορίας ὁ Ἀριστοτέλης ἔγραψεν, ⟨οὐκ⟩ ὀλίγων δὲ μέμνηται καὶ κατ’ ἄλλο σύγγραμμα φυσιογνωμονικῶν θεωρημάτων, ὧν καὶ ‖ παρεθέμην ἄν 798 *τινας ῥήσεις, εἰ μήτε μακρολογίας ἔμελλον ἀποίσεσθαι δόξαν ἀναλίσκειν τε τὸν χρόνον μάτην ἐξὸν ἐπὶ τὸν πάντων ἰατρῶν τε καὶ φιλοσόφων πρῶτον εὑρόντα τὴν θεωρίαν ταύτην ἀφικέσθαι μάρτυρα, τὸν θεῖον Ἱπποκράτην.*

Cap. VIII. *Γράφει τοίνυν αὐτὸς ἐν τῷ βιβλίῳ, καθ’ ὃ περὶ ἀέρων καὶ τόπων καὶ ὑδάτων διδάσκει, πρῶτον μὲν ἐπ’ ἐκείνων τῶν πόλεων, ἃς ἐστράφθαι φησὶ πρὸς ἄρκτους, ὡδί πως αὐτοῖς ὀνόμασι· ‘τά τε ἤθεα ἀγριώτερα ἢ ἡμερώτερα’ καὶ μετὰ ταῦτα πάλιν ἐπὶ τῶν πρὸς ἀνατολὴν ἐστραμμένων ὡδί· ‘λαμπρόφωνοί τε οἱ ἄνθρωποι ὀργήν τε καὶ ξύνεσιν βελτίονες τῶν πρὸς βορέην.’ ἔπειτα προελθὼν ἐπὶ πλέον περὶ τῶν αὐτῶν ὡδί πως διεξέρχεται· ‘τὴν Ἀσίην πλεῖστον*

2. *καὶ ἢ κτλ.* Hist. An. I 11 p. 492 a. b. Bekk. ‖ aut sunt parvae aut magnae aut mediae N *καὶ οἱ μὲν πάνυ μακρὰ ἢ μέσα* LW *καὶ τὰ μὲν π. μ. ἢ μ.* MVm ‖ 3. *ἐπανεστηκότες* L ‖ *οὖ* (*οὐ*) pro *οὐθὲν* codd. nihil N ‖ 7. ⟨*οὐκ*⟩* om. codd., non om. N ‖ 8. *παρεθέμεθα ἂν* codd. ‖ 9. *μήγε* LW *μὴ* MVm ‘*μὴ* praetulerim’ Nauck nisi longitudinem N ‖ 10. *ἐπὶ τῶν* codd. ‖ 14. *αὐτὸς* LMVm *οὗτος* in textu, *αὐτὸς* in marg. W ‖ 15. *περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων* codd.; cf. Praef. p. XLVI ‖ 17. *τά τε ἤθεα κτλ.* Vol. I 247 E. II 20 L. ‖ 19. *τὸν — ἐστραμμένον* codd. ‖ *λαμπρόφωνοι κτλ.* l. l. p. 248 E. p. 24 L. ‖ 20. *βελτίονες** cf. Praef. p. XVIII, *βελτίους εἰσὶ* E. L., *εἰσὶ* om. codd. Gal., non legit N ‖ 21. *βορρᾶν* codd. boream N ‖ 22. *Ἀσίην* l. l. p. 264 E.

διαφέρειν φημὶ τῆς Εὐρώπης ἐς τὰς φύσιας τῶν ξυμπάντων τῶν τε ἐκ ⟨τῆς⟩ γῆς φυομένων καὶ τῶν ἀνθρώπων· πολὺ γὰρ καλλίονα καὶ μείζονα πάντα γίγνεται ἐν τῇ Ἀσίῃ· ἥ τε χώρη τῆς χώρης ἡμερωτέρη καὶ τὰ ἤθεα τῶν ἀνθρώπων ἠπιώ⟨τερα καὶ εὐοργητό⟩τερα. τὸ δὲ αἴτιον τούτων ἡ κρῆσις τῶν ὡρέων.᾽ τὴν κρᾶσιν
799‖ *εἶναι αἰτίαν φησὶν οὐ μόνον τῶν ἄλλων ὧν διῆλθεν ἀλλὰ καὶ τῶν ἠθῶν. ὅτι δὲ τὴν τῶν ὡρῶν κρᾶσιν ἐν τῇ θερμότητι καὶ ψυχρότητι, ξηρότητί τε καὶ ὑγρότητι διαλλάττειν ἑτέραν τῆς ἑτέρας φησί, παμπόλλας ῥήσεις παρεθέμην ἐν τῇ πραγματείᾳ, καθ᾽ ἣν ἐπιδείκνυμι τὴν αὐτὴν φυλάττοντα δόξαν αὐτὸν περὶ [τε] τῶν στοιχείων ἔν ⟨τε⟩ τῇ περὶ φύσιος ἀνθρώπου βίβλῳ καὶ κατ᾽ ἄλλα πάντα συγγράμματα. ἀλλὰ καὶ κατὰ τὰς ἑπομένας ῥήσεις τῇ προκειμένῃ ταὐτὸν διδάσκων ὡδὶ γράφει περὶ τῆς εὐκράτου χώρας, ἣν καὶ τὰ τῶν ἀνθρώπων ἤθη ποιεῖν φησιν εὔκρατα· ʽοὔτε γὰρ ὑπὸ τοῦ θερμοῦ ἐκκέκαυται λίην οὔτε ὑπὸ αὐχμῶν καὶ ἀνυδρίης ἀνεξήρανται οὔτε ὑπὸ ψύξιος πέττεται.᾽ διὰ τοῦτ᾽ οὖν ἐφεξῆς φησι ʽτὸ δὲ ἀνδρεῖον καὶ ⟨τὸ⟩ ταλαίπωρον*

p. 52 L. Galen. XVI 317, 15 sqq. ‖ *Ἀσίαν* codd. ‖ *φασί* L *φησι* codd. cett. om. N ‖ *πλεῖστον δὴ* E. ‖ 1. *εἰς* codd. ‖ *φύσειας* L ‖ 2. *τῆς* om. codd. ‖ 3. *καλλίω καὶ μείζω πάντα γίγνονται* codd. ‖ 4. *Ἀσίᾳ* codd. ‖ 5. *ἠπιώ⟨τερα καὶ εὐοργητό⟩τερα** cf. E. L. l. l. ‖ 6. *κρᾶσις* (*κράσις*) codd. ‖ 7. *αἰτίαν εἶναι* M.; cf. Praef. p. LXIV ‖ 8. *καὶ τὴν τῶν ἡμῶν ὅτι* codd. verum etiam et morum N ‖ 10. *ἑτέραν τε τῆς* LW *ἑτέρα τε τῆς* MVm alteram ab altera N ‖ 11. *ἐπιδείκνυμι* MVm *ἐπιδεικνύμενοι* LW ostendendo N ‖ 12. *τὴν σὴν* pro *τὴν αὐτὴν* codd. ‖ [*τε*]* ‖ 13. *ἔν ⟨τε⟩ τῇ** ‖ *φύσιος** *φύσεως* codd ‖ 15. *ταύτῃ* pro *ταὐτὸν* codd. ‖ 16. *ὡδὶ γράφει** *γράφει ὡδὶ* codd. et N; cf. Praef. p. XLVII ‖ 17. *οὔτε γὰρ κτλ.* Hipp. l. l. p. 263 E. p. 54 L. ‖ 18. *λέγει* vel *λέγων* pro *λίην* codd. aduri dico N ‖ *ὑπαύχιος* codd. neque ab ariditate N ‖ *ἀνυδρίας* codd. ‖ 19. *ἀναξηραίνεται* L. E. ‖ *τέτται* vel *πέτται* codd. gelari N *ὑπὸ ψύχεος βεβιασμένη* E. L. ‖ 20. *τὸ δὲ κτλ.*

καὶ ⟨τὸ⟩ εὔτονον καὶ τὸ θυμοειδὲς οὐκ ἂν δύναιτο ἐν τῇ τοιαύτῃ φύσει ἐγγίγνεσθαι οὔτε ὁμοφύλου οὔτε ἀλλοφύλου ἀλλὰ τὴν ἡδονὴν ἀνάγκη κρατέειν.' καὶ μέντοι κατωτέρω πάλιν ἐν ταὐτῷ γράμματι τάδε γράφει· 'περὶ δὲ τῆς ἀθυμίης τῶν ἀνθρώπων καὶ τῆς ἀνανδρείης ὅτι ἀπολεμώτεροί εἰσι τῶν Εὐρωπαίων οἱ ‖ Ἀσιηνοὶ καὶ ἡμερώτεροι 800
τὰ [τε] ἤθεα, αἱ [τε] ὧραι αἴτιαι μάλιστα οὐ μεγάλας τὰς μεταβολὰς ποιεόμεναι ⟨οὔτε ἐπὶ τὸ θερμὸν⟩ οὔτε ἐπὶ τὸ ψυχρὸν ἀλλὰ παραπλήσιαι.' καὶ μέντοι καὶ μετ' ὀλίγα πάλιν οὕτως εἶπεν· 'εὑρήσεις δὲ καὶ τοὺς Ἀσιηνοὺς διαφέροντας αὐτοὺς ἑωυτῶν καὶ τοὺς μὲν βελτίονας, τοὺς δὲ φαυλοτέρους ἐόντας· τούτων δὲ αἱ μεταβολαὶ αἴτιαι τῶν ὡρέων, ὥσπερ μοι εἴρηται ἐν τοῖσι προτέροισι' ⟨καὶ⟩ κατωτέρω τοῦ συγγράμματος, ἡνίκα περὶ τῶν τὴν Εὐρώπην οἰκούντων ὁ λόγος αὐτῷ γίγνεται, τάδε γράφει· 'τό τε ἄγριον καὶ τὸ ἀμείλικτον καὶ ⟨τὸ⟩ θυμοειδὲς ἐν τῇ τοιαύτῃ φύσει ἐγγίγνεται' καὶ μετὰ ταῦτα πάλιν ἐν ἑτέρᾳ ῥήσει γράφει ταυτί· 'ὅσοι

1. l. p. 266 E. p. 56 L. ‖ *καὶ ἀταλαίπωρον* codd. ‖ 1. *καὶ εὔτονον* codd. vigorositas N *τὸ ἔμπονον* E. L. ‖ *ἐν τοιαύτῃ* E. L. ‖ 2. *μήτε — μήτε* E. ‖ 4. *περὶ δὲ κτλ.* p. 270 E. p. 62 L. ‖ 5. *ῥαθυμίης* codd. de pigritia N ‖ *ἀνανδρείης* E. L. margo Aldinae Dresdensis *ἀνανδρίης* Nauck (cf. Schanz. Plat. opp. VII p. IX) *ἀνδρείης* codd. ‖ *οὔτε* (pro *ὅτι*) codd. ‖ *ἀπολεμώτεροι* margo Ald. Dr. *ἀπολυμώτεροι* codd. ‖ 6. *εὐρωπαίων* M margo Ald. Dr. *εὐρωπέων* codd. cett. ‖ *Ἀσιηνοὶ* margo Ald. Dr. *ἀσιανοὶ* codd. ‖ 7. *τὰ ἤθεα* marg. Ald. Dr. secundum mores N *τά τε ἤθεα* codd. ‖ *αἱ ὧραι* marg. Ald. Dr. *αἵ τε ὧραι* codd. et N ‖ *μεγίστας μεταβολὰς* codd. ‖ 8. *ποιεύμεναι* L. E. *ποιούμεναι* codd. ‖ *οὔτε — θερμὸν* om. codd., non om. d ‖ 9. *παραπλήσιαι ⟨αἰεὶ ἐοῦσαι⟩* E. *παραπλησίως* L. ‖ 10. *εὑρήσεις κτλ.* p. 271 E. p. 64 L. ‖ Asianos N *τῶν ἀσιηνῶν* codd. ‖ 11. *ἑαυτῶν* codd. ‖ 12. *ἡ μεταβολὴ αἰτίη* L ‖ 13. *ὡραίων* L ‖ 14. *⟨καὶ⟩* om. codd. in processu autem N ‖ conscriptionis N *γράμματος* L ‖ 16. *τό τε κτλ.* p. 280 E. p. 84 L.; Gal. XVI 318, 3 sqq. ‖ *τὸ δὲ* codd. ‖ *ἄμικτον* (pro *ἀμείλικτον*) E. L. ‖ 17. *⟨τὸ⟩* om. codd. ‖ *γί[γ]νεται* codd. ‖ 18. *ὅσοι κτλ.* p. 281 E.

μὲν ὀρεινὴν χώρην οἰκέουσι καὶ τρηχεῖαν καὶ ὑψηλὴν καὶ ἔνυδρον ⟨καὶ⟩ αἱ μεταβολαὶ αὐτέοισι γίγνονται τῶν ὡρέων μεγάλαι, ἐνταῦθα εἰκὸς εἴδεα μεγάλα εἶναι καὶ πρὸς τὸ ταλαίπωρον καὶ ⟨τὸ⟩ ἀνδρεῖον εὖ πεφυκότα, καὶ τό τε ἄγριον καὶ ⟨τὸ⟩ θηριῶδες αἱ τοιαῦται φύσιες οὐχ ἥκιστα ἔχουσιν· ὅσοι δὲ κοῖλα χωρία καὶ λειμακώδεα καὶ πνιγηρὰ καὶ τῶν θερμῶν πνευμάτων πλέον ⟨μέρος⟩ μετέχουσιν ἢ τῶν ψυχρῶν ὕδασί τε
801 *χρέωνται θερμοῖσιν, οὗτοι δὲ με|γάλοι μὲν οὐκ ἂν εἴησαν οὐδὲ κανονίαι, ἐς εὖρος δὲ πεφυκότες καὶ σαρκώδεες καὶ μελανότριχες· καὶ αὐτοὶ μέλανες μᾶλλον ἢ λευκότεροι φλεγματίαι ⟨τε⟩ ἧσσον ἢ χολώδεες, τὸ δὲ ἀνδρεῖον καὶ τὸ ταλαίπωρον ἐν τῇ ψυχῇ φύσει μὲν οὐκ ἂν ὁμοίως ἐνείη, νόμος δὲ προσγενόμενος ἀπεργάσοιτ' ἄν.' νόμον εἴρηκε [δὲ] δηλονότι τὴν νόμιμον ἐν ἑκάστῃ χώρᾳ τοῦ βίου διαγωγήν, ἣν δὴ καὶ τροφὴν καὶ παιδείαν καὶ συνήθειαν ἐπιχώριον ὀνομάζομεν, οὗ καὶ αὐτοῦ μεμνήσομαι πρὸς τὸν ὀλίγον ὕστερον εἰρησόμενον λόγον. ἐν γὰρ τῷ παρόντι προσθεῖναι ταύτας ἔτι βούλομαι τὰς ῥήσεις αὐτοῦ· 'ὅσοι δὲ ὑψηλὴν οἰκέ-*

p. 86 L. ‖ *ὁκόσοι* E. L. ‖ 1. *ὀρεινὴν χώραν* codd. montanam terram N *χώρην ὀρεινήν τε* E. L. ‖ *οἰκοῦσι* codd. ‖ *τραχεῖαν* codd. *τρηχείην* L. ‖ 2. *ἔνυδρον* V¹L. *εὔυδρον* codd. cett. inaquosam p aquosam d *ἄνυδρον* E. ‖ ⟨*καὶ*⟩ om. codd. ‖ *αὐτέοισι* L. *αὐταὶ εἰσὶ* codd.; cf. Praef. p. XVIII ‖ *καὶ γίγνονται* L. ‖ 3. *ὡρέων μεγάλαι* codd. horarum magnae N *ὡρ. μέγα διάφοροι* E. L ‖ 4. ad virilitatem N *ἀνανδρεῖον* W *ἄνανδρον* codd. cett. ‖ 5. ⟨*τὸ*⟩ om. codd. ‖ *φύσεις* codd. ‖ 6. *μετέχουσιν* codd. participant N ‖ *ὁκόσοι* E. L. ‖ 8. ⟨*μέρος*⟩ om. codd., non om. N ‖ 9. *χρέωνται* (*χρέων* m) codd. *χρέονται* L. E. ‖ *δὲ* post *οὗτοι* om. E. L. hi quidem N ‖ 10. *καννονίαι* marg. Ald. Dr. ‖ *εἰς* codd. ‖ 12. ⟨*τε*⟩ om. codd., non om. N ‖ 14. *ὁμοία* L ‖ *ἀπεργάσοιτ' ἂν* Corn. E. L. operabitur (sc. utique = *ἂν*) N *ἀπεργάζεται* codd. ‖ 15. [*δὲ*] codd. ‖ [*νόμιμον*] Nauck ‖ 20. *ὅσοι δὲ κτλ.* p. 282 E. p. 90 L. ‖ *ὁκόσοι* E. L.

ουσι χώρην καὶ λείην καὶ ἀνεμώδεα καὶ ἔνυδρον, εἶεν ἂν εἴδεα μεγάλοι καὶ ἑωυτοῖσι παραπλήσιοι, καὶ ἀνανδρότεραι καὶ ἡμερώτεραι ⟨τούτων⟩ αἱ γνῶμαι· [καὶ συνάπτων γε τὰ ἐφεξῆς περὶ τὸ χωρίον ἔτι τάδε γράφει]· ὅσοι δὲ λεπτὰ καὶ ἄνυδρα καὶ ψιλὰ καὶ τῇσι μεταβολῇσι τῶν ὡρέων οὐκ εὔκρητα, ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκὸς σκληρὰ καὶ εὔτονα [ἢ] καὶ ξανθότερα εἶναι ἢ μελάντερα καὶ τὰ ἤθεα ‖ καὶ τὰς ὀργὰς αὐθάδεάς 802 *τε καὶ ἰδιογνώμονας'. καὶ [τί γὰρ] ἵνα μὴ πολλῶν αὐτοῦ μνημονεύσω ῥήσεων, ἐφεξῆς ἐρεῖ 'εὑρήσεις γὰρ ἐπὶ τὸ πολὺ τῆς χώρης τῇ φύσει ἀκολουθέοντα καὶ τὰ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους.' αὐτὴν δὲ δηλονότι τὴν χώραν κατὰ τὸ θερμόν τε καὶ ψυχρόν, ὑγρόν τε καὶ ξηρὸν ἑτέρας χώρας διαφέρειν εἴρηκε πολλάκις ἐν τῷ συγγράμματι. διὰ τοῦτ' οὖν καὶ πάλιν ἐφεξῆς ἐρεῖ 'ὅκου μὲν γὰρ ἡ γῆ πίειρα καὶ μαλθακὴ καὶ ἔνυδρος καὶ τὰ ὕδατα κάρτα μετέωρα, ὥστε θερμὰ εἶναι τοῦ θέρεος καὶ τοῦ χειμῶνος ψυχρὰ καὶ τῶν ὡρέων καλῶς κέεται, ἐνταῦθα καὶ ⟨οἱ⟩ ἄνθρωποι σαρκώδεές εἰσι καὶ ἄναρθροι καὶ ὑγροὶ καὶ ἀταλαίπωροι*

1. *εὔυδρον* WMVm bene aquosam N *εὔδειον* L. ‖ 2. *τὰ εἴδεα* E. ‖ *ἑαυτοῖσι* codd. ‖ 3. ⟨*τούτων*⟩ om. codd. et N ‖ [*καὶ — γράφει*]* ‖ 5. *ὁκόσοι* E. L. ‖ *λεπτά τε καὶ* E. L. ‖ *ψιλὰ τῇσί τε* E. *ψ.*, *τῇσι δὲ* L. ‖ 6. *οὐκ* (*οὐχ* L) *εὕρηκα* (*εὕρυκα* V) pro *οὐκ εὔκρητα* codd. non facile fluxibiles N; cf. Praef. p. XVII ‖ 7. *σκληρά τε καὶ* E. L. ‖ *εὔτονα ἢ καὶ* codd. *ἔντονα καὶ* L. E. rigorosa et N ‖ flaviora esse N *εἶναι* om. E. L. ‖ 8. *αὐθάδεις* E. ‖ 9. [*τί γὰρ*]* ‖ *ἂν* pro *ἵνα* L ‖ 11. *ἐπὶ τὸ πλῆθος* E. L. ‖ *ἀκολουθοῦντα* codd. ‖ *τὰ ἤθεα* L ‖ 14. *ἑτέρης(ας) χώρης* codd. ‖ 16. *ὅπου* codd. ‖ *μὲν* om. L superscripsit W ‖ *πίηρα* LW pinguis N *πικρά* codd. cett. ‖ 17. *ἔννδρος* W *εὔυ(η)δρος* codd. cett. bene aquosa N ‖ *μετέωρα* codd. aquae valde suspensae N *μ. ἔχουσα* E. L.; cf. XVI 92, 6 ‖ 19. *ὀρέων* L montibus N ‖ *κακῶς κεῖνται* codd. et N ‖ *οἱ ἄνθρ.* E. L. ‖ 20. *ταλαίπωροι* codd.

καὶ τὴν ψυχὴν κακοὶ ὡς ἐπὶ ⟨τὸ⟩ πολύ· τό τε ῥάθυμον καὶ τὸ ὑπνηλὸν ἔνεστιν ἐν αὐτοῖσιν, ἔς τε τὰς τέχνας παχέες καὶ οὐ λεπτοὶ οὐδὲ ὀξέες.' ἐν τούτοις πάλιν ἐδήλωσε σαφέστατα μὴ μόνον τὰ ἤθη ταῖς τῶν ὡρῶν κράσεσιν ἀλλὰ καὶ τὴν ἀμβλύτητα τῆς διανοίας ὥσπερ οὖν καὶ τὴν σύνεσιν ἑπομένην. ὅμοια δὲ τούτοις καὶ τὰ κατὰ τὴν ἐχομένην ῥῆσιν [ὑπ' αὐτοῦ]· γέ-
803 γραπται γὰρ αὐτοῖς ὀνόμασιν 'ὅκου ‖ δέ ἐστιν ἡ γῆ ψιλή τε καὶ ἄνυδρος καὶ τρηχεῖα καὶ ὑπὸ τοῦ χειμῶνος πιεζομένη καὶ ὑπὸ τοῦ ἡλίου κεκαυμένη, ἐνταῦθα ⟨δὲ⟩ σκληρούς τε καὶ ἰσχνοὺς καὶ διηρθρωμένους καὶ εὐτόνους καὶ δασέας τό τε ἐργαστικὸν ὀξὺ ἐνεὸν ἐν τῇ φύσει τῇ τοιαύτῃ καὶ τὸ ἄγρυπνον τά τε ἤθεα καὶ τὰς ὀργὰς αὐθάδεας καὶ ἰδιογνώμονας τοῦ τε ἀγρίου μᾶλλον μετέχοντας ἢ τοῦ ἡμέρου ἔς τε τὰς τέχνας ὀξυτέρους τε καὶ ξυνετωτέρους καὶ τὰ πολέμια ἀμείνονας εὑρήσεις.' ἐν τούτῳ πάλιν τῷ λόγῳ σαφῶς οὐ μόνον τὰ ἤθη ταῖς τῆς χώρας κράσεσιν ἀκόλουθά φησιν ὑπάρχειν ἀλλὰ καὶ πρὸς τὰς τέχνας τοὺς μὲν ὀξυτέρους, τοὺς δ' ἀσυνετωτέρους γίγνεσθαι, τουτέστιν τοὺς μὲν συνετωτέρους, τοὺς δ' ἀμβλυτέρους τε καὶ παχέας τὴν διάνοιαν. οὐκέτ' οὖν δέομαι τῶν κατὰ τὸ δεύ-

1. κακοὶ (κάκιστοι E.) ὡς ἐπὶ τὸ πολὺ (πουλὺ E.) L. κακοὶ ὥστε ἐπὶ πολὺ codd. quare et multa pigritia N ‖ τό γε ῥάθ. codd. ‖ 2. ὑπνηρὸν E. L.; Gal. XVI 92, 7 ὑπνηροί ‖ αὐτοῖς codd.; post αὐτ. add. E. L. ἰδεῖν ‖ 3. παχίες L ταχέες M V(m) ‖ 7. καὶ τὰ κατὰ L τὰ om. codd. cett. ‖ [ὑπ' αὐτοῦ]* ‖ 8. γὰρ L om. codd. cett. ‖ ὅκου δὲ W ὃκ οὐδὲ corr. in ὃν οὐδὲ V ὃν οὐδὲ M ὅπου δὲ m ὧν δὲ L; cf. Praef. p. XVII ‖ γῆ codd. χώρη E. L.; cf. Gal. XVI 318, 14; ib. 92, 7 ‖ 9. ἄνυδρος codd. E. inaquosa N ἀνώχυρος L. ‖ τραχεῖα codd. ‖ 10. ⟨δὲ⟩ E. L.; cf. supra p. 60, 9: οὗτοι δὲ ‖ 11. ἰσχνοὺς E. L. ἰσχυροὺς codd. tenues d tenaces p ‖ 11. ἐντόνους E. L. ‖ 12. δασέας ἂν ἴδοις E. L. ‖ ἐργατικὸν E. L. ‖ 16. συνετωτέρους codd. ‖ ἀμείνονας* cf. Praef. p. XVIII ‖ 22. οὐκέτ' οὐ codd.

τερον καὶ ἕκτον τῶν ἐπιδημιῶν γεγραμμένων φυσιογνωμονικῶν γνωρισμάτων ἁπάντων μνημονεύειν ἀλλ' ἀρκέσει παραγράψαι παραδείγματος ἕνεκα τήνδε τὴν λέξιν αὐτοῦ· 'ᾧ ἂν ἡ φλὲψ ἡ ἐν ἀγκῶνι σφύζῃ, μανικὸς καὶ ὀξύθυμος, ᾧ δὲ ἂν ἀτρεμέῃ, τυφώδης.' κατὰ δὲ τὴν ῥῆσιν ὁ λόγος ἐστὶ τοιοῦτος· ὧν ἀνθρώπων ἡ κατὰ τὸν ἀγκῶνα ἀρτηρία σφοδροτάτην ποιεῖται κίνησιν 804 *αὐτῆς, οὗτοι μανικοί εἰσι. φλέβας μὲν γὰρ καὶ τὰς ἀρτηρίας ἐκάλουν οἱ παλαιοί, ⟨ὡς⟩ δέδεικται πολλάκις, οὐδέπω δὲ πᾶσαν ἀρτηριῶν κίνησιν ὠνόμαζον σφυγμὸν ἀλλὰ μόνον τὴν αἰσθητὴν [αὐτὴν] ἐν τῷ ἀνθρώπῳ πάντως οὖσαν σφοδράν. Ἱπποκράτης δ' ὡς καὶ πρῶτος ἄρξας τοῦ μετὰ ταῦτα κρατήσαντος ἔθους εἴρηκέ [γὰρ] που σφυγμὸν ἅπασαν τῶν ἀρτηριῶν [τὴν] κίνησιν, ὁποία τις ἂν ᾖ· κατὰ μέντοι τήνδε τὴν ῥῆσιν ἔτι τῷ παλαιῷ τρόπῳ τῆς ἑρμηνείας χρώμενος ἐκ σφοδρᾶς κινήσεως ἀρτηρίας ἐτεκμήρατο μανικὸν καὶ ὀξύθυμον ἄνθρωπον, ἐπεὶ διὰ τὸ πλῆθος τῆς ἐν τῇ καρδίᾳ θερμασίας οὕτω σφύζουσιν αἱ ἀρτηρίαι· μανικοὺς μὲν γὰρ καὶ ὀξυθύμους τὸ πλῆθος τῆς θερμασίας ἐργάζεται,*

3. *παραδείγματος** *δείγματος* codd. ostensionis N ‖ 4. *ᾧ ἂν κτλ.* Epid. II 5 (vol. V 130 L. I 502 E.); cf. Galen. XVIII B 88, 9; Plac. Hipp. et Plat. p. 568, 1 ‖ *ὧν ἡ φλέψ* codd. *οὗ ἂν* E. L. ‖ *σφύζῃ* E. L. *σφύζει* codd. ‖ 5. *ᾧ δ' αὖ* M *ὁ δ' αὖ* LVm *ὃ δ' ἂν* W ‖ *ὡς τυφώδης* V *ὡς στυφώδης* LWMm pontici N; cf. Act. Sem. Erl. IV 456 ‖ 6. *ὁ λόγος δὴ (δὲ) τοιοῦτος* codd. sermo . . est talis N ‖ 8. *αὐτῆς** *αὐτῆς* codd. (*αὐτοὶ* m) ‖ 9. ⟨*ὡς*⟩ om. codd. ut demonstratum est N ‖ 10. *πασῶν* codd. omnem motum N ‖ 11. [*αὐτὴν*]* cf. Plac. H. et Pl. p. 568, 5, VIII 75, 15. 498, 9 ‖ *ἐν τῷ ἀνθρώπῳ* MVm *αὐτῷ ἀνθρ.* LW ipsi homini N ‖ 13. *πρῶτος* m *πρώτως* LWMV primo N ‖ *ἄρξασθαι* codd. qui inchoavit N ‖ 14. *γάρ που* codd. dixit alibi N ‖ 15. *ᾖ* Nauck *εἴη* codd. (etiam XVI 203, 13) ‖ 18. *ἐπεὶ γὰρ* L *ἔπειτα* codd. cett. quoniam N ‖ 19. *ἀρτηρίαι· μανικοὺς** *ἀρτ. μαλακῶς καὶ μανικοὺς* LWm *ἀρτ. καλῶς καὶ μ.* MV arteriae: et quoniam maniacos quidem N

νωθροὺς δὲ καὶ βαρεῖς καὶ δυσκινήτους ἡ τῆς κράσεως ψυχρότης.

Cap. IX. *Ἱπποκράτης μὲν ⟨οὖν⟩ ἐπιδείξας ἐν
ὅλῳ ⟨λόγῳ⟩ τῷ περὶ ὑδάτων καὶ ὡρῶν κράσεως ⟨ἑπο-
μένας⟩ ταῖς τοῦ σώματος κράσεσι τὰς τῆς ψυχῆς
δυνάμεις, οὐ μόνον ὅσαι κατὰ τὸ θυμοειδὲς ἢ ἐπιθυ-*
805 *μητικὸν αὐτῆς εἰσιν, ἀλλὰ καὶ τὰς ‖ κατὰ τὸ λογιστι-
κόν, ἁπάντων ἀξιοπιστότατός ἐστι μάρτυς, εἴ τις ἐπι-
μαρτύροιτο, καθάπερ ἐνίοις ἔθος ἐστί, τὴν τῶν δογ-
μάτων ἀλήθειαν. ἐγὼ δ' οὐχ ὡς μάρτυρι πιστεύω
τἀνδρὶ τοῖς πολλοῖς ὡσαύτως ἀλλ' ὅτι τὰς ἀποδείξεις
αὐτοῦ βεβαίας ὁρῶ, διὰ τοῦτο γοῦν καὶ αὐτὸς ἐπαινῶ
τὸν Ἱπποκράτην. τίς γὰρ οὐχ ὁρᾷ τὸ σῶμα καὶ τὴν
ψυχὴν ἁπάντων τῶν ὑπὸ ταῖς ἄρκτοις ⟨ἀνθρώπων⟩
ἐναντιώτατα διακείμενα τοῖς ἐγγὺς τῆς διακεκαυμένης
ζώνης; ἢ τίς οὐκ οἶδε τοὺς ἐν τῷ μέσῳ τούτων, ὅσοι
τὴν εὔκρατον οἰκοῦσι χώραν, ἀμείνους τά τε σώματα
καὶ τὰ τῆς ψυχῆς ἤθη καὶ σύνεσιν καὶ φρόνησιν
ἐκείνων τῶν ἀνθρώπων; ἀλλὰ διά τινας τῶν Πλατω-
νικοὺς μὲν ἑαυτοὺς ὀνομαζόντων, ἡγουμένους δ' ἐμ-
ποδίζεσθαι ⟨μὲν⟩ ἐν ταῖς νόσοις τὴν ψυχὴν ὑπὸ τοῦ
σώματος, ὑγιαίνοντος δὲ τὰς ἰδίας ἐνεργείας ἐνεργεῖν
οὔτ' ὠφελουμένην οὔτε βλαπτομένην ὑπ' αὐτοῦ, παρα-*

3. ⟨*οὖν*⟩ om. codd. Hippocrates quidem igitur N ‖ 4. ⟨*λόγῳ*⟩* in toto sermone qui est de complexione aquarum et horarum N ‖ *κράσει* codd. ‖ ⟨*ἑπομένας*⟩ *ταῖς τοῦ σώματος κράσεσι** sequi ad complexionem corporis N *τὰς περὶ τοῦ σώματος κράσεις καὶ* codd. ‖ 6. *ὅση* L ‖ 7. *καὶ τὸ* L ‖ 8. *ἤ τις* pro *εἴ τις* codd. siquis N ‖ *ἐπιμαρτύροιτο** testificetur N *ἐπιμαρτυροῖτο* Wm *ἐπιμαρτυροῖ* (*-ρεῖ* LM) *τὸ* V ‖ 9. *δογματικῶν* LWm ‖ 12. *αὐτὸς** *αὐτὸν* codd. ‖ 14. ⟨*ἀνθρώπων*⟩ om. codd., non om. N ‖ 15. *τοὺς ἐγγὺς* codd. ‖ 17. *τά τε** *τε τὰ* codd. edd. ‖ 21. ⟨*μὲν*⟩ om. codd. et N ‖ 23. *ἐλαττουμένην* (pro *βλαπτ.*) L ‖ *παραγράψω** scribam N *ἀναγράψω* edd. *παρὸν ἀναγράψω* codd.

γράψω τινὰς ῥήσεις τοῦ Πλάτωνος, ἐν αἷς ἀποφαίνεται διὰ τὴν τῶν τόπων κρᾶσιν εἰς φρόνησιν ὠφελουμένους τε καὶ βλαπτομένους ⟨τοὺς ἀνθρώπους⟩ ἄνευ τοῦ νοσεῖν τὸ σῶμα. ἐν μέν γε τῷ Τιμαίῳ κατὰ τὰ πρῶτα τῶν λόγων ‖ ἔγραψε 'ταύτην δὴ ξύμπασαν τὴν 806 *διακόσμησιν καὶ σύνταξιν ἡ θεὸς προτέρους ὑμᾶς διακοσμήσασα κατῴκισεν ἐκλεξαμένη τὸν τόπον, ἐν ᾧ γεγένησθε, τὴν εὐκρασίαν τῶν ὡρῶν ⟨ἐν αὐτῷ κατιδοῦσα, ὅτι⟩ ἄνδρας οἴσοι φρονιμωτάτους', ἀλλὰ καὶ συνάπτων ἐφεξῆς 'ἅτε οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς οὖσα τὸν προσφερεστάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄνδρας τοῦτον ἐκλεξαμένη πρῶτον κατῴκισεν'. ὅτι μὲν οὖν πολὺ δίδωσι τοῖς τόποις, τουτέστι ταῖς ἐπὶ γῆς οἰκήσεσιν, εἴς τε τὰ τῆς ψυχῆς ἤθη καὶ σύνεσιν καὶ φρόνησιν, ἤδη μὲν κἀκ τούτων ἐστὶ δῆλον, ἀλλὰ κἀν τῷ πέμπτῳ τῶν Νόμων ὧδί πως ἔγραψε· 'καὶ γάρ, ὦ Μέγιλλέ τε καὶ Κλεινία, μηδὲ τοῦθ' ἡμᾶς λανθανέτω περὶ τόπων, ⟨ὡς εἰσὶν ἄλλοι τινὲς διαφέροντες ἄλλων τόπων⟩ πρὸς τὸ γεννᾶν ἀνθρώπους ἀμείνους καὶ χείρους'. ἐναργῶς πάλιν ἐνταῦθα γεννᾶν τοὺς τόπους φησὶν ἀμείνους τε καὶ*

3. ⟨*τοὺς ἀνθρώπους*⟩* quod iuvantur et nocentur homines N ‖ 4. *ἐν μέν γε τῷ Τιμαίῳ κατὰ** in Timaeo quidem secundum principia sermonum N *κατὰ μέν γε τοῦ Τιμαίου τὰ πρῶτα τῶν* codd. ‖ 5. *ταύτην δὴ κτλ.* Tim. p. 24 C ‖ *ταύτην οὖν δὴ τότε* CFHerm. ‖ *ξύμπασαν τὴν* Lm *τὴν ξυμπ.* codd. cett. ‖ 6. *ὑμᾶς* Corn. *ἡμᾶς* codd. ‖ 7. *κατώκησεν* codd. ‖ *ἐκλεξαμένων τῶν τόπων* codd. eligens loca N ‖ *γεγενῆσθαι* codd. ‖ 8. *ἐν αὐτῷ κατιδοῦσα ὅτι* om. codd. et N ‖ 9. *γεννᾶν* pro *οἴσοι* codd. *φρονιμωτάτους ἄνδρας οἴσοι* CFHerm. ‖ 10. *ἵνα τε* pro *ἅτε* codd. ‖ 11. *προσφερέστατον* codd. ‖ 12. *κατώκησεν* codd. ‖ 17. *καὶ γὰρ κτλ.* Legg. p. 747 D ‖ *ὦ Μέγιλλέ τε καὶ Κλεινία** (e Platone), *ὁ μὲν τίλλεται καὶ κλίνει ἃ* codd., om. N ‖ 18. ⟨*ὡς — τόπων*⟩ add. Corn. (cf. ed. Schanz.) om. codd. edd. et N

χείρους ἀνθρώπους. ἐφεξῆς ⟨δὲ⟩ πάλιν ἐπιφέρων τοῖσδέ φησιν 'οἱ μέν γέ που διὰ πνεύματα παντοῖα καὶ εἱλήσεις ἀλλόκοτοί τ' εἰσὶ καὶ ἀναίδεοι αὐτῶν, οἱ δὲ δι' ὕδατα, οἱ δὲ δι' αὐτὴν τὴν ἐκ τῆς γῆς τροφὴν ἀναδιδοῦσαν οὐ μόνον τοῖς σώμασιν ἀμείνω καὶ χείρω, ταῖς ψυχαῖς δ' οὐχ ἧττον δυναμένην πάντα τὰ τοιαῦτα ||
807 ἐμποιεῖν'. ἐν τούτῳ τῷ λόγῳ 'πνεύματα' σαφῶς, ⟨τουτέστι τοὺς ἀνέμους⟩, ⟨καὶ⟩ 'εἱλήσεις', τουτέστι τὰς ἐξ ἡλίου θερμότητας, ⟨δύνασθαί⟩ φησιν εἰς τὰς τῆς ψυχῆς δυνάμεις, εἰ μή τι ἄρα νομίζουσι διὰ μὲν τὰ πνεύματα ⟨καὶ⟩ τὴν τοῦ περιέχοντος ἀέρος θερμότητα καὶ ψυχρότητα καὶ τὴν τῶν ὑδάτων τε καὶ [τὴν] τῆς τροφῆς φύσιν ἀμείνους τε καὶ χείρους τὴν ψυχὴν ἀνθρώπους δύνασθαι γενέσθαι, ταῦτα δ' αὐτὰ μὴ διὰ μέσων τῶν κράσεων ἐργάζεσθαι [τε] κατὰ τὴν ψυχὴν ἀγαθά τε καὶ φαῦλα· καὶ γὰρ καὶ ταῦτ' ἂν εἴη τῇ συνέσει καὶ παιδείᾳ τῶν ἀνδρῶν ἀκόλουθα. ἀλλ' ἡμεῖς γε σαφῶς ἴσμεν, ὡς ἕκαστον ἔδεσμα καταπίνεται μὲν πρῶτον εἰς τὴν γαστέρα, προκατείργασται δ' ἐν αὐτῇ καὶ μετὰ ταῦτα διὰ τῶν ἐξ ἥπατος εἰς αὐτὴν καθηκουσῶν φλεβῶν ἀναληφθὲν ἐργάζεται τοὺς ἐν τῷ σώματι χυμούς, ἐξ ὧν τρέφεται τἆλλα μόρια πάντα καὶ σὺν αὐτοῖς ἐγκέφαλός τε καὶ καρδία καὶ ἧπαρ, ἐν δὲ δὴ τῷ τρέφεσθαι θερμότερα σφῶν αὐτῶν γίγνεται

1. δὲ om. codd. consequenter autem N || 3. δι' εἱλήσεις Herm. Schanz; cf. XVI 319, 9 || ἀνείδεοι codd.; cf. Schanzii not. crit. || 4. ὕδατος codd. propter aquam N || διὰ ταύτην Herm. Schanz || 5. ἀμείνω καὶ χείρω Corn. ἄμεινον καὶ χεῖρον codd. melius et peius N || 6. ταῖς δὲ ψ. Herm. Schanz || 7. ⟨τουτέστι τοὺς ἀνέμους⟩* cf. Praef. p. XLVII. XLVIII || 9. ⟨δύνασθαι⟩* cf. Praef. l. l. || 11. ⟨καὶ⟩ om. codd. || 12. [τὴν] codd. || 15. ἐργάζεσθαί τε codd. || καὶ (pro κατὰ) L || 16. ταύτης L || 17. ἀκολουθεῖν L || ἡμεῖς τε codd. || 20. εἰς αὐτὴν m εἰς om. codd. cett.

*ψυχρότερά τε καὶ ὑγρότερα συνεξομοιούμενα τῇ δυνά-
μει τῶν ἐπικρατούντων χυμῶν. ὥστε σωφρονήσαντες
[καὶ] νῦν γοῦν οἱ δυσχεραίνοντες, ⟨ὅτι⟩ τροφὴ ‖ δύνα-* 808
*ται τοὺς μὲν ⟨σωφρονεστέρους, τοὺς δ' ἀκολαστοτέρους
ἐργάζεσθαι καὶ τοὺς μὲν⟩ ἐγκρατεστέρους, τοὺς δ'
ἀκρατεστέρους καὶ θαρσαλέους καὶ δειλοὺς ἡμέρους
τε καὶ πρᾴους ἐριστικούς τε καὶ φιλονείκους, ἡκέτωσαν
πρός με μαθησόμενοι, τίνα μὲν ἐσθίειν αὐτοὺς χρή,
τίνα δὲ πίνειν. εἴς τε γὰρ τὴν ἠθικὴν φιλοσοφίαν
ὀνήσονται μέγιστα καὶ πρὸς ταύτῃ κατὰ τὰς τοῦ
λογιστικοῦ δυνάμεις ἐπιδώσουσιν εἰς ἀρετὴν συνετώ-
τεροι καὶ μνημονικώτεροι γενόμενοι. πρὸς γὰρ ταῖς
τροφαῖς καὶ τοῖς πόμασι καὶ τοὺς ἀνέμους αὐτοὺς
διδάξω καὶ τὰς τοῦ περιέχοντος κράσεις ἔτι τε τὰς
χώρας, ὁποίας μὲν αἱρεῖσθαι προσήκει, ὁποίας δὲ
φεύγειν.*

Cap. X. *Ἀναμνήσω δὲ πάλιν αὐτούς, κἂν μὴ
θέλωσιν, ὡς ὁ Πλάτων αὐτός, ἀφ' οὗ παρονομάζουσιν
ἑαυτούς, οὐχ ἅπαξ ἢ δὶς ἀλλὰ πολλάκις ἔγραψε περὶ
τούτων. ὡσαύτως δ' οὖν ἀρκέσει μοι προσθεῖναι
⟨ῥήσεις τινὰς⟩ κατὰ τὸν ἐνεστῶτα λόγον, ὧν αἱ μὲν
δύο περὶ οἴνου πόσεώς εἰσιν ἐκ τοῦ δευτέρου τῶν
Νόμων, ⟨ἄλλη δὲ περὶ τροφῆς ἐκ Τιμαίου. Ἡ δ' οὖν
ῥῆσις ἐκ τοῦ δευτέρου τῶν Νόμων⟩ ἥδε· ‖ 'ἆρ' οὐ* 809

3. [*καὶ*] Nauck ‖ ⟨*ὅτι*⟩* ‖ *δύνανται* L ‖ 4. *σωφρονεστέρους — τοὺς μὲν* om. codd , non om. N ‖ 7. *εἰκότως* (pro *ἡκέτωσαν*) codd. veniant ad me N ‖ 8. *προμεμαθησόμενοι* codd. ‖ 12. *μνημονικοὶ* codd. memoratiui N ‖ post *γενόμενοι* add. edd.: '*καὶ φιλομαθέστεροι καὶ φρονιμώτεροι*' ‖ 20. *ἀρκέσει μοι** sufficient mihi N *μοι ἀρκέσει* codd. ‖ 21. ⟨*ῥήσεις τινὰς*⟩* aliquae series N ‖ *αἱ μὲν** *οἱ μὲν* codd. ‖ 23. ⟨*ἄλλη δὲ — Νόμων*⟩* et alia de cibo ex timeo. quae itaque series secundo legum haec est N ‖ 24. *ἆρ' οὐ κτλ.* Legg. p. 666 AB ‖ *ἆρ' οὖν* codd.

νομοθετήσομεν πρῶτον μὲν τοὺς παῖδας μέχρις ⟨ἐτῶν⟩ ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύεσθαι, διδάσκοντες, ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν εἴς τε τὸ σῶμα καὶ τὴν ψυχήν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι, τὴν ἐμμανῆ εὐλαβούμενοι ἕξιν τῶν νέων· μετὰ δὲ τοῦτο οἴνου μὲν γεύεσθαι τοῦ μετρίου μέχρι τριάκοντα ἐτῶν, μέθης δὲ καὶ πολυοινίας ⟨τὸ⟩ παράπαν τὸν νέον ἀπέχεσθαι· τετταράκοντα δὲ ἐπιβαίνοντα ἐτῶν ἐν τοῖς ξυσσιτίοις εὐωχηθέντα καλεῖν τούς τε ἄλλους θεοὺς ⟨καὶ⟩ δὴ καὶ Διόνυσον παρακαλεῖν εἰς τὴν τῶν ⟨πρεσβυτῶν τελετὴν ἅμα καὶ παιδιάν, ἣν τοῖς⟩ ἀνθρώποις ἐπίκουρον τῆς τοῦ γήρως αὐστηρότητος ἐδωρήσατο τὸν οἶνον φάρμακον, ὥστε ἀνίας καὶ δυσθυμίας λήθην γίγνεσθαι μαλακώτερόν ⟨τ'⟩ ἐκ σκληροτέρου τὸ τῆς ψυχῆς ἦθος, καθάπερ εἰς πῦρ σίδηρον ἐντεθέντα, γιγνόμενον καὶ οὕτως εὐπλαστότερον εἶναι;' ἐκ ταύτης τῆς ῥήσεως μεμνῆσθαι παρακαλῶ τοὺς γενναίους Πλατωνικοὺς οὐ μόνον ἃ λέλεκται περὶ πόσεως οἴνου κατ' αὐτὴν ἀλλὰ καὶ περὶ

1. *μέχρι* Herm. Schanz ‖ ⟨*ἐτῶν*⟩ om. codd. usque ad XVIII annos N ‖ 3. *εἴς τε τὸ σῶμα* V²Mm *εἴ ετε τὸ σ.* V¹W *οἴεται τὸ σ.* L offendendo corpus et animam N ‖ 5. *εὐλαβούμενος* codd. ‖ 6. *μὲν ἤδη* Herm. Schanz ‖ 7. ⟨*τὸ*⟩ om. codd. ‖ 8. *τεσσαράκοντα* codd. ‖ *ἐπιβαίνοντα ἐτῶν* Corn. *ἐπιβαινόντων ἐτέων* codd. advenientibus annis N ‖ 9. *ξυσσιτίοις* V² *ξυναιτίοις* LWV¹Mm cum coetanis N ‖ *εὐωχηθέντας* codd. ‖ *τε* Corn. *δὲ* codd. ‖ 10. *θεοὺς δεῖ καὶ Διόν.* codd. oportet et bacchum N ‖ *εἰς τὴν τῶν ἀνθρώπων* (pro *ἀνθρώποις*) *ἐπίκουρον* codd. ad senum enim finem simul et eruditionem et hominum (d, homini p) adiutorium dedit N ‖ 13. *ὥστ' οὖν ἀνίας* codd. ut tristitiae et angustiae obliuio fiat N *ὥστε ἀνηβᾶν ἡμᾶς καὶ* Corn. Herm. Schanz ‖ 14. ⟨*τ'*⟩*; vd. Schanz ‖ 15. *σκληροῦ* codd. ex duriori N ‖ 16. *εὐπλατώτερον* codd. ‖ 17. *μεμνῆσθαι παρακαλῶ** *μ. ποιεῖ* vel *ποιεῖν παρακαλεῖν* codd. *μ. ποιεῖ καλοὺς καὶ γενναίους* edd.

τῆς τῶν ἡλικιῶν διαφορᾶς. ‖ ἐμμανῆ μὲν γὰρ εἶναί 810 φησι τὴν τῶν μειρακίων ⟨φύσιν⟩, αὐστηρὰν δὲ καὶ δύσθυμον καὶ σκληρὰν τὴν τῶν γερόντων, οὐ δήπου διὰ τὸν ἀριθμὸν τῶν ἐτῶν ἀλλὰ κατὰ τὴν τοῦ σώματος [ἔχουσαν] κρᾶσιν τὴν οὖσαν ἑκάστῃ τῶν ἡλικιῶν. ἡ μὲν γὰρ τῶν μειρακίων θερμὴ καὶ πολύαιμος, ἡ δὲ τῶν γερόντων ὀλίγαιμός τε καὶ ψυχρὰ καὶ διὰ τοῦτό γ' αὖ τοῖς μὲν γέρουσιν ὠφέλιμος οἴνου πόσις εἰς συμμετρίαν θερμασίας ἐπανάγουσα τὴν ἐκ τῆς ἡλικίας ψυχρότητα, τοῖς δ' αὐξανομένοις ἐναντιωτάτη· ζέουσαν γὰρ αὐτῶν τὴν φύσιν καὶ σφοδρῶς κινουμένην ὑπερθερμαίνει τε καὶ εἰς ἀμέτρους καὶ σφοδρὰς ἐκβαίνει κινήσεις. ἀλλὰ Πλάτωνι μὲν καὶ ταῦτα καὶ ἄλλα πολλὰ κατὰ τὸ δεύτερον τῶν Νόμων εἴρηται περὶ πόσεως οἴνου τοῖς βουλομένοις ἀναγιγνώσκειν ὠφέλιμα· μόνης δ' ἔτι μιᾶς ἐγὼ ῥήσεως αὐτοῦ μνημονεύσω κατὰ τὸ τέλος εἰρημένης ἁπάντων τῶν περὶ πόσεως οἴνου λόγων, ἔνθα προῄρηται ⟨τὸν⟩ τῶν Καρχηδονίων νόμον. ἔχει δ' ἡ ῥῆσις οὕτως· 'ἀλλ' ἔτι μᾶλλον τῆς Κρητῶν καὶ Λακεδαιμονίων χρείας προσθείμην ἂν ⟨τῷ⟩ τῶν Καρχηδονίων ‖ νόμῳ, μηδέποτε μηδένα ἐπὶ στρατο- 811 πέδου γεύεσθαι τούτου τοῦ πόματος ἀλλ' ὑδροποσίαις

1. οὖν (pro εἶναι) codd. ‖ 2. ⟨φύσιν⟩ om. codd et N ‖ 4. κατὰ (pro διὰ) codd. ‖ 5. [ἔχουσαν] Daremb. Nauck ‖ 7. τε post ὀλίγαιμος om. MVm ‖ 8. γ' αὐτοῖς μὲν codd. ipsis N ‖ ὠφέλιμον L ‖ 10. ἐναντιωτάτη m contrariissima N ἐναντιωτάτην codd. cett. ‖ 18. προῄρηται* ubi praetulit N προείρηται codd. ‖ ⟨τὸν⟩ om. codd. ‖ νόμον* λόγων codd. ‖ 19. ἀλλ' ἔτι κτλ. Legg. p. 674 A ‖ Κρητῶν M κρείττω (κρεῖτον m) LWV sed adhuc aliquis magis in utilitate quam Lacedaemoniorum N ‖ 20. προσθείμην Corn. προστιθείμην marg. Ald. Dresd. προστιθῇ ἂν codd. ponet utique N ‖ ⟨τῷ⟩ om. codd. ‖ 21. νόμον (νόμων) codd. ‖ μηδέποτε μηδένα Corn. μήτε τούς γε μηδένα codd. ‖ ἐπιστρατοπαι (πε)δεύεσθαι τούτου codd. ‖ 22. πώματος Herm. Schanz Nauck;

ξυγγίγνεσθαι τοῦτον τὸν χρόνον ἅπαντα ⟨καὶ⟩ κατὰ πόλιν ⟨μήτε δοῦλον⟩ μήτε δούλην γεύεσθαι μηδέποτε μηδὲ ἄρχοντας τοῦτον τὸν ἐνιαυτὸν ὃν ἂν ἄρχωσι, μηδ' αὖ κυβερνήτας μηδὲ δικαστὰς ἐνεργοὺς ὄντας οἴνου [μὴ] γεύεσθαι τὸ παράπαν μηδὲ ὅστις βουλευσόμενος εἰς βουλὴν ἀξίαν τινὰ λόγου ξυνέρχεται μηδέ γε μεθ' ἡμέραν τὸ παράπαν μηδένα, εἰ μὴ σωμασκίας ἢ νόσων ἕνεκα, μηδ' αὖ νύκτωρ, ⟨ὅταν⟩ ἐπινοῇ τις παῖδας ποιεῖσθαι ἀνὴρ ἢ γυνή. καὶ ἄλλα δὲ πολλὰ ἄν τις λέγοι, ἐν οἷς τοῖς νοῦν τε καὶ νόμον ἔχουσιν ὀρθὸν οὐ ποτέος οἶνος'. ταῦτα τοῦ Πλάτωνος εἰρηκότος οὐκ ἐπὶ τῶν νοσούντων σωμάτων ἀλλ' ἐπὶ τῶν ἀμέμπτως ὑγιαινόντων, εἴ γ' ὑμῖν δοκοῦσιν, ὦ γενναιότατοι Πλατωνικοί, στρατεύεσθαι καὶ ἄρχειν καὶ δικάζειν καὶ κυβερνᾶν ναῦς ὑγιαίνοντες ἄνδρες, ἀποκρίνασθέ μοι τοὐντεῦθεν ἐρωτῶντι, πότερον οὐχ ὥσπερ τις τύραννος ὁ ποθεὶς οἶνος κελεύει τὴν ψυχὴν μήτε νοεῖν ἀκριβῶς, ἃ πρόσθεν ἐνόει, μήτε πράττειν ὀρθῶς, ἃ πρόσθεν ἔπραττε, καὶ διὰ τοῦτο φυλάττεσθαί φησιν
812δ *Πλάτων* ‖ *ὡς πολέμιον; εἰ γὰρ ἅπαξ εἴσω τοῦ σώ-*

cf. Praef. p. XLVIII ‖ *ἀλληλοποσίαις* codd. sed in potu aquae esse N ‖ 1. *συγγίγνεσθαι* vel *συγγίνεσθαι* codd. ‖ *ἅπαντες* codd. hoc tempore toto N ‖ ⟨*καὶ*⟩ om. codd., non om. N ‖ 2. *μήτε δοῦλον* om. codd., non om. N; cf. adn. Schanz ‖ 4. *μήτ' αὖ* codd. ‖ *μήτε δικαστὰς* codd. ‖ *ἐνεργῶς* codd. ‖ 5. *οἴνου μὴ γεύεσθαι* codd. ‖ *βουλευόμενος* codd. (*βουλόμενος* m) ‖ *συμβουλὴν* codd. ‖ 6. *ἀξίαν τῷ λόγῳ* codd. ‖ *συναί(ή)ρεται* codd. ‖ 7. *μηδένα τὸ παράπαν* Herm. Schanz ‖ *σῶμα ἢ σκιᾶς* codd. ‖ 8. *ὅταν* om. codd. et N ‖ 9. *ἢ καὶ γυνὴ* Herm. Schanz ‖ *πάμπολλα* Herm. Schanz ‖ 10. *λέγοιεν ἐν* codd. diceret N ‖ *τοῖς νοῦν γε καὶ νόημα ἔχουσιν* LW *τοῖς νόμοις γε καὶ ἔχουσιν* MVm ‖ 13. *εἶθ'* (*εἴθ'*) codd. ‖ 14. *στρατεύεσθαι* L *στρατεύειν* codd. cett. ‖ *δικάζειν* Cobet Mnem. XI 85 *δοκιμάζειν* codd., om. N ‖ 15. *ἄνδρες* L om. codd. cett. ‖ *οἱ ὑγιαίνοντες* (om. *ἄνδρες*) Cobet ‖ 17. *μήτε τὸ νοεῖν* L

ματος ἀφίκοιτο, καὶ τὸν κυβερνήτην κωλύει, ὡς προσήκει, μεταχειρίζεσθαι τοὺς οἴακας τῆς νεὼς καὶ τοὺς στρατευομένους [μὴ] σωφρονεῖν ἐν ταῖς παρατάξεσι ⟨καὶ⟩ τοὺς δικαστάς, ὁπότε [οὖν] δικαίους εἶναι χρή, ποιεῖ σφάλλεσθαι καὶ πάντας τοὺς ἄρχοντας ἄρχειν κακῶς καὶ προστάττειν [μὲν] οὐδὲν ὑγιές. ἡγεῖται ⟨γὰρ⟩ τὸν οἶνον ἀτμῶν θερμῶν ὅλον τε τὸ σῶμα καὶ μάλιστα τὴν κεφαλὴν πληροῦντα κινήσεως μὲν ἀμετροτέρας αἴτιον γίγνεσθαι τῷ τ' ἐπιθυμητικῷ μέρει τῆς ψυχῆς καὶ τῷ θυμοειδεῖ, βουλῆς δὲ προπετεστέρας τῷ λογιστικῷ. καὶ μήν, εἴπερ οὕτως ἔχει ταῦτα, διὰ μέσης τῆς κράσεως αἱ εἰρημέναι τῆς ψυχῆς ἐνέργειαι φαίνονται βλαπτόμεναι πινόντων ἡμῶν τὸν οἶνον, ὥσπερ γε πάλιν ὠφελούμεναι [τινές]. ἀλλὰ γὰρ τοῦθ' ὑμᾶς, ἐὰν βούλησθε, διδάξω καθ' ἕτερον καιρόν, ἐκ τοῦ θερμαίνειν ὅσα βλάπτειν τε καὶ ὠφελεῖν ἡμᾶς οἶνος πέφυκεν· ἐν δὲ τῷ παρόντι τὴν ἐν τῷ Τιμαίῳ ῥῆσιν παραγράψω, καθ' ἣν προειπὼν ὁ Πλάτων οὕτως· 'ταύτῃ κακοὶ πάντες οἱ κακοὶ διὰ δύο ἀκουσιώτατα γιγνόμεθα· ὧν αἰτιατέον μὲν ἀεὶ τοὺς ⟨φυτεύοντας τῶν⟩ φυτευομένων μᾶλλον ‖ καὶ τοὺς τρέφοντας τῶν 813
τρεφομένων' ἐφεξῆς φησι 'πειρατέον μήν, ὅπῃ τις δύ-

2. *νεὼς** *νηὸς* codd.; cf. Praef. p. XLVIII ‖ *τοῖς στρατευομένοις* LWVM ‖ 3. *μὴ σωφρονεῖν* codd. ‖ ⟨*καὶ*⟩ om. codd., non om. N | 4. [*οὖν*]* quando iustos N ‖ 6. [*μὲν*] et agere quidem N ‖ *γὰρ* om. codd. quale putandum est vinum? N ‖ 7. *ὅλον τὸ* VMm ‖ 10. *θυμοειδὲς* LW ‖ *προπετεστέραν* codd. ‖ 14. [*τινες*]*; non legit N ‖ 18. *προειπὼν** *προσειπὼν* codd. *προσεῖπεν* edd. ‖ 19. *ταύτῃ κτλ.* Tim. p. 87 B ‖ *ταῦτ' ᾖ* codd. ‖ *οἱ κακοὶ* Corn. *ἢ καλοὶ* codd. vel mali omnes vel boni N ‖ 20. *αἰτιατέον* Corn. *αἰτιᾶται* codd. quorum causam ponit N ‖ *τοὺς φυτεύοντας ἀεὶ* Herm. ‖ ⟨*φυτεύοντας τῶν*⟩ om. codd., non om. N ‖ 21. *φυτευομένων* LW *φυτευομένους* VMm super generantes generatis N ‖ 22. *ἐνθυμητέον μὴν* Herm. conandum est N

ναται, καὶ διὰ τροφῆς καὶ δι' ἐπιτηδευμάτων μαθημάτων τε φυγεῖν μὲν κακίαν, τοὐναντίον δ' ἑλεῖν'. ὥσπερ ⟨γὰρ⟩ 'ἐπιτηδεύματα καὶ μαθήματα' κακίας μὲν ἀναιρετικά, γεννητικὰ δ' ἀρετῆς ἐστιν, οὕτω καὶ ἡ 'τροφή'· λεγομένης ⟨τ'⟩ ἐνίοτε τροφῆς [ὑπ' αὐτῶν] οὐ μόνον τῆς ἐπὶ σιτίοις ἀλλὰ καὶ πάσης τῶν παίδων [τε] διαίτης οὐχ οἷόν τε φάναι κατὰ τὸ δεύτερον σημαινόμενον εἰρῆσθαι [μὲν] νῦν ὑπ' αὐτοῦ τὴν τροφήν· οὐ γὰρ τοῖς παισὶν ἀλλὰ τοῖς τελείοις παρακελευόμενος ἔφη 'πειρατέον μήν, ὅπῃ τις δύναται, καὶ διὰ τροφῆς καὶ δι' ἐπιτηδευμάτων μαθημάτων τε φυγεῖν μὲν κακίαν, τοὐναντίον δ' ἑλεῖν'. ἐπιτηδεύματ' οὖν λέγει τὰ [γε] κατὰ γυμναστικήν τε καὶ μουσικήν, μαθήματα ⟨δὲ⟩ τά τε κατὰ γεωμετρίαν καὶ ἀριθμητικήν· τροφὴν δ' οὐκ ἄλλην τινὰ νοεῖν οἷόν τε παρὰ τὴν ἐκ τῶν σιτίων καὶ ῥοφημάτων καὶ πομάτων, ἐξ ὧν ἐστι
814 καὶ οἶνος, ὑπὲρ οὗ πολλὰ διῆλθεν ὁ Πλάτων ‖ ἐν τῷ δευτέρῳ τῶν Νόμων. ὅστις δὲ βούλεται καὶ χωρὶς τούτου γνῶναί τι περὶ πάσης τῆς ἐν ταῖς τροφαῖς δυνάμεως, ἔνεστιν ἀναγιγνώσκειν αὐτῷ τρία ⟨περὶ τοῦδε βιβλία τὰ ἡμέτερα καὶ τέταρτον ἐπ' αὐτοῖς τὸ⟩ περὶ εὐχυμίας τε καὶ κακοχυμίας, οὗ μάλιστα χρῄζομεν εἰς τὸ παρόν. πολλὰ μὲν οὖν ἡ κακοχυμία ταῖς τῆς

3. ⟨γὰρ⟩ om. codd., non om. N ‖ 5. ⟨τ'⟩ ἐνίοτε* cumque dicatur aliquando N ‖ [ὑπ' αὐτῶν]*; cf. Praef. p. XLVIII. IL ‖ 6. μόνης (οις) codd. ‖ 7. τε διαίτης codd., τε non legit N | θερμαινόμενον LW(?) φαινόμενον VMm significatum N ‖ 8. μὲν νῦν codd.; neque μὲν neque νῦν legit N ‖ 9. παρακελευόμενος* ποιεῖν κελευόμενος codd. oportet ait p agere iubens ait d ‖ 12. καλεῖν pro ἑλεῖν codd. ‖ 14. ⟨δὲ⟩ Nauck ‖ τά γε κατὰ codd. ‖ 19. τούτου* ἐμοῦ codd. sine me N ‖ 20. αὐτοῦ codd. ‖ ⟨περὶ τοῦδε — ἐπ' αὐτοῖς τὸ*⟩; tres de hoc libros nostros et quartum ultra eos eum qui de euchimia N τρία περὶ εὐχυμίας codd.; cf. Specim. tert. Erlang. 1886 p. 11

ψυχῆς ἐνεργείαις λυμαίνεται, διασῴζει δ' ἀβλαβεῖς ἡ εὐχυμία.

Cap. XI. *Οὐκ οὖν ἀναιρετικὸς ὅδ' ὁ λόγος ἐστὶ τῶν ἐκ φιλοσοφίας καλῶν ἀλλ' ὑφηγητικός τε καὶ διδασκαλικὸς ⟨καίτοι γ'⟩ ἀγνοούμενος ⟨μέχρι⟩ τινὸς ἐνίοις τῶν φιλοσόφων· οἵ τε γὰρ ἡγούμενοι πάντας ἀνθρώπους ἐπιδεκτικοὺς ἀρετῆς ὑπάρχειν [ὅπερ ἴσον ἐστὶ τῷ μηδένα γενέσθαι φυσικόν] οἵ τε μηδένα τὴν δικαιοσύνην αἱρεῖσθαι αὐτήν, ἐξ ἡμίσεος ἑκάτεροι τὴν ἀνθρωπίνην ἑωράκασι φύσιν. οὔτε γὰρ ἅπαντες ἐχθροὶ φύονται δικαιοσύνης οὔθ' ἅπαντες φίλοι, διὰ τὰς κράσεις τῶν σωμάτων ἑκάτεροι τοιοῦτοι γενόμενοι. πῶς οὖν, φασί, δικαίως ⟨ἂν⟩ τις ἐπαινοῖτο καὶ ψέγοιτο καὶ μισοῖτο καὶ φιλοῖτο γενόμενος πονηρὸς ἢ ἀγαθὸς οὐ δι' ἑαυτὸν ‖ ἀλλὰ διὰ τὴν κρᾶσιν, ἣν ἐξ ἄλλων* 815 *αἰτίων φαίνεται λαμβάνων; ὅτι, φήσομεν, ὑπάρχει τοῦτο πᾶσιν ἡμῖν, ἀσπάζεσθαι μὲν τὸ ἀγαθὸν καὶ προσίεσθαι ⟨καὶ⟩ φιλεῖν, ἀποστρέφεσθαι δὲ καὶ μισεῖν καὶ φεύγειν τὸ κακόν, οὐκέτι προσκεπτομένοις οὔτ' εἰ γενητόν ἐστιν οὔτ' εἰ μὴ γενητόν [οὐκέτι ἕτερον αὐτῷ*

5. *⟨καίτοι γ'⟩ ἀγνοούμενος** *ἀγνοουμένου* codd. ‖ *⟨μέχρι⟩** *τέως* (pro *τινος*) Nauck ‖ 6. *ἐνίοις* Nauck *ἐν αὐτοῖς* codd.; cf. Praef. p. IL ‖ 7. [*ὅπερ — φυσικόν*]* *φθιτὸν* (pro *φυσικὸν*) marg. Ald. Dresd. ‖ 8. *ὅλοι* (*ὅροι, ὅρον*) *τε* pro *οἵ τε* codd. ‖ 11. *φίλοι ἐχθροὶ* WVM *φ. ἢ ἐχθρ.* L ‖ 12. *γιγνόμενοι* codd. facti tales N ‖ 13. *πῶς οὐδέ φασι* LWVM *πῶς δέ φ.* m hinc autem aiunt quo modo N ‖ *⟨ἂν⟩** ‖ 15. *οὐδεὶς δι' ἑαυτὸν* L *οὐδεὶς ἑαυτὸν* WmV^1 *οὐ διὰ σαυτὸν* MV^2 (in marg.) ‖ 16. *ὑπάρχειν* codd. ‖ 18. *προίεσθαι* codd. ‖ *⟨καὶ⟩* ante *φιλεῖν* om. codd., non om. N ‖ *δὲ* ante *καὶ μισεῖν* om. codd., non om. N ‖ 19. *προσκεπτομένοις** non praeconsiderando N *πρόσεστι σκεπτομένοις* codd. edd. *προεσκεμμένοις* Nauck ‖ 20. *οὔτε γενητόν* LWMV (*οὔτ. γεννητόν* m) ‖ *οὔτε μὴ γενητόν* (*γενν.* m) codd. *εἴτε γεννητόν ἐστι εἴτε μὴ* [*γεννητόν*] Nauck; Praef. p. L ‖ [*οὐκέτι — τοιοῦτον*]*

τοιοῦτον ἐποίησεν οὔτε κατεσκεύασεν αὐτῷ τοιοῦτον]. τοὺς γοῦν σκορπίους καὶ τὰ φαλάγγια καὶ τὰς ἐχίδνας ἀναιροῦμεν ὑπὸ τῆς φύσεως γεγονότα τοιαῦτα καὶ οὐχ ὑφ' ἑαυτῶν [ἀγένητόν τε καὶ πρῶτον καὶ μέγιστον θεὸν ὁ Πλάτων λέγων ὁμοίως ἀγαθὸν ὀνομάζει καὶ ἡμεῖς δὲ πάντες φύσει φιλοῦμεν αὐτὸν ὄντα τοιοῦτον ἐξ αἰῶνος, οὐχ ὑφ' ἑαυτοῦ γενόμενον ἀγαθόν· ὅλως γὰρ οὐδ' ἐγένετό ποτε διὰ παντὸς ἀγένητος ὢν καὶ ἀίδιος]. εἰκότως οὖν καὶ τῶν ἀνθρώπων τοὺς πονηροὺς μισοῦμεν οὐ προσλογιζόμενοι τὸ ποιῆσαν αἴτιον αὐτοὺς τοιούτους, ἔμπαλιν δὲ προσιέμεθα καὶ φιλοῦμεν τοὺς ἀγαθούς, εἴτ' ἐκ φύσεως εἴτ' ἐκ παιδείας καὶ διδασκαλίας εἴτ' ἐκ προαιρέσεως καὶ ἀσκήσεως ἐγένοντο τοιοῦτοι. καὶ μέν
816 γε καὶ ἀποκτείνομεν τοὺς ἀνιάτως ‖ πονηροὺς διὰ τρεῖς αἰτίας εὐλόγως· ἵνα μήθ' ἡμᾶς ἀδικήσωσι ζῶντες εἰς φόβον τε τοὺς ὁμοίους αὐτοῖς ἐνάγωσιν ὡς κολασθησομένους ἐφ' οἷς ἂν ἀδικήσωσι, καὶ τρίτον ὅτι αὐτοῖς ἐκείνοις ἄμεινόν ἐστι τεθνάναι διεφθαρμένοις οὕτω τὴν ψυχήν [ὡς ἀνίατον ἔχειν τὴν κακίαν], ὡς μηδ' ὑπὸ τῶν Μουσῶν αὐτῶν παιδεύεσθαι, μή τί γ' ὑπὸ Σωκράτους ἢ καὶ Πυθαγόρου βελτιοῦσθαι δύνασθαι. θαυμάζω δ' ἐν τῷδε τῶν Στωϊκῶν ἅπαντας μὲν ἀνθρώπους εἰς ἀρετῆς κτῆσιν ἐπιτηδείως ἔχειν οἰομένων,

1. *τοὺς γοῦν** *τούς τ' (τε) οὖν* codd. ‖ 4. *ἀφ' ἑαυτῶν* codd. ‖ [*ἀγένητον — ἀΐδιος*]* ‖ *ἀγένητον** *ἀγέννητον* codd.; cf. Procl. Comm. in Plat. r. p. ed. R. Schoell. p. 18 adn.; quamquam *ἀγένητον* ab interpolatore non alienum videtur; de *ἀγένητος* et *ἀγέννητος* cf. Vitelli, Ind. I ad Philop. in Arist. Phys. com. p. 915 ‖ *τὸν* (pro *καὶ*) *πρῶτον* LW ‖ 5. *ὁμοίως** *ὅμως οὖν* codd. ‖ 7. *οὐχ ὑπογενόμενον* codd. non factum a se ipso N ‖ 8. *ἀγένητος** *ἀγέννητος* codd. ‖ 9. *προσλογιζόμενοι* codd. praecogitando N ‖ 11. *δὲ καὶ* LWm ‖ *προιέμεθα* codd. acceptamus N ‖ 14. *ἀποκτενοῦμεν* codd. interficimus N ‖ 19. [*ὡς — κακίαν*]*; cf. Praef. p. XXXVIII ‖ 20. *παιδεύονται* codd.

διαστρέφεσθαι ⟨δ'⟩ ὑπὸ τῶν συζώντων. ἵνα γὰρ ἐάσω τἆλλα πάντα τὰ καταβάλλοντα τὸν λόγον αὐτῶν, ἓν [δὲ] μόνον ἐρωτήσω περὶ τῶν πρώτων γενομένων ἀνθρώπων, οἳ μηδένα πρὸ ἑαυτῶν ἔσχον ἕτερον· ἡ διαστροφὴ πόθεν ἢ ὑπὸ τίνων αὐτοῖς ἐγένετο; οὐχ ἕξουσι λέγειν, ὥσπερ γε κἀν τῷ νῦν χρόνῳ μικρὰ παιδία θεώμενοι πονηρότατα, τίς ἐδίδαξεν αὐτὰ τὴν πονηρίαν, ἀδυνατοῖεν ⟨ἂν⟩ λέγειν, καὶ μάλισθ' ὅταν ᾖ πολλὰ ἅμα μὲν‖ τρεφόμενα τὴν αὐτὴν τροφὴν ὑπὸ τοῖς αὐτοῖς 817
γονεῦσιν ἢ διδασκάλοις ἢ παιδαγωγοῖς, ἐναντιώτατα δὲ ταῖς φύσεσιν. τί γὰρ ⟨ἂν⟩ ἐναντιώτερον εἴη τοῦ κοινωνικοῦ παιδίου τῷ φθονερῷ, καθάπερ καὶ τοῦ ἐλεήμονος τῷ ἐπιχαιρεκάκῳ, τοῦ δὲ δειλοῦ [πρὸς ἅπαντα] τῷ θαρσαλέῳ καὶ τοῦ μωροτάτου τῷ συνετωτάτῳ καὶ τοῦ φιλαλήθους τῷ φιλοψευδεῖ; καὶ φαίνεταί γε τὰ παιδία, κἂν ὑπὸ τοῖς αὐτοῖς γονεῦσι καὶ διδασκάλοις καὶ παιδαγωγοῖς τρέφηται, κατὰ τὰς εἰρημένας ἐναντιώσεις ἀλλήλων διαφέροντα. παραφυλάττειν οὖν δεῖ [εἰπεῖν] τὰ τοιαῦ⟨τα κα⟩τὰ τῶν νῦν φιλοσόφων· ἄμεινον δ' ἐστὶν ἴσως εἰπεῖν οὐ φιλοσόφων ἀλλ' ἐπαγγελλομένων φιλοσοφεῖν· ὡς, εἴ γ' ὄντως ἐφιλοσόφουν, ἐφύλαττον ⟨ἂν⟩ αὐτὸ τοῦτο πρῶτον, ⟨τὸ⟩ ἀπὸ τῶν ἐναργῶς φαινομένων τὰς ἀρχὰς τῶν ἀποδείξεων ποι-

1. *δ'* om. codd., non om. N ‖ 2. *ἓν [δὲ] μόνον** unum solum N *ἓν ⟨τό⟩δε μ.* Nauck ‖ 5. *οὐχ ἕξουσι λέγειν* L *λ. οὐχ ἕξ.* codd. cett. et N ‖ 6. *γε* om. VMm ‖ 8. *⟨ἂν⟩** ‖ 9. in verbo *τρεφόμενα* desinit m, in *θεώμενα* (pro *τρεφόμενα*) desinunt ABG ‖ 11. *⟨ἂν⟩* ChK ‖ *ἐναντιώτατον* codd. magis contrarium d ‖ 12. *κοινικοῦ* LW *κοινοῦ* MV ‖ 13. *[πρὸς ἅπαντα]** ‖ 16. *τοῖς ἄλλοις* codd. ab eisdem N ‖ 18. *παραφυλάττειν** *παραφυλάττει* codd. ‖ δ (pro *οὖν*) codd. ‖ 19. *[εἰπεῖν]** ‖ *τὰ τοιαῦ⟨τα κα⟩τὰ**; cf. Praef. p. L ‖ 22. *⟨ἂν⟩* Cobet Mnem. X 185 ‖ *καὶ τοῦτο* Ch et hoc N *καὶ τούτων* codd. ‖ *⟨τὸ⟩**; cf. Praef. p. XLV ‖ *πρᾶξαί τε* Ch *πρ. γε* codd.

εἴσθαι. καὶ τοῦτ᾽ ἐοίκασι μάλιστα πάντων οἱ παλαιότατοι πρᾶξαί τε καὶ κληθῆναι σοφοὶ παρὰ τοῖς ἀνθρώποις οὔτε συγγράμματα γράφοντες οὔτε διαλεκτικὴν ἢ φυσικὴν ἐπιδεικνύμενοι θεωρίαν ἀλλ᾽ ἐξ αὐτῶν μὲν
818 *τῶν ‖ ⟨ἐναργῶς φαινομένων τῆς θεωρίας ἀρξάμενοι τῶν⟩ ἀρετῶν, ἀσκήσαντες δ᾽ αὐτὰς ἔργοις, οὐ λόγοις. οὗτοι γοῦν οἱ φιλόσοφοι βλέποντες εὐθὺς ἐξ ἀρχῆς τὰ παιδία, κἂν ἄριστα παιδεύηται καὶ μηδὲν ἔχῃ θεάσασθαι παράδειγμα κακίας, ὅμως ἁμαρτάνοντα [τινὲς μὲν αὐτῶν φύσει κακοὺς ἅπαντας ἀνθρώπους ἀπεφήναντο, τινὲς δ᾽ ὀλίγου δεῖν ἅπαντας] — σπάνιον γὰρ ὄντως ἔστι θεᾶσθαι παιδίον ἄμεμπτον — οἱ μὲν οὐδενὸς ὄντος τοιούτου πάντας ἀνθρώπους ἀπεφήναντο φύσει κακοὺς ὑπάρχειν, οἱ δ᾽ ἕνα ἢ δύο που κατὰ ⟨τὸ⟩ σπάνιον ἰδόντες οὐ πάντας ἀλλὰ τοὺς πλείστους ἔφασαν εἶναι κακούς. εἰ γάρ τις, οὐκ ⟨ὢν⟩ ἐπιτρίπτων τε καὶ φιλονείκων, ἐθελήσειεν [ἂν] ἐλευθερίᾳ γνώμῃ καθάπερ οἱ παλαιοὶ φιλόσοφοι τὰ πράγματα θεάσασθαι, παντάπασιν ὀλίγους παῖδας εὑρήσει πρὸς ἀρετὴν εὖ πεφυκότας καὶ παύσεται πάντας μὲν ἡμᾶς ἡγούμενος εὖ πεφυκέναι, διαστρέφεσθαι δ᾽ ὑπὸ τῶν [ἐξεπιτιμώντων] γονέων τε καὶ παιδαγωγῶν καὶ διδασκάλων· οὐ*

5. ⟨*ἐναργῶς — τῶν*⟩* ab his quidem quae evidenter apparent incipientes theoriam uirtutum moralium N ‖ 6. *αὐτὰς** *αὐτοὺς* codd. ‖ 7. *γοῦν** igitur N *νῦν* codd. ‖ 9. [*τινὲς — ἅπαντας*]* ‖ 11. *ὀλίγου δεῖν** *οὐδὲ* Ch paulo minus omnes N *δ᾽ ἃ δεῖν* (scriptura incerta) L *δ᾽ δ* spat. vac. 5 litter. *δεῖν* WMV ‖ *ὄντος τοιούτου* MV^2 *ὄντες τοιοῦτον* LW *ἂν ὄντες τοιοῦτον* V^1 qui igitur nullum talem viderunt N ‖ 14. ⟨*τὸ*⟩* cf. Praef. p. LI ‖ 16. *οὐκ* add. Ch om. codd. ‖ ⟨*ὢν*⟩* si enim aliquis spernens altercationes uoluerit N; Praef. p. LII ‖ 17. [*ἂν*]* ‖ 20. verba a *καὶ παύσεται* usque ad *πεφυκέναι* continuata om. N ‖ 21. *εὖ** *δὲ* L *καὶ* WMV ‖ 21. [*ἐξεπιτιμώντων*]* (ab increpantibus N) *ἐξεστηκότων* Nauck; cf. Praef. p. LII. LIII ‖ 22. *οὐ γὰρ ἂν ἄλλοις . . ἐν-*

γὰρ δὴ ἄλλοις γέ τισιν ἐντυγχάνει τὰ παιδία. πάνυ δ' εὐήθεις εἰσὶ καὶ οἵ διαστρέφεσθαι λέγοντες ἡμᾶς ὑπό τε ‖ τῆς ἡδονῆς καὶ τοῦ ἄλγους, τῆς μὲν ἑλκούσης 819 ⟨πρὸς ἑαυτήν⟩, τοῦ δ' ἀποτρεπτικοῦ τε καὶ τραχέος ὄντος. εἰ μὲν γὰρ πάντες ᾠκειώμεθα πρὸς τὴν ἡδονήν, οὐκ οὖσαν ἀγαθὸν ἀλλ', ὡς ὁ Πλάτων ἔφη, δέλεαρ μέγιστον κακοῦ, φύσει κακοὶ πάντες ἐσμέν, εἰ δ' οὐ πάντες ἀλλά τινες, ἐκεῖνοι μόνοι φύσει μοχθηροὶ τυγχάνουσιν ὄντες. καίτοι γ' εἰ μὲν μηδεμίαν ἔχομεν ἑτέραν ἐν ἡμῖν δύναμιν ᾠκειωμένην μᾶλλον ἡδονῆς, ⟨ἰσχυροτέρα πως ἔσται⟩ ἡδονὴ τῆς ἀρετῆς, ἥτις κρείττων τῆς πρὸς τὴν ἡδονὴν ἀγούσης ἡμᾶς ἐστι δυνάμεως κἂν οὕτως εἴημεν ἅπαντες κακοὶ τὴν μὲν κρείττονα δύναμιν ἀσθενεστέραν, ἰσχυροτέραν δὲ τὴν μοχθηρὰν ἔχοντες· εἰ δ' ἡ κρείττων ἐστὶν ἰσχυροτέρα, τίς τοὺς πρώτους ἀνθρώπους ἀνέπεισεν ὑπὸ τῆς ἀσθενεστέρας νικηθῆναι; ταῦτ' οὖν αὐτὰ τῶν Στωϊκῶν ἐμέμψατο καὶ ὁ πάντων ἐπιστημονικώτατος Ποσειδώνιος, ⟨ὃς⟩ ἐν οἷς ἐπαίνων ἐστὶ μεγίστων ἄξιος, ἐν τούτοις αὐτοῖς [μὲν] ὑπὸ τῶν ἄλλων οὐκ ἐπαινεῖται Στωϊκῶν· ἐκεῖνοι μὲν γὰρ ἔπεισαν ἑαυτοὺς τὴν πατρίδα μᾶλλον ἢ δόγ-

τυγχάνοι Nauck; cf. Praef. p. LIII ‖ 2. οἵ διαστρέφεσθαι M Daremb. οἶδε στρ. codd. cett. ‖ 3. τοῦ ἄλγους, τῆς μὲν Nauck τό γε αὐτῆς μὲν codd. ‖ ἑλκούσης ⟨πρὸς ἑαυτήν⟩ Nauck ἐχούσης πολύ codd.; cf. Praef. p. LIII. LIV ‖ 5. ᾠκειώμεθα Nauck που οἰκειωθώμεθα LW προσοικειωθώμεθα M πος (superscr. πως) οἰκ. V ‖ 6. Πλάτων; cf. Tim. p. 69 D ‖ 9. καίτοι γ'* ἐπεὶ τοίνυν codd. ‖ 10. ᾠκειωμένην* οἰκειωμένην WMV οἰκειώμεθα L ‖ ἡδονῆς κτλ. usque ad κρείττων τῆς* ἡδονῆ μᾶλλον ἀρετὴν μᾶλλον ἡδονῆς ἥτις ἰσχυροτέρα τῆς πρὸς codd.; cf. Praef. p. LIV ‖ 12. δυνάμεως* φύσεως codd. ‖ 15. εἰ δ' ἡ* εἰ δὴ Daremb. ἤδη LW ἢ VM ‖ κρεῖττον LW κρείττονος M (-ωνος) V ‖ ἰσχυρότερον LW ‖ 18. ⟨ὃς⟩* Nauck ‖ 20. [μὲν]* ‖ οὐκ ἐπαινεῖται Daremb. Cobet (Mnem. X 146) αἷς (pro οὐκ) ἕπεται codd. ‖ 21. τὰ δόγματα

ματα προδοῦναι, Ποσειδώνιος δὲ τὴν τῶν Στωϊκῶν
820 *αἵρεσιν μᾶλλον ‖ ἢ τὴν ἀλήθειαν. διὰ τοῦτο κατά τε*
τὴν περὶ τῶν παθῶν πραγματείαν ἐναντιώτατα φρονεῖ
Χρυσίππῳ κἀν τοῖς περὶ τῆς διαφορᾶς τῶν ἀρετῶν,
πολλὰ μὲν ὧν εἶπε Χρύσιππος ἐν τοῖς λογικῶς ζητου-
μένοις περὶ τῶν παθῶν τῆς ψυχῆς μεμψάμενος, ἔτι δὲ
πλείω τῶν ἐν τοῖς περὶ τῆς διαφορᾶς τῶν ἀρετῶν.
οὐ τοίνυν οὐδὲ Ποσειδωνίῳ δοκεῖ τὴν κακίαν ἔξωθεν
ἐπεισιέναι τοῖς ἀνθρώποις οὐδεμίαν ἔχουσαν ἰδίαν
ῥίζαν ⟨ἐν⟩ ταῖς ψυχαῖς ἡμῶν, ὅθεν ὁρμωμένη βλα-
στάνει τε καὶ αὐξάνεται, ἀλλ' αὐτὸ τοὐναντίον εἶναι.
καὶ γὰρ καὶ τῆς κακίας ἐν ἡμῖν αὐτοῖς σπέρμα· καὶ
δεόμεθα πάντες οὐχ οὕτω τοῦ φεύγειν τοὺς πονηροὺς
ὡς τοῦ διώκειν τοὺς καθαρίσοντάς τε καὶ κωλύσοντας
ἡμῶν τὴν αὔξησιν τῆς κακίας. οὐ γάρ, ὡς οἱ Στωϊκοί
φασιν, ἔξωθεν ἐπεισέρχεται ταῖς ψυχαῖς ἡμῶν τὸ σύμ-
παν τῆς κακίας, ἀλλὰ τὸ πλέον ἐξ ἑαυτῶν ἔχουσιν οἱ
πονηροὶ τῶν ἀνθρώπων, ἔξωθεν δ' ἔλαττον τούτων
πολλῷ τὸ ἐπεισερχόμενόν ἐστιν. ἐκ τούτου μὲν οὖν
ἐθισμοί τε γίγνονται μοχθηροὶ τῷ τῆς ψυχῆς ἀλόγῳ
821 *μέρει καὶ δόξαι ψευδεῖς τῷ λογιστικῷ, καθάπερ ‖ ὅταν*
ὑπὸ καλοῖς καὶ ἀγαθοῖς ἀνδράσι παιδευώμεθα, δόξαι
μὲν ἀληθεῖς, ἐθισμοὶ δὲ χρηστοί . . . . ταῖς κράσεσι

Ch K; cf. VIII 158, 8 ‖ 2. *κατά τε** *κατά γε* codd. ‖ 4. *κἀν** *ἐν* codd. ‖ 5. *ὧν* MV Daremb. *οὖν* LW ‖ 6. *περὶ τῆς διαφορᾶς τῶν** *περὶ διαφορῶν τῶν* codd. ‖ 10. ⟨*ἐν*⟩* in animabus N ‖ *ὁρμωμένη** *ὁρῶμεν εἰ* codd. ‖ 11. *αὐξάνεται** *αὐξάνει τε* LWV *αὐξάνει* M ‖ *αὐτὸ** *αὐτὰ* codd. ‖ *εἶναι* Ch K *οὖν* codd. ‖ 13. *πάντη* L ‖ 14. *τοῦ διώκειν* Ch K *τὸ δ.* codd. ‖ *καθαρίσοντας* Ch K *καθαρίσαντας* codd. *καθαιρήσοντας* Nauck; cf. Praef. p. LV ‖ *κωλύσοντας* Ch K *κωλύσαντας* codd. repellere et prohibere N ‖ 16. *τὸ* [*σύμπαν*] Nauck ‖ 18. *ἔλαττον* Daremb. *ἐλάττω* codd. ‖ 21. *δόξαις* LW ‖ 23. *δὲ* K *τε* MV Ch *καὶ* LW ‖ Post *χρηστοί* lacuna statuenda*

δ' ἕπεται κατὰ μὲν τὸ λογιστικὸν ἀγχίνοιά τε καὶ μωρία κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον· αἱ κράσεις δ' αὗται τῇ τε πρώτῃ γενέσει καὶ ταῖς εὐχύμοις διαίταις ἀκολουθοῦσιν, ὥστε συναυξάνειν ἄλληλα ταῦτα. διὰ γοῦν τὴν θερμὴν κρᾶσιν ⟨οἱ⟩ ὀξύθυμοι γιγνόμενοι ταύταις πάλιν ταῖς ὀξυθυμίαις ἐκπυροῦσι τὴν ἔμφυτον θερμασίαν· ἔμπαλιν δ' οἱ σύμμετροι ταῖς κράσεσι συμμέτρους τὰς τῆς ψυχῆς κινήσεις ἔχοντες εἰς εὐθυμίαν ὠφελοῦνται. ὥσθ' ὁ μὲν ἡμέτερος λόγος ὁμολογεῖ τοῖς ἐναργῶς φαινομένοις ἐξηγούμενος τὰς αἰτίας ὧν μὲν ὑπ' οἴνου καὶ φαρμάκων τινῶν πάσχομεν, ὧν δ' ὑπὸ διαίτης ἀγαθῆς καὶ κακῆς, ὥσπερ γε καὶ ὠφελούμεθά τε καὶ ⟨βλαπτόμεθα⟩ δι' ἐπιτηδευμάτων τε καὶ μαθημάτων, οὐχ ἥκιστα δὲ καὶ τῆς φυσικῆς διαφορᾶς τῶν παίδων ἀποδιδοὺς τὴν αἰτίαν. οἱ δ' οὐκ ἐκ τῆς τοῦ σώματος κράσεως ἡγούμενοι τὴν ψυχὴν ὠφελεῖσθαί τε καὶ βλάπτεσθαι περί τε τῆς τῶν παίδων διαφορᾶς οὐδὲν ἔχουσι λέγειν ὧν τ' ἐκ τῆς διαίτης ὠφελούμεθα, οὐδενὸς ‖ ἔχουσιν αἰτίαν ἀποδοῦναι, καθάπερ οὐδὲ τῆς 822
ἐν τοῖς ἤθεσι διαφορᾶς, καθ' ἣν τὰ μὲν θυμικά, τὰ δ' ἄθυμα καὶ τὰ μὲν συνετά, τὰ δ' οὐ φαίνεται. ἐν Σκύθαις μὲν γὰρ εἷς ἀνὴρ ἐγένετο φιλόσοφος, Ἀθήνησι δὲ πολλοὶ τοιοῦτοι· πάλιν δ' ἐν Ἀβδήροις ἀσύνετοι πολλοί, τοιοῦτοι δ' Ἀθήνησιν ὀλίγοι.

1. *καὶ* ante *μωρία* om. LW ‖ 2. *κατὰ τὸ* Ch K *καὶ τὸ* codd. et N ‖ 4. *ὥστε* (vel *ὡς*)* *καὶ* codd. ‖ *συναυξάνειν* L — *ει* codd. cett. ‖ *ἀλλήλοις* Nauck ‖ 5. ⟨*οἱ*⟩* ‖ 7. *συμμέτρους** commoderatos habentes motus animae N, *συμμέτρως* codd. ‖ 9. *ὠφελοῦνται* Ch K *ὠφελεῖται* codd. ‖ 10. *ὧν μὲν — ὧν δ'** (Act. Sem. Erl. II 238); *αἰτίας ὥσθ' ὑπ' οἴνου καὶ φαρμάκων τινῶν φασκομένων δ'* codd. ‖ 13. ⟨*βλαπτόμεθα*⟩* ‖ 15. *οὐκ** *οὖν* codd. ‖ 20. *ἤθεσι* V *ἔθεσι* LWM ‖ 21. *ἢ* pro *οὐ* L

IV.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΗΣ ΤΑΞΕΩΣ ΤΩΝ ΙΔΙΩΝ ΒΙΒΛΙΩΝ ΠΡΟΣ ΕΥΓΕΝΙΑΝΟΝ.

Vol. XIX 49 K. *Καλῶς μοι δοκεῖς, ὦ Εὐγενιανέ, γενέσθαι τι βι-
βλίον ἠξιωκέναι τὴν τάξιν τῶν ὑπ' ἐμοῦ γεγραμμένων
ἐξηγούμενον· οὔτε γὰρ εἷς αὐτῶν ἁπάντων ὁ σκοπὸς
οὔτε δύναμις οὔτ' ἐπαγγελία. τὰ μὲν γὰρ φίλων, ὡς
οἶσθα, δεηθέντων ἐγράφη τῆς ἐκείνων μόνον ἕξεως
στοχαζόμενα, τινὰ δὲ μειρακίοις εἰσαγομένοις ὑπηγο-*
50 *ρεύθη, σκοπὸν ἐπ' οὐδε‖τέρων ἔχοντός μου διαδοθῆναι
τοῖς ἀνθρώποις αὐτὰ φυλαχθῆναί τε τῷ μετ' ἐμὲ χρόνῳ
διὰ τὸ θεάσασθαί με καὶ τῶν ἐν τοῖς ἔμπροσθεν γε-
γραμμένων βιβλίων ὀλίγους πάνυ τῶν ἀνθρώπων
αἰσθανομένους. θαυμάζουσι γοῦν ἄλλος ἄλλον ἰατρῶν
τε καὶ φιλοσόφων οὔτε τὰ αὐτῶν μεμαθηκότες οὔτ'
ἐπιστήμην ἀσκήσαντες ἀποδεικτικήν, ᾗ διακρῖναι δυνή-
σονται τοὺς ψευδεῖς λόγους τῶν ἀληθῶν, ἀλλ' ἔνιοι
μὲν ὅτι πατέρας ἔσχον ἤτοι γ' ἐμπειρικοὺς ἢ δογματι-
κοὺς ἢ μεθοδικούς, ἔνιοι δ' ὅτι διδασκάλους, ἄλλοι δ'
ὅτι φίλους ἢ διότι κατὰ τὴν πόλιν αὐτῶν ἐθαυμάσθη
τις ἀπὸ τῆσδε τῆς αἱρέσεως. οὕτω δὲ κἀπὶ τῶν φιλο-
σοφίας αἱρέσεων ἄλλος κατ' ἄλλην αἰτίαν ἤτοι Πλα-*

8. *μετ' ἐμὲ* Ch K *μεθ' ἐμοῦ* QAB ‖ 11. *θαυμάζουσι* Ch K *θαυμάσει* QAB ‖ 12. *αὐτῶν* ἑαυτῶν* Q edd. ‖ 18. *κἀπὶ τῶν* καὶ τῶν* Q edd. ‖ *τῶν φιλοσοφίας* Q *τῶν κατὰ τὴν φιλοσοφίαν* edd.

τωνικὸς ἢ Περιπατητικὸς ἢ Στωικὸς ἢ Ἐπικούρειος ἐγένετο, νυνὶ δ' ἀφ' οὗ καὶ διαδοχαὶ ⟨τῶν⟩ αἱρέσεών εἰσιν, οὐκ ὀλίγοι κατὰ τήνδε τὴν πρόφασιν ἀναγορεύουσιν ἑαυτοὺς ἀπὸ τῆς αἱρέσεως, ὅθεν ἀνατρέφονται, μάλισθ' ὅταν ἀπορῶσιν ἀφορμῆς ἑτέρας βίου. ἐγὼ μὲν δὴ [μοι] πεπεικὼς ἐμαυτόν, ὡς οὐδ' ἂν ὑπὸ τῶν Μουσῶν αὐτῶν γραφῇ τι βιβλίον, ἐντιμότερον ἔσται τοῦτο τῶν ‖ τοῖς ἀμαθεστάτοις γεγραμμένων, οὐκ 51
ὠρέχθην οὐδεπώποτε τῶν ἐμῶν ὑπομνημάτων οὐδὲν ἐν τοῖς ἀνθρώποις εἶναι· διαδοθέντων δ' εἰς πολλοὺς αὐτῶν ἄκοντος ἐμοῦ, καθάπερ οἶσθα, πρὸς τὸ διδόναι τι τοῦ λοιποῦ τοῖς φίλοις ὑπόμνημα λίαν ὀκνηρῶς ἔσχον. ἠναγκάσθην δὲ διὰ ταῦτα καὶ βιβλίον τι γράψαι περὶ τῆς ἀρίστης αἱρέσεως, οὐ τοιοῦτον οἷον πολλοὶ τῶν ἔμπροσθεν ἔγραψαν ἰατρῶν τε καὶ φιλοσόφων ὀνομαστὶ τὴν ἑαυτῶν αἵρεσιν ἐπαινοῦντες, ἀλλὰ τὴν ὁδὸν αὐτὴν μόνον ἐνδεικνύμενος, ᾗ τις ἂν χρώμενος ⟨τὴν⟩ ἀρίστην αἵρεσιν συστήσαιτο ἢ κατ' ἰατρικὴν ἢ τιν' ἄλλην τέχνην. εἴρηται δ' ἐν αὐτῷ καὶ δέδεικται τὸ λεγόμενον ὀλίγον ἔμπροσθεν, ὡς ἀποδείξεως ἐπιστήμονα χρὴ γεγονέναι πρότερον, ὅστις ἂν μέλλῃ κριτὴς ὀρθὸς ἔσεσθαι τῶν αἱρέσεων. οὐκ ἀρκεῖ δ' οὐδὲ τοῦτο μόνον ἀλλὰ καὶ πάθους ἀπηλλάχθαι ⟨χρή⟩, καθ' ὃ φιλοῦντες ἢ μισοῦντες τὰς αἱρέσεις [οὐχ ὡς] οἱ πολλοὶ τυφλώττουσιν ἀμφ' αὐτάς· εἰ γάρ ⟨τις⟩ μὴ τοῦτ' ἔχων

2. *διαδοχαὶ* Ch K *διαδοχή* QAB ‖ ⟨*τῶν*⟩* ‖ 3. *ἀναγορεύουσιν* Ch K *ἀναγορεύουσί τε* QAB ‖ 6. [*μοι*]* cf. Praef. p. LVI ‖ 13. *διὰ ταῦτα** *διὰ τοῦτο* Q edd.; cf. ed. Erl. m. p. 19 ‖ 17. *μόνον** *μόνην* Q edd. ‖ *ᾗ τις* edd. *εἴ τις* Q ‖ 18. ⟨*τὴν*⟩* ‖ 23. ⟨*χρή*⟩*; cf. Praef. p. LVII ‖ *καθ' ὃ** *καθὸ* Q edd. ‖ 24. [*οὐχ ὡς*]* *τελέως* vel *αἰσχρῶς* Eberh. l. l. ‖ 25. ⟨*τις*⟩* cf. Praef. p. LVIII

ἐθελήσειεν ἤτοι κατὰ μέθοδον ἐπιστημονικὴν αὐτὸς ζητῆσαι τἀληθὲς ἢ τὰ τοῖς ἄλλοις εἰρημένα κρῖναι,
52 *μόνος ‖ ἂν οὗτος ἐξεύροι τὴν ἀρίστην αἵρεσιν. ἐπίστασαι δὲ καὶ σὺ τοὺς πολλοὺς τῶν ἰατρῶν τε καὶ φιλοσόφων, ὅταν ἐξελέγχωνται, ὡς μηδὲν ἀποδεικτικὴν μέθοδον ἠσκηκότας, ἐπ' ἐναντίας ὁδοὺς ἐκτρεπομένους καὶ τοὺς μὲν αὐτῶν μηδ' εἶναι φάσκοντας ἀπόδειξιν, ἐνίους δ' οὐ μόνον ὑπάρχειν ἀπόδειξιν ἀλλὰ καὶ γιγνώσκεσθαι φύσει πᾶσιν, ὡς μηδὲν εἰς τοῦτο μήτε μαθήσεως δεῖσθαί τινα μήτ' ἀσκήσεως· οἷς πῶς ἂν ἔτι διαλέγοιτό τις εἰς τοσοῦτον ἐμπληξίας ἥκουσιν; ἀλλά τις ἴσως αὐτῶν ἐρεῖ — καὶ γὰρ τολμηρότατοί πώς εἰσι περὶ ὧν οὐκ ἴσασιν ἀποφαίνεσθαι — τὴν τόλμαν ἐν ἐμοὶ μᾶλλον εἶναι. ἵν' οὖν μήτ' αὐτὸς ἀκούω ταῦτα μήτε πρὸς ἑτέρους ἀναγκάζωμαι λέγειν, ἐγνώκειν μηδὲν ἐκδιδόναι βιβλίον. ἀλλὰ τῶν γε τοῖς φίλοις δοθέντων ἐκπεσόντων εἰς πολλοὺς ἐγράφη μὲν ἐξ ἀνάγκης δι' ἐκεῖνα καὶ τὸ περὶ τῆς ἀρίστης αἱρέσεως, εἴρηται δ' ἐν αὐτῷ καὶ ἡ τῆς γραφῆς αἰτία. ταῦτά τ' οὖν εἴ τις ἀναγιγνώσκειν ἐθέλοι πρῶτα πάντων, ὀρθῶς ποιήσει, καὶ εἰ πεισθεὶς αὐτοῖς ἀποδεικτι-*
53 *κὸς γενέσθαι βου‖ληθείη, πρὶν ἐπὶ τὴν μάθησίν τε καὶ κρίσιν ἥκειν ἁπασῶν τῶν αἱρέσεων, ἔχει πραγματείαν τὴν ὑφ' ἡμῶν γεγραμμένην, τὴν περὶ ἀποδείξεως, ἧς ἐὰν μὴ μόνον μάθῃ τὰς μεθόδους ἀλλὰ καὶ γυμνάσηται κατ' αὐτάς, ἐπὶ πάσης ὕλης πραγμάτων ἐξευρήσει*

1. *αὐτὸς** *αὐτὸ* Q edd. ‖ 5. *μηδὲν* edd. *μὴδ' οὖν* Q ‖ 10. *μήτε μαθήσεως* B ChK *μὴ μαθ.* QA ‖ 15. *ἀναγκάζωμαι** *ἀναγκάζομαι* QAB *ἀναγκάζωμεν* ChK ‖ 17. *ἐκπεσόντων* ChK *ἐκπεσόντα* QAB ‖ 20. *ταῦτά τ' οὖν* cf. Praef. p. LVIII ‖ 21. *ποιήσοι* Q ‖ 23. *ἁπασῶν** *ἁπάντων* Q edd. ‖ 25. *μόνον* Marqu. Philol. Anz. VII 25 *μόνας* Q edd. ‖ *ἀλλὰ καὶ** *ἀλλὰ κἂν* Q edd.

τὴν ἀλήθειαν, ἐάν γ' ἐραστὴς ὑπάρχῃ καὶ μὴ κατὰ πάθος ἄλογον αἱρῆταί τι, καθάπερ οἱ περὶ τὰς διαφορὰς τῶν χρωμάτων ἐν ταῖς ἱπποδρομίαις ἐσπουδακότες· ὁ δ' αὐτὸς οὗτος ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις παραγενόμενος ἐξευρήσει τά τ' ἀληθῶς ἄλλοις ἐγνωσμένα καὶ ψευδῶς ὑπειλημμένα.

Cap. II. *Μία μὲν οὖν ἥδε τῶν ἡμετέρων ὑπομνημάτων ἐστὶν ἀρχὴ τῆς ἀναγνώσεως ἐκείνοις τῶν ἀνδρῶν, ὅσοι καὶ φύσει συνετοὶ καὶ ἀληθείας ἑταῖροι· χωρὶς δὲ ταύτης ἐάν τις ἡμῶν αὐτῶν ᾖ πεπειραμένος ἐπί τε τοῦ βίου παντὸς καὶ κατὰ ⟨τὰ⟩ τῆς τέχνης ἔργα [τάχα ἐπ' αὐτῶν τῶν νοσούντων], ὥστε πεπεῖσθαι περὶ μὲν τοῦ τρόπου τῆς ψυχῆς ὅτι χωρὶς ἔχθρας ἢ φιλονεικίας ἢ φιλίας ἀλόγου πρὸς αἵρεσίν τινα πάντα πράττομεν ⟨ἀεί⟩, περὶ ⟨δὲ⟩ τῶν ἔργων τῶν κατὰ τὴν τέχνην ὅπως μαρτυρεῖ τῇ τῶν δογμάτων ‖ ἀληθείᾳ,* 54 *καὶ χωρὶς τῆς ἀποδεικτικῆς θεωρίας οὗτος ὠφελεῖσθαι δυνήσεται πρὸς τῶν ἡμετέρων ὑπομνημάτων, οὐ κατ' ἐπιστήμην ἀκριβῆ τῶν πραγμάτων (τοῦτο γὰρ ὑπάρχει μόνοις τοῖς ἀποδεικτικοῖς) ἀλλὰ κατὰ δόξαν ὀρθήν, ὑπὲρ ἧς εἰκότως εἴρηται τοῖς παλαιοῖς ὡς εἰς μὲν τὰς πράξεις οὐδὲν ἐπιστήμης ἀπολείπεται, τὸ μόνιμον δ' αὐτῇ καὶ βέβαιον οὐ πρόσεστιν. ἀναγνώσεται τοιγαρ-*

2. *αἱρῆται** *αἱρήσηται* Q edd; cf. Praef. p. LIX ‖ *τι* Ch K *τις* QAB ‖ 5. *τά τ' ἀληθῶς** *τ' ἀλ.* Q edd. ‖ *ἄλλοις** *αὐτοῖς* Q edd.; cf. Praef. p. LIX ‖ 6. *καὶ ψευδῶς* Q edd. *καὶ ⟨τὰ⟩ ψ.* Marqu. l. l.; at vid. Praef. l. l. ‖ 11. *κατὰ ⟨τὰ⟩ τῆς** ‖ 12. [*τάχα — νοσούντων*]*; cf. ed. Erl. p. 21 ‖ 15. *πράττομεν** *πραττόμενα* QA *πραττόμεθα* B Ch K ‖ ⟨*ἀεί*⟩ Eberh. l. l. p. 531; de collocatione adverbii *ἀεί* vd. II 581, 2, 898, 8, IV 177, 10 ‖ *περὶ ⟨δὲ⟩ τῶν** *εἰ περὶ τῶν* QA *ἢ π. τ.* B Ch K ‖ 16. *μαρτυρεῖ** *μαρτυρῇ* Q edd. ‖ 19. *ὑπάρχειν* Q ‖ 21. *ὡς** *ὧν* Q edd.; cf. ad Plac. p. 334, 1 ‖ 22. *ἐπιστήμης* Ch K *ἐπιστήμην* QAB ‖ *μόνιμον** *νόμιμον* Q edd.; cf. ed. Erl. p. 21

οὖν οὗτος ἁπάντων πρῶτα τὰ τοῖς εἰσαγομένοις γεγραμμένα, τό τε περὶ τῶν αἱρέσεων, ὃ δὴ καὶ κατὰ τήνδε τὴν λέξιν ἐπιγέγραπται 'περὶ αἱρέσεων τοῖς εἰσαγομένοις' καὶ τὸ περὶ ⟨τῶν⟩ σφυγμῶν, ὃ δὴ καὶ αὐτὸ παραπλησίως ἐπιγέγραπται 'περὶ σφυγμῶν τοῖς εἰσαγομένοις', καὶ τρίτον, ὃ 'περὶ ὀστῶν τοῖς εἰσαγομένοις' ἐπιγέγραπται, τῆς ἀνατομικῆς πραγματείας ὑπάρχον πρῶτον, ἣν δὴ καὶ πᾶσαν εἴ τις βούλοιτο διελθεῖν, ἐπὶ τὴν τῶν ἀνατομικῶν ἐγχειρήσεων ἡκέτω πρὸ τῶν ἄλλων· αὕτη γὰρ διδάσκει τὰ φαινόμενα μόρια κατὰ τὰς ἀνατομὰς ὡς ἔχει μεγέθους τε καὶ θέσεως καὶ διαπλάσεως καὶ πλοκῆς [καὶ χροιᾶς] καὶ
55 τῆς πρὸς ἄλληλα κοινωνίας. ὁ δ' ἐν τῇ τούτων θέᾳ κατὰ τὰς ἀνατομὰς γυμνασάμενος ἑξῆς αὐτῶν τὰς ἐνεργείας μαθήσεται, τὰς μὲν φυσικὰς ἐν τρισὶν ὑπομνήμασι γεγραμμένας, ἃ 'περὶ φυσικῶν δυνάμεων' ἐπιγέγραπται, τὰς ψυχικὰς δ' ὀνομαζομένας ἐν ἄλλοις πλείοσιν, ὧν προηγεῖται τό τε περὶ τῆς ἐπὶ τῶν τεθνεώτων ἀνατομῆς καὶ δύο ἐφεξῆς τῷδε, τὰ ⟨περὶ⟩ τῆς ἐπὶ τῶν ζώντων, καὶ δύο ἐπ' αὐτοῖς ἄλλα, τὰ περὶ τῆς ἀνατομικῆς διαφωνίας· ἐφεξῆς δὲ τούτοις ἐστὶ τρία μὲν περὶ θώρακος καὶ πνεύμονος ⟨κινήσεως⟩, δύο δὲ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων καὶ τούτων ἐφεξῆς ⟨τέτταρα⟩ περὶ φωνῆς· ἐκ ταὐτοῦ δὲ γένους ἐστὶ καὶ τὰ περὶ μυῶν κινήσεως. ⟨ὑπὲρ ἡγεμονικοῦ

1. πρῶτα τὰ Ch K τὰ om. QAB ‖ 3. αἱρέσεων* αἱρέσεως Q edd. ‖ 4. καὶ τῇ περὶ Ch K ‖ ⟨τῶν⟩* ‖ 6. περὶ ὀστῶν* π. τῶν ὀστ. Q edd. ‖ 9. ἐγχειρήσεων* ἐγχείρησιν Q edd.; cf. ed. Erl. p. 21. 22 ‖ 12. [καὶ χροιᾶς]*; cf. ed. Erl. p. 22 ‖ 13. ὁ δ' Ch K ὅδ' Q οὐδὲν pro ὁ δ' ἐν AB ‖ 19. τῷδε* τῇδε Q edd. ‖ 19. τὰ ⟨περὶ⟩ τῆς* τὰ τῆς Q; cf. ed. Erl. p. 22 ‖ 21. ἀνατομικῆς Ch K ἀνατομῆς QAB ‖ 22. ⟨κινήσεως⟩*; cf. ed. Erl. l. l. ‖ 24. ⟨τέτταρα⟩*; cf. ed. Erl. l. l. ‖ 25. ⟨ὑπὲρ ἡγεμονικοῦ κτλ. cf. Praef. p. LXI

δὲ καὶ τῶν ἄλλων ἁπάντων, ὅσα περὶ φυσικῶν ἢ ψυχικῶν ἐνεργειῶν ζητεῖται, διὰ πολυβίβλου πραγματείας ἐδηλώσαμεν, ἣν ʻπερὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων' ἐπιγράφομεν. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶ τῆς θεωρίας καὶ τὰ περὶ σπέρματος ἰδίᾳ γεγραμμένα καὶ προσέτι τὰ περὶ τῆς Ἱπποκράτους ἀνατομῆς, οἷς ἅπασιν ἡ περὶ χρείας μορίων ἕπεται πραγματεία. αἵ δ' ἀρχαὶ τῆς γενέσεως ἅπασι τοῖς οὖσιν ὕλην ἔχουσι τὰ τέτταρα στοιχεῖα, κεράννυσθαί τε πεφυκότα δι' ὅλων ἀλλήλων καὶ δρᾶν εἰς ἄλληλα· ὑπὲρ ὧν ἐν τῷ πρώτῳ⟩ περὶ τῶν ⟨ἰατρικῶν⟩ ὀνομάτων ⟨κἀν τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων⟩ ἐπιδέδεικται. καὶ αὐτὰ μὲν τὰ περὶ τῆς ἀποδείξεως τῶν στοιχείων οὐ πάντ' εἴρηται κατὰ τὸ βιβλίον ἀλλ' ὅσοις αὐτὸς Ἱπποκράτης ἐχρήσατο· πρὸς δὲ τὸ τελεώτατον τῆς ἐπιστήμης τῶν τοῦ σώματος στοιχείων ἀναλέξασθαι προσήκει τά τ' ἐν τῷ τρισκαιδεκάτῳ περὶ ἀποδείξεως εἰρημένα καὶ κατὰ τὸ πέμπτον καὶ ἕκτον περὶ τῶν Ἀσκληπιάδου δογμάτων. ἀλλὰ καὶ [τὰ] περὶ τῆς τῶν καθαιρόντων φαρμάκων δυνάμεως εἴρηται μέν τινα κἀν ‖ τῷ περὶ τῶν καθ' 56 *Ἱπποκράτην στοιχείων, γέγραπται δὲ καὶ κατὰ μόνας ἐν ἑτέρῳ βιβλίῳ. τῷ δὲ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἕπεται τὰ περὶ κράσεων ὑπομνήματα τρία καὶ τούτοις ἡ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως πραγματεία κἀκείνῃ πάλιν ἡ περὶ συνθέσεως φαρμάκων. ἐν μὲν οὖν τοῖς πρώτοις ⟨περὶ κράσεων αἵ*

4. *ἐκ ταὐτοῦ* Eberh. l. l. p. 513; cf. Praef. p LXII ‖ 12. *ἐπιδέδεικται* Ch K *ἐπιδέδεικτο* Q A B ‖ *αὐτὰ μὲν* αὐτὰ δὲ* Q edd. ‖ 15. *τῶν τοῦ* Ch K *τῆς τοῦ* Q A B ‖ 16. *ἀναλέξασθαι* ἀναλέξαι* Q edd.; cf. Praef. p. LXII ‖ 17. *καὶ κατὰ* Q *καὶ τὰ κατὰ* Ch K *καὶ τὰ τὸ κατὰ* A B ‖ 19. *ἀλλὰ καὶ [τὰ] περὶ** ‖ 23. *κράσεων* Ch K *κράσεως* Q A B ‖ 26. *⟨περὶ κράσεων αἵ ἐν τοῖς⟩**; cf. ed. Erl. p. 23

*ἐν τοῖς⟩ ζῴοις ⟨κράσεις⟩ λέγονται μετὰ τῶν ἰδίων ἑκάστης γνωρισμάτων, ἐν δὲ τῷ ⟨τρίτῳ⟩ περὶ τῆς τῶν φαρμάκων κράσεως ὁ λόγος ἐστίν. ἐάν τ' οὖν μετὰ ⟨τὰ⟩ δύο βουληθῇ τις ἐάν τε μετὰ ⟨τὰ⟩ τρία τό τε περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος ἀναγνῶναι καὶ τὸ περὶ τῆς εὐεξίας καὶ τὸ περὶ ἀνωμάλου δυσκρασίας, ἐν τῇ προσηκούσῃ τάξει πράξει τοῦτο. μικρὰ δ' ἐστὶ πάνυ τὰ τρία ταῦτα βιβλία φίλοις ἀξιώσασιν ὑπαγορευθέντα κἄπειτ' ἐκδοθέντα πρὸς ἐκείνων· ἐπεί τοι καὶ τούτων ἡ δύναμις ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ περιέχεται, καθ' ἣν αἱ διαφοραὶ τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς * * *.*

Cap. III. * * * *τῶν ἐξηγήσεων ὅσαι τ' ὀρθῶς λέγονται καὶ ὅσαι μή, προγεγυμνασμένῳ κατὰ τὰς*
57 *ἡμετέρας πραγματείας. ἕξεις δ' εἰς ἔνια τῶν Ἱπποκράτους καὶ τὰ ἡμέτερα καὶ ἐπειδὴ ταῦτ' ἤδη γέγραπται, προσθεῖναι πειράσομαι τὰ λοιπά. τοῦτο μέν, ἐὰν ζήσωμεν, ἔσται· φθάσαντος δ' ἀποθανεῖν ἐμοῦ, πρὶν ἐξηγήσασθαι τὰ κυριώτατα τῶν Ἱπποκράτους συγγραμμάτων, ἕξουσιν οἱ βουλόμενοι τὴν γνώμην ⟨γνῶναι⟩ αὐτοῦ καὶ τὰς ἡμετέρας μέν, ὡς εἴρηται, πραγματείας ἅμα τοῖς ἤδη γεγονόσιν ὑπομνήμασι καὶ τῶν ἐξηγησαμένων δὲ τὸν ἄνδρα τά τε τοῦ διδασκάλου Πέλοπος ⟨καὶ⟩ [εἰ] πού τι καὶ τῶν Νουμισιανοῦ [ἔχοιεν]*

1. *⟨κράσεις⟩** | 2. *ἐν δὲ τῷ ⟨τρίτῳ⟩ περὶ** *ἐν δὲ τῷ περὶ* QAB *ἐν δὲ τῷ δ' π.* ChK ‖ 4. *μετὰ ⟨τὰ⟩ δύο** ‖ *βουληθῇ* Marqu. *βουληθείη* Q edd. ‖ *μετὰ ⟨τὰ⟩ τρία** ‖ 6. *περὶ ἀνωμάλου* Q *π. τῆς ἀν.* edd. ‖ 9. *πρὸς* om. ChK ‖ 12. *κατασκευῆς*; de magna h. l. in Q et edd. lacuna cf. Praef. p. LXII. LXIII ‖ 16. *ἤδη* Q *εἴδη* edd. ‖ 19. *κυριώτατα** *καιριώτατα* Q edd. ‖ 21. *⟨γνῶναι⟩** cf. Praef. p. LXIV infr. ‖ 22. *πράγματα* QA ‖ 23. *ἐξηγησαμένων δὲ** *ἐξ. γε* Q edd.; cf. ed. Erl. p. 24 ‖ *τά τε τοῦ** *τοῦ τε* Q edd. ‖ 24. *⟨καὶ⟩* post *Πέλοπος* Eberh. l. l. p. 531 ‖ [*εἰ* edd. vel *ἢ* Q]* ‖ [*ἔχοιεν*]*

— ἔστι δ' ὀλίγα τὰ διασῳζόμενα — καὶ πρὸς τούτοις τά τε Σαβίνου καὶ Ῥούφου τοῦ Ἐφεσίου. Κόϊντος δὲ καὶ οἱ Κοΐντου μαθηταὶ τὴν Ἱπποκράτους γνώμην οὐκ ἀκριβῶς ἐγνώκασι, διὸ καὶ πολλαχόθι τὰς ἐξηγήσεις οὐκ ὀρθῶς ποιοῦνται· Λύκος δ' ἐνίοτε καὶ προσεγκαλεῖ τῷ Ἱπποκράτει καί φησι ψεύδεσθαι τὸν ἄνδρα μὴ γιγνώσκων αὐτοῦ τὰ δόγματα· καίτοι τά γε τοῦ Λύκου βιβλία φανερῶς πάντα . . . γέγονεν. ὁ δ' ἡμέτερος διδάσκαλος Σάτυρος — τούτῳ γὰρ πρώτῳ συγγενόμενοι μετὰ ταῦτ' ἠκούσαμεν Πέλοπος — οὐ τὰς αὐτὰς ἐξηγήσεις ἐποιεῖτο τῷ Λύκῳ τῶν Ἱπποκρατείων ‖ βιβλίων· ὁμολογεῖται δὲ Σάτυρος ἀκριβέστατα διασῴζειν τὰ Κοΐντου δόγματα μήτε προσθεὶς αὐτοῖς τι μήτ' ἀφελών· Αἰφικιανὸς μὲν γάρ τι καὶ μετερρύθμισεν 58
ἐπὶ τὸ Στωϊκώτερον. ἡμεῖς οὖν ἑτέρως μὲν ἔμπροσθεν ἀκηκοότες Σατύρου τὰς ἐξηγήσεις Κοΐντου, μετὰ χρόνον δ' ὕστερον ἀναγνόντες τινὰ τῶν τοῦ Λύκου κατέγνωμεν ἀμφοτέρων ὡς οὐκ ἀκριβῶς ἐγνωκότων τὴν Ἱπποκράτους γνώμην. ἄμεινον δ' ἔγνωσαν οἱ περὶ Σαβῖνόν τε καὶ Ῥοῦφον· ὁ δ' ἐν ταῖς ἡμετέραις πραγματείαις προγεγυμνασμένος ἱκανὸς καὶ τὰ τούτων κρίνειν καὶ φωρᾶσαι τά τε καλῶς ὑπ' αὐτῶν εἰρημένα καὶ εἴ που τύχοιεν ἐσφαλμένοι.

Cap. IV. Ἀλλ' ἐπεὶ καὶ περὶ τῶν Ἱπποκράτους ἐξηγήσεων αὐτάρκως εἴρηται, μεταβῶμεν ἐπὶ τὰ λοιπὰ

8. φανερῶς Q edd. φανερώτατα Eberh. l. l. ‖ πάντα . . * cf. Praef. p. LXIII ‖ 9. συγγενόμενοι ChK συγγινόμενοι QAB ‖ 14. Αἰφικιανὸς Bergk Ἐφικιανός Q edd., cf. Praef. p. LXIV ‖ μετερρύθμισεν* μετερρύθμησεν ChK μετερύθμησεν QAB ‖ 16. ἀκηκοότες* ἠκηκοότες Q edd. ‖ 19. ἄμεινον δ'* ἄ. γὰρ Q codd.; ἄ. δ' ἄρ' Eberh. l. l. ‖ 24. καὶ τῆς τῶν pro καὶ περὶ τῶν Q

τῶν ἡμετέρων ὑπομνημάτων, ὅσα τῆς λογικῆς ἐστι πραγματείας. ἔστι δ' ἐξ αὐτῶν σοὶ μέν, ὦ Εὐγενιανέ, καὶ ὅσοι τὴν ἰατρικὴν μόνην ἐσπουδάκατε, ⟨τὰ⟩ περὶ τῆς ἀποδείξεως αὐτάρκη, τοῖς δ' ἄλλοις, ὅσοι φιλοσοφίᾳ σχολάζουσι, καὶ τἆλλα, πλὴν εἴ τις ἀμφοτέρας
59 δύναιτο καλῶς μετέρχεσθαι τὰς θεωρίας ἰατρικῆς τε καὶ φιλοσοφίας. εἶναι δὲ χρὴ τοῦτον ἀγχίνουν θ' ἅμα καὶ μνήμονα καὶ φιλόπονον, ἔτι δὲ πρὸς τούτοις εὐτυχηκότα τοιαύτην εὐτυχίαν οἵαν ἡμεῖς εὐτυχήσαμεν ὑπὸ πατρὶ παιδευθέντες, ⟨ὃς⟩ ἀριθμητικῆς τε καὶ λογιστικῆς καὶ γραμματικῆς θεωρίας ἐπιστήμων ἡμᾶς ἐν τούτοις τε κἀν τοῖς ἄλλοις, ὅσα παιδείας μαθήματα, θρέψας, ἡνίκα πεντεκαιδέκατον ἔτος ἤγομεν, ἐπὶ τὴν διαλεκτικὴν θεωρίαν ἦγεν ὡς μόνῃ φιλοσοφίᾳ προσέξοντας τὸν νοῦν, εἶτ' ἐξ ὀνειράτων ἐναργῶν προτραπεὶς ἑπτακαιδέκατον ἔτος ἄγοντας καὶ τὴν ἰατρικὴν ἐποίησεν ἀσκεῖν ἅμα τῇ φιλοσοφίᾳ. ἀλλὰ καὶ τοιαύτην ἐγὼ τὴν εὐτυχίαν εὐτυχήσας ἐκμανθάνων τε καὶ θᾶττον ἁπάντων τῶν ἄλλων ὅ τι περ [ἂν] ἐδιδασκόμην, εἰ μὴ τὸν ὅλον μου βίον εἰς τὴν τῶν ⟨ἐν⟩ ἰατρικῇ τε καὶ φιλοσοφίᾳ θεωρημάτων ἄσκησιν καθεστήκειν, οὐδὲν ἂν ἔγνων μέγα. μηδὲν τοίνυν μηδὲ τοῦτο θαῦμα, διότι πολὺ πλῆθος ἀνθρώπων ἀσκούντων ἰατρικήν τε

1. ὑπομνημάτων Marqu. Phil. A. VII 25 ὑπομνήματα Q edd. || 2. σὺ pro σοὶ Q || 3. ⟨τὰ⟩ περὶ* || 5. ἀμφοτέρας Q edd.; conicias ἀμφότερα . . ., τὰς θεωρίας κτλ.; cf. Kuehn. Gr. gr. II 245 adn., Schneider ad Isocr. IV 41 || 6. δύναιτο ChK δύνατο QAB || 10. ⟨ὃς⟩ add. BChK om. QA || 11. ἐπιστήμων ChK ἐπιστήμονας QAB || 12. κἀν* καὶ ἐν Q edd. || 14. προσέξοντας ChK προσέξαντα QAB || 16. ἄγοντας* ἄγοντα Q edd. || ἐποίησεν* ἐποιήσαμεν QA ἐποίησεν ἐμὲ BChK || 19. [ἂν]* || 20. ἐν add. ChK om. QAB || 21. θεωρημάτων ChK θεωρήματα QAB || καθεστήκειν ChK καθέστηκεν QAB || 22. μηδὲν τοίνυν ChK μὴ δὲ τ. QAB

καὶ φιλοσοφίαν ἐν οὐδετέρᾳ κατορθοῦσιν· ἢ γὰρ οὐκ
ἔφυσαν καλῶς ἢ οὐκ ἐπαιδεύθησαν ὡς προσῆκεν, ‖ ἢ 60
οὐ κατέμειναν ἐν ταῖς ἀσκήσεσιν ἀλλ' ἐπὶ τὰς πολιτι-
κὰς πράξεις ἀπετράποντο. ταῦτα μὲν οὖν μοι κατὰ
τὸ πάρεργον εἰρήσθω καίτοι ⟨γ'⟩ οὐκ ὄντα πάρεργα.
τὰ γοῦν τῆς φιλοσόφου θεωρίας ἡμέτερα βιβλία μετὰ
τὴν περὶ τῆς ἀποδείξεως πραγματείαν ἀναγιγνώσκειν
χρή· τίνες δ' αὐτῶν εἰσιν αἱ ὑποθέσεις καὶ πόσαι,
καθ' ἕκαστον ⟨μὲν⟩ αὐτῶν γέγραπται, δι' ἐκείνου δὲ
δειχθήσεται τοῦ γράμματος, ἐν ᾧ τὴν γραφὴν ποιή-
σομαι ἁπάντων τῶν ἐμῶν βιβλίων.

Cap. V. *Ἐπεὶ δ' ἐπύθου μου καὶ περὶ τῆς πραγ-*
ματείας, ἐν ᾗ τὰ παρὰ τοῖς Ἀττικοῖς συγγραφεῦσιν
ὀνόματα κατὰ τὴν τῶν πρώτων ἐν αὐτοῖς γραμμάτων
ἤθροισται τάξιν, ἅπερ ἀπεκρινάμην σοι, βέλτιον ἡγοῦμαι
κἀνταῦθα γράψαι σοι· πρόδηλον γάρ, ὅτι καὶ ἄλλοι
πολλοὶ ζητοῦσιν, ἥτις ποτ' ἐστὶν αὐτῆς ἡ ὑπόθεσις.
οὐ γὰρ δή τοῦτ' ἀξιοῦμεν ἡμεῖς, ὅπερ ἔνιοι τῶν νῦν
κελεύουσιν, ἅπαντας ἀττικίζειν τῇ φωνῇ, κἂν ἰατροὶ
τυγχάνωσιν ὄντες ἢ φιλόσοφοι καὶ γεωμετρικοὶ καὶ
μουσικοὶ καὶ νομικοὶ κἂν μηδὲν τούτων ἀλλ' ἁπλῶς
ἤτοι πλουτοῦντές τινες ἢ μόνον εὔποροι· τοὐναντίον
γὰρ ἀπαξιῶ μηδενὶ μέμ‖φεσθαι τῶν σολοικιζόντων τῇ 61
φωνῇ μηδ' ἐπιτιμᾶν· ἄμεινον γάρ ἐστι τῇ φωνῇ
μᾶλλον ἢ τῷ βίῳ σολοικίζειν τε καὶ βαρβαρίζειν.

4. *κατὰ τὸ πάρεργον* Q edd. *κατὰ πάρεργον* Eberh. l. l. p. 531; cf. Praef. p. LXIV. LXV ‖ 5. *καίτοι ⟨γ'⟩ οὐκ**; cf. Praef. p. LXV ‖ 9. *ἕκαστον* ἑκάστην* Q edd. ‖ ⟨*μὲν*⟩ om. Q ‖ 13. *συγγραφεῦσιν* γραφεῦσιν* Q edd. ‖ 15. *ἤθροισται* ChK *ἠθροῖσθαι* QAB ‖ 16. post *γράψαι* del. *σοι* Eberh. l. l.; cf. Praef. p. LXVI ‖ 17. *αὐτῆς* αὐτῶν* Q edd. ‖ 20. *τυγχάνωσιν* ChK *τυγχάνουσι* QAB ‖ 22. *πλουτοῦντες* πλουτοῦσι* Q edd.

*ἐγράφη δέ μοί ποτε καὶ πραγματεία πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσι τῇ φωνῇ· τοσούτου δέω παιδείας τι μόριον ὑπολαμβάνειν τὸ ἀττικίζειν. ἀλλὰ διὰ τὸ πολλοὺς ἰατροὺς καὶ φιλοσόφους, ἐν οἷς αὐτοὶ νομοθετοῦσι καινὰ σημαινόμενα τῶν Ἑλληνικῶν ὀνομάτων, ἐν τούτοις ἑτέροις * * *, διὰ τοῦτο καὶ τῶν ὀνομάτων τὴν ἐξήγησιν ἐποιησάμην ἐν ὀκτὼ καὶ τεσσαράκοντα βιβλίοις ἀθροισάμενος ⟨ἐκ τῶν⟩ Ἀττικῶν συγγραφέων αὐτά, καθάπερ ἐκ τῶν κωμικῶν ἄλλα. γέγραπται μὲν οὖν, ὡς ἔφην, ἡ πραγματεία διὰ τὰ σημαινόμενα· σὺν τούτῳ δ' εὐθέως ὑπάρχει τοῖς ἀναγνωσομένοις αὐτὰ καὶ ἡ τῶν Ἀττικῶν ὀνομάτων γνῶσις οὐδὲν αὐτὴ καθ' ἑαυτὴν ἄξιον ἔχουσα μεγάλης σπουδῆς· ἀλλά γε διὰ τοὺς κακῶς χρωμένους τοῖς ὀνόμασιν ἄλλη μοι γέγραπται πραγματεία περὶ τῆς ὀρθότητος αὐτῶν, ἣν δὴ καὶ πρώτην ἁπασῶν ἄμεινον ἀναγιγνώσκειν.*

5. *ὀνομάτων* om. BChK ‖ 6. *ἑτέροις κτλ.*; cf. Praef. p. LXVI ‖ 8. *ἀθροισάμενος* ChK *ἀθροισαμένων* QAB ‖ ⟨*ἐκ τῶν*⟩*; post *ἀθροισαμένων* in Q spatium vacuum fere sex, in AB novem fere litterarum est, sequitur *Ἀττικῶν*; *ἀθροισάμενος ἐξ Ἀττικῶν* ChK; cf. XIX 48, 8 ‖ 13. *αὐτῇ* Q *αὐτῇ* AB

V.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΙΔΙΩΝ ΒΙΒΛΙΩΝ.

Ἔργῳ φανερὰ γέγονεν ἡ συμβουλή σου, κράτιστε K. XIX p. 8. *Βάσσε, περὶ τῆς γραφῆς τῶν ὑπ' ἐμοῦ γεγονότων βιβλίων. ἐν γάρ τοι τῷ Σανδαλαρίῳ, καθ' ὃ δὴ πλεῖστα τῶν ἐν Ῥώμῃ βιβλιοπωλείων ἐστίν, ἐθεασάμεθά τινας ἀμφισβητοῦντας, εἴτ' ἐμὸν εἴη τὸ πιπρασκόμενον αὐτὸ βιβλίον εἴτ' ἄλλου τινός· ἐπεγέγραπτο [μὴ] γὰρ 'Γαληνὸς ἰατρός'. ὠνουμένου δέ τινος ὡς ἐμὸν ὑπὸ τοῦ ξένου τῆς ἐπιγραφῆς κινηθείς τις ἀνὴρ τῶν φιλολόγων ἐβουλήθη γνῶναι ‖ τὴν ἐπαγ-* 9 *γελίαν αὐτοῦ· καὶ δύο τοὺς πρώτους στίχους ἀναγνοὺς εὐθέως ἀπέρριψε τὸ γράμμα, τοῦτο μόνον ἐπιφθεγξάμενος, ὡς οὐκ ἔστιν ἡ λέξις αὕτη Γαληνοῦ καὶ ψευδῶς ἐπιγέγραπται τουτὶ τὸ βιβλίον. ὁ μὲν οὖν τοῦτ' εἰπὼν ἐπεπαίδευτο τὴν πρώτην παιδείαν, ἣν οἱ παρ' Ἕλλησι παῖδες ἐξ ἀρχῆς ἐπαιδεύοντο παρά τε γραμματικοῖς καὶ ῥήτορσιν· οἱ πολλοὶ δὲ τῶν νῦν ἰατρικὴν ἢ φιλοσοφίαν μετιόντων οὐδ' ἀναγνῶναι καλῶς δυνάμενοι φοιτῶσι παρὰ τοὺς διδάξοντας τά τε μέγιστα καὶ κάλλιστα τῶν ἐν ἀνθρώποις, τὰ θεωρήματα, ἃ φιλοσοφία*

2. *Βάσε* Q edd. ‖ 3. *Σανδαλαρίῳ* cf. Praef. p. LXVII ‖ *καθ' ὃ* K *καθὸ* QCh *καθὼ* AB ‖ 7. [*μὴ* QA]* *δὴ* BChK ‖ 9. *ἐβουλήθην* AB ‖ 12. *ἡ* QA om. BChK ‖ 14. *τὴν πρώτην παιδείαν* Q edd. *τὴν αὐτὴν π.* Alfr. Schoene; cf. Praef. p. LXVII ‖ 18. *διδάξαντας* QAB

τε καὶ ἰατρικὴ διδάσκουσιν. ἦρκτο μὲν οὖν ἡ τοιαύτη ῥᾳδιουργία πρὸ πολλῶν ἐτῶν, ἡνίκ' ἔτι μειράκιον ἦν ἐγώ, οὐ μὴν εἰς τοσοῦτόν γ', εἰς ὅσον νῦν ηὔξηται, προεληλύθει τὸ κατ' ἐκεῖνον τὸν χρόνον. διά τ' οὖν αὐτὸ τοῦτο καὶ διότι πολυειδῶς ἐλωβήσαντο πολλοὶ τοῖς ἐμοῖς βιβλίοις, ἄλλοι κατ' ἄλλα τῶν ἐθνῶν ἀναγιγνώσκοντες ὡς ἴδια μετὰ τοῦ τὰ μὲν ἀφαιρεῖν, τὰ δὲ προστιθέναι, τὰ δ' ὑπαλλάττειν, ἄμεινον ἡγοῦμαι δηλῶσαι πρῶτον αὐτοῦ τοῦ λελωβῆσθαι τὴν αἰτίαν, εἶτα περὶ τῶν ὄντως ὑπ' ‖ ἐμοῦ γεγραμμένων ἥτις γε καθ' ἕκαστον αὐτῶν ἐστιν ⟨ἡ⟩ ἐπαγγελία. τοῦ μὲν δὴ πολλοὺς ἀναγιγνώσκειν ὡς ἴδια τὰ ἐμὰ τὴν αἰτίαν αὐτὸς οἶσθα, κράτιστε Βάσσε· φίλοις γὰρ ἢ μαθηταῖς ἐδίδοτο χωρὶς ἐπιγραφῆς ὡς ἂν οὐδὲν πρὸς ἔκδοσιν ἀλλ' αὐτοῖς ἐκείνοις γεγονότα δεηθεῖσιν ὧν ἤκουσαν ἔχειν ὑπομνήματα. τινῶν μὲν οὖν ἀποθανόντων οἱ μετ' ἐκείνους ἔχοντες ἀρεσθέντες αὐτοῖς ἀνεγίγνωσκον ὡς ἴδια * * * παρὰ τῶν ἐχόντων κοινωνησάντων αὐτοῖς εἰς τὴν ἑαυτῶν πατρίδα πορευθέντες ὑποδιατρίψαντες ἄλλος ἄλλως ⟨κατ'⟩ αὐτὰ τὰς ἐπιδείξεις ἐποιοῦντο. φωραθέντων δ' ἁπάντων τῷ χρόνῳ πολλοὶ τῶν αὖθις κτησαμένων ἐπεγράψαντ' ἐμοῦ τοὔνομα καὶ διαφωνοῦντα τοῖς παρ' ἄλλοις οὖσιν εὑρόντες ἐκόμισαν πρός με παρακαλέσαντες ἐπανορθώσασθαι. γεγραμμένων οὖν, ὡς ἔφην, οὐ πρὸς ἔκδοσιν αὐτῶν ἀλλὰ κατὰ τὴν τῶν

1. ἦρκτο Cobet, Mnem. N. S. III 335 εἴρητο QAB ἤρητο ChK ‖ 4. προεληλύθει* προεληλύθη Q edd. ‖ τὸ κατ' ἐκεῖνον τὸν χρόνον; vd. Praef. p. LXVII. LXVIII ‖ 9. αὐτοῦ τοῦ ChK αὐτοῦ τὸ QAB ‖ 11. ⟨ἡ⟩ ἐπαγγελία* ‖ 13. Βάσε QA ‖ 14. οὐδὲν QAB οὐδὲ ChK; cf. Praef. p. LXVIII ‖ 18. ἴδια* ἰδίοις QAB ἰδίους, οἱ δὲ ChK; cf. Praef. p. LXVIII ‖ 19. ὑποδιατρίψαντες QAB τῇδ' ὑπ. ChK ‖ 20. ⟨κατ'⟩ αὐτὰ*; cf. infra p. 98, 2 ‖ 21. χρησαμένων Q^1 κτησ. Q^2

δεηθέντων ἕξιν τε καὶ χρείαν εἰκὸς δήπου τὰ μὲν ἐκτετάσθαι, τὰ δὲ συνεστάλθαι καὶ τὴν ἑρμηνείαν αὐτήν τε τῶν θεωρημάτων τὴν διδασκαλίαν ἢ τελείαν ὑπάρχειν ἢ ἐλλιπῆ. τὰ γοῦν τοῖς εἰρημένοις γεγραμ‖μένα πρό- 11
δηλον δήπου μήτε τὸ τέλειον τῆς διδασκαλίας ἔχειν μήτε τὸ διηκριβωμένον, ὡς ἂν οὔτε δεομένων αὐτῶν οὔτε δυναμένων ἀκριβῶς μανθάνειν πάντα, πρὶν ἕξιν τινὰ σχεῖν ἐν τοῖς ἀναγκαίοις. ὑποτυπώσεις γοῦν ἐπέγραψαν ἔνιοι τῶν πρὸ ἐμοῦ τὰ τοιαῦτα βιβλία, καθάπερ τινὲς ὑπογραφάς, ἕτεροι δ' εἰσαγωγὰς ἢ συνόψεις ἢ ὑφηγήσεις· ἐγὼ δ' ἁπλῶς δοὺς τοῖς μαθηταῖς οὐδὲν ἐπέγραψα καὶ διὰ τοῦθ' ὕστερον εἰς πολλοὺς ἀφικομένων ἄλλος ἄλλην ἐπιγραφὴν ἐποιήσατο. τὰ δ' οὖν εἰς ἐμὲ κομισθέντα πρός τινων ἐπανορθώσεως ἕνεκεν ἠξίωσα 'τοῖς εἰσαγομένοις' ἐπιγεγράφθαι· περὶ πρώτων οὖν τούτων ποιήσομαι τὸν λόγον.

Cap. I. *Περὶ τῶν γεγονότων ὑπομνημάτων ἐν Ῥώμῃ κατὰ τὴν πρώτην ἐπιδημίαν.*

Ἐγὼ μὲν οὖν οὐδ' εἶχον ἁπάντων αὐτῶν ἀντίγραφα μειρακίοις ὑπαγορευθέντων ἀρχομένοις μανθάνειν ἢ καί τισι φίλοις ἀξιώσασι δοθέντων· ὕστερον δ' ὁπότε τὸ δεύτερον ἧκον εἰς Ῥώμην, κομισθέντων, ὡς εἴρηται, ‖ πρός με διορθώσεως ἕνεκεν, ἐκτησάμην 12
*τε καὶ τὴν ἐπιγραφὴν * * * ⟨'περὶ αἱρέσεων⟩ τοῖς εἰσαγομένοις', ὃ πρῶτον ἂν εἴη πάντων ἀναγνωστέον τοῖς μαθησομένοις τὴν ἰατρικὴν τέχνην· ἐν αὐτῷ γὰρ*

2. *καὶ τὴν ἑρμηνείαν* edd. *κατὰ τὴν ἑρμ.* Q ‖ 9. *ἐπέγραψαν** *ἔγραψαν* Q edd.; cf. sqq. ‖ 17. de inscriptione vd. Praef. p. LXVIII ‖ 21. *ἢ* K *εἰ* QABCh ‖ 22. *εἰς Ῥώμην* Helmreich, Act. Sem. Erl. II 240 *ἐν Ῥώμῃ* Q edd. ‖ 24. *ἐπιγραφὴν **** cf. Praef. p. LXVIII ‖ 26. *ἐν αὐτῷ* Helmreich l. l. *ἐν αὐτῇ* Q edd.

αἱ κατὰ γένος ἀλλήλων αἱρέσεις διαφέρουσαι διδάσκονται· κατὰ γένος δ' εἶπον, ἐπειδὴ καὶ διαφοραί τινες ἐν αὐταῖς εἰσι, καθ' ἃς ὕστερον οἱ εἰσαχθέντες ἐπεκδιδάσκονται. τὰ δὲ τῶν τριῶν αἱρέσεων ὀνόματα σχεδὸν ἅπαντες ἤδη γιγνώσκουσιν [τὴν μέν τινα δογματικήν τε καὶ λογικὴν ὀνομάζεσθαι, τὴν δὲ δευτέραν ἐμπειρικήν, τὴν τρίτην δὲ μεθοδικήν]· ὅσα τοίνυν ἐστὶν ἑκάστης ἴδια ἢ καθ' ἃ διαφέρουσιν ἀλλήλων, ἐν ἐκείνῳ τῷ βιβλίῳ γέγραπται. τοῖς δ' εἰσαγομένοις ὑπηγορεύθη τὸ περὶ τῶν ὀστῶν καὶ τὸ περὶ τῶν σφυγμῶν, ἐδόθη δὲ καὶ φίλῳ Πλατωνικῷ κατὰ τὴν ἐπιδημίαν ταύτην εἰσαγωγικὰ δύο βιβλία, τὸ μὲν φλεβῶν καὶ ἀρτηριῶν, τὸ δὲ νεύρων ἔχον ἀνατομήν, καὶ ἑτέρῳ τινὶ τῆς ἐμπειρικῆς ἀγωγῆς ὑποτύπωσις· ὧν οὐδὲν ἔχων ἐγὼ παρὰ τῶν ἐχόντων ἔλαβον, ἡνίκα τὸ δεύ||τερον ἧκον εἰς Ῥώμην. ἄλλων δέ τινων τότε γραφέντων φίλοις ἔμεινεν ἀντίγραφα παρ' ἐμοὶ διὰ τὸ τελέως ἐξειργάσθαι· ὧν ἐστι καὶ τὰ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων δύο καὶ
13 τὰ περὶ φωνῆς τέτταρα, προσφωνηθέντα τινὶ τῶν ὑπατικῶν ἀνδρῶν, Βοηθῷ τοὔνομα, κατὰ τὴν Ἀριστοτέλους αἵρεσιν φιλοσοφοῦντι. τούτῳ καὶ τὰ περὶ τῆς Ἱπποκράτους ἀνατομῆς καὶ μετὰ ταῦτα ⟨τὰ⟩ περὶ τῆς Ἐρασιστράτου προσπεφώνηται φιλοτιμότερον γεγραμμένα διὰ Μαρτιάλιον, οὗ δύο βιβλία διασῴζεται τῶν ἀνατομικῶν ἔτι καὶ νῦν ὄντα παρὰ πολλοῖς, ἃ κατ' ἐκεῖνον τὸν χρόνον εὐδοκίμει μεγάλως. βάσκανος δὲ

1. αἱρέσεις* διαιρέσεις Q edd.; cf. VIII 759, 6 ‖ 5. [τὴν μὲν . . . μεθοδικήν]* ‖ 12. φλεβῶν καὶ ἀρτηριῶν* ἀρτηριῶν καὶ φλεβῶν Q edd.; cf. Praef. p. LXIX ‖ 13. ἑτέρῳ τινὶ* τινι ἑτέρῳ Q edd.; cf. Praef. p. LXX ‖ 18. περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων vd. Praef. p. LXX ‖ 22. Ἱπποκράτους ἀνατομῆς* ἀνατ. Ἱππ. Q edd.; cf. Praef. p. LXX

καὶ φιλόνεικος ἱκανῶς ἦν ὁ ἀνὴρ οὗτος καίτοι πλείω γεγονὼς ἔτη ⟨τῶν⟩ ἑβδομήκοντα. πυθόμενος οὖν εἰς ἀνατομικὸν πρόβλημα τούς τε λόγους καὶ τὰ διδαχθέντα μοι δημοσίᾳ πρὸς ἁπάντων τῶν ἀκολουθησάντων ἐπηνῆσθαι μεγάλως ἤρετό τινα τῶν ἐμῶν φίλων, ἀπὸ ποίας εἴην αἱρέσεως. ἀκούσας δ' ὅτι δούλους ὀνομάζω τοὺς ἑαυτοὺς ἀναγορεύσαντας Ἱπποκρατείους ἢ Πραξαγορείους ἢ ὅλως ἀπό τινος ἀνδρός, ἐκλέγοιμι δὲ τὰ παρ' ἑκάστοις καλά, δεύτερον ἤρετο, ‖ 14 *τίνα μάλιστα τῶν παλαιῶν ἐπαινοῖμι * * *. θαυμάσιον δὲ τὸν Ἐρασίστρατον ἀποφαίνει τά τ' ἄλλα τῆς τέχνης καὶ ταῦτα. δι' ἐκεῖνον οὖν ἔγραψα φιλοτιμότερον τὰ περὶ τῆς Ἱπποκράτους ἀνατομῆς ἓξ βιβλία καὶ τὰ περὶ τῆς Ἐρασιστράτου τρία. καὶ λέγων γέ ποτ' εἰς τὰ τῶν ἰατρῶν τῶν παλαιῶν βιβλία δημοσίᾳ προβληθέντος μοι τοῦ περὶ αἵματος ἀναγωγῆς Ἐρασιστράτου καὶ γραφείου καταπαγέντος εἰς αὐτὸ κατὰ τὸ ἔθος, εἶτα δειχθέντος ἐπ' ἐκεῖνο τὸ μέρος τοῦ βιβλίου, καθ' ὃ τὴν φλεβοτομίαν παραιτεῖται, πλείω πρὸς αὐτὸν εἶπον, ὅπως λυπήσαιμι τὸν Μαρτιάλιον Ἐρασιστράτειον εἶναι προσποιούμενον. ἐπεὶ δ' ἱκανῶς ὁ λόγος ηὐδοκίμησεν, ἐδεήθη μού τις φίλος ἐπαχθῶς ἔχων πρὸς αὐτὸν ὑπαγορεῦσαι τὰ ῥηθέντα τῷ πεμφθησομένῳ παρ' αὐτοῦ πρός με διὰ σημείων εἰς τάχος ἠσκημένῳ γράφειν, ὅπως, ἂν ἐξορμήσῃ τῆς πόλεως οἴκαδε, δύναιτο λέγειν αὐτὰ πρὸς τὸν Μαρτιάλιον ἐν ταῖς τῶν νοσούντων*

2. *ἔτη τῶν ἑβδομήκοντα** *ἐτῶν ο'* Q edd.; cf. Praef. p. LXXI ‖ 5. *ἐπηνῆσθαι** *ἐπηνέσθαι* QA *ἐπαινεῖσθαι* edd. cett. ‖ 7. *ὀνομάζοιμι* coni. Marqu. ‖ 10. *ἐπαινοῖμι* * * * cf. Praef. p. LXXI ‖ 11. *ἀποφαίνει τά τ' ἄλλα** *ἀποφαίνεται τὰ ἄλλα* QAB *ἀποφαίνεται καὶ τὰ ἄλλα* ChK ‖ 18. *καθ' ὃ** *καθὸ* Q edd. ‖ 23. *τὰ ῥηθέντα* in marg. Q

ἐπισκέψεσιν. ἔπειτ' οὐκ οἶδ' ὅπως, ὅτε τὸ δεύτερον
15 ἧκον εἰς Ῥώμην ὑπὸ τῶν αὐτοκρατόρων μετακλη‖θείς, ὁ μὲν λαβὼν ἐτεθνήκει, τὸ βιβλίον δ' εἶχον οὐκ ὀλίγοι κατὰ τὴν ἐν τῷ τότε καιρῷ φιλοτιμίαν συγκείμενον, ἡνίκ' ἤλεγχον δημοσίᾳ· καὶ γὰρ δὴ καὶ νέος ὢν ἔτι τοῦτ' ἔπραξα τέταρτον ἔτος ἄγων καὶ τριακοστόν. ἐξ ἐκείνου δ' ὥρισα μήτε διδάσκειν ἔτι δημοσίᾳ μήτ' ἐπιδείκνυσθαι προσδεξαμένης με τῆς κατὰ τοὺς θεραπευομένους εὐτυχίας μείζονος εὐχῆς· εἰδὼς γὰρ τοὺς ἀντιτέχνους, ὅταν ἐπαινῆταί τις ἰατρός, ὡς φθονοῦσιν αὐτὸν λογίατρον ἀποκαλοῦντες, ἀπορράψαι τὴν βάσκανον γλῶτταν αὐτῶν ἐβουλήθην οὔτ' ἐπὶ τῶν θεραπευομένων φθεγγόμενός τι περαιτέρω τῶν ἀναγκαίων οὔτε διδάσκων ἐν πλήθει, καθάπερ ἔμπροσθεν, οὔτ' ἐπιδεικνύμενος ἀλλὰ διὰ τῶν ἔργων τῆς τέχνης μόνων ἐνδεικνύμενος ἣν εἶχον ἕξιν ἐν τοῖς θεωρήμασιν αὐτῆς. ἔτεσι δὲ τρισὶν ἄλλοις ἐν Ῥώμῃ διατρίψας ἀρξαμένου τοῦ μεγάλου λοιμοῦ παραχρῆμα τῆς πόλεως ἐξῆλθον ἐπειγόμενος εἰς τὴν πατρίδα μηδενὶ * * * ἐν τῷ χρόνῳ τούτῳ περὶ μὲν τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἓξ βιβλία ⟨συνέγραψα⟩ προτρεψαμένου με τοῦ
16 Βοηθοῦ, περὶ δὲ μορίων χρείας ἓν ‖ τὸ πρῶτον, ἃ λαβὼν ὁ Βοηθὸς ἐξῆλθε τῆς πόλεως ἐμοῦ πρότερος, ἄρξων τῆς Παλαιστίνης Συρίας, ἐν ᾗ καὶ ἀπέθανεν. καὶ διὰ τοῦτο μετὰ πολὺν χρόνον ἑκατέραν τὴν πραγ-

15. μόνων* μόνον Q edd. ‖ 16. αὐτῆς QChK αὐτοῖς AB ‖ 19. μηδενὶ * * *; cf. Praef. p. LXXI ‖ 21. ⟨συνέγραψα⟩*; in Q post βιβλία spat. vacuum 8 fere litterarum, in AB 4 vel 5 litt., in ChK nihil vacuitatis indicatur ‖ 24. ἄρξων Q^1 ἄρξοντος Q^2 (man. recentiss.) A; B in marg.: 'alii .. ἄρξων τότε τῆς', quod ChK receperunt

ματείαν συνετέλεσα προσγενομένων μοι κωλυμάτων μετὰ τὴν εἰς οἶκον ἐπάνοδον, ὧν ἐφεξῆς μνημονεύσω.

Cap. II. *Τίνα μοι μετὰ τὴν ἐκ Ῥώμης ἐπάνοδον οἴκαδε παραγενομένῳ βιβλία παρά τινων ἐδόθη τῶν ὑπ' ἐμοῦ γεγραμμένων.*

Ἐπανῆλθον μὲν οὖν ἐκ Ῥώμης εἰς τὴν πατρίδα πεπληρωμένων μοι τῶν ἐκ γενετῆς ἐτῶν ἑπτὰ καὶ τριάκοντα, τρία δέ μοι βιβλία παρά τινων ἐδόθη γεγραμμένα, πρὶν εἰς Σμύρναν ἐκ Περγάμου μεταβῆναι Πέλοπός τε τοῦ ἰατροῦ καὶ Ἀλβίνου τοῦ Πλατωνικοῦ χάριν· ἦν δὲ τὸ μέν τι μήτρας ἀνατομή, μικρὸν βιβλίδιον, τὸ δέ τι τῶν ἐν ὀφθαλμοῖς παθῶν διάγνωσις, μικρὸν καὶ αὐτό, τρίτον δ' ἀξιόλογον τῷ μεγέθει ⟨περὶ⟩ τῆς ἰατρικῆς ἐμπειρίας. ἐδόθη δὲ τὸ μὲν πρῶτον εἰρημένον μαίᾳ τινί, τὸ δὲ δεύτερον ὀφθαλμοὺς θεραπεύοντι νεανίσκῳ· τὸ δὲ τρίτον, ἡνίκα Πέλοψ μετὰ Φιλίππου τοῦ ἐμπειρικοῦ διελέχθη δυοῖν ἡμερῶν, τοῦ μὲν Πέλοπος, ὡς μὴ δυναμένης τῆς ἰατρικῆς δι' ἐμπειρίας μόνης συστῆναι, τοῦ Φιλίππου δ' ἐπιδεικνύντος δύνασθαι· ‖ τοὺς οὖν ὑφ' ἑκατέρου λόγους 17 *ῥηθέντας εἰς τάξιν καταστήσας ἔγραψά τι γυμνάσιον ἐμαυτῷ καὶ τοῦτ' οὐκ οἶδ' ὅπως ἐξέπεσεν ἐμοῦ μηδὲν εἰδότος αὐτό. τρία δ' ἄλλα περὶ θώρακος καὶ πνεύμονος κινήσεως, ἡνίκ' ἐν Σμύρνῃ διέτριβον, ἔγραψα συμφοιτητῇ χαρισάμενος μέλλοντι μετὰ τὴν ἀποδημίαν*

4. *παραγενομένῳ* BCh *παραγενόμενον* QA ‖ 14. *περὶ* add. ChK om. QAB ‖ 16. *θεραπεύοντι* edd. *θεραπεύοντα* Q ‖ 18. *ἡμερῶν* ChK *ἡμερῶν* (per compendium scr.) Q *ἡμέτερ.* (sic) A *ἡμετέρ.* B ‖ 22. *τοῦτο* Q *τούτου* edd. ‖ *οὐκ οἶδ' ὅπως** *οὐκ οἶδα πῶς* Q edd.; cf. Praef. p. LXXI ‖ 23. *περὶ θώρακος καὶ πνεύμονος** *περὶ πνεύμονος καὶ θώρακος* Q edd.; cf. Praef. p. LXXII ‖ 25. *μετὰ**

*εἰς τὴν πατρίδα πορεύεσθαι χάριν τοῦ μελετήσαντα κατ' αὐτὰ ποιήσασθαί τιν' ἐπίδειξιν ἀνατομικήν. ἀποθανόντος οὖν ἐν τῷ μεταξὺ τοῦ νεανίσκου τὰ βιβλία παρά τισιν ἦν, ὑπονοούμενα τῆς ἐμῆς ἕξεως εἶναι, καί τις ἠλέγχθη προοίμιόν τι τεθεικὼς αὐτοῖς εἶτ' ἀναγιγνώσκων ὡς ἴδια. τούτων τῶν βιβλίων τῷ τρίτῳ κατὰ τὸ τέλος προσέγραψά τινα τῶν ὑπ' ἐμοῦ προσεξευρισκομένων ἐπαγγελίαν ἔχοντα· τὰ γὰρ ἐν τοῖς τρισὶ γεγραμμένα Πέλοπος ἦν τοῦ διδασκάλου δόγματα, παρ' ᾧ διατρίβων ⟨κατὰ⟩ Σμύρναν ἔγραψα ταῦτα * * *. καθιδρύσας ἐμαυτὸν ἐν τῇ πατρίδι μετὰ τὴν ἐκ Ῥώμης ἐπάνοδον εἰχόμην τῶν συνήθων· ἀφίκετο δ' εὐθέως ἐξ Ἀκυληίας τὰ παρὰ τῶν αὐτοκρατόρων γράμματα καλούντων με· προῄρηντο γὰρ αὐτοὶ*
18 *χειμάσαντες ἐπὶ ‖ τοὺς Γερμανοὺς ἐξελαύνειν. ἐπορεύθην μὲν οὖν ἐξ ἀνάγκης, ἐλπίζων δὲ τεύξεσθαι παραιτήσεως· ἤκουον γὰρ εἶναι τὸν ἕτερον αὐτῶν, τὸν πρεσβύτερον, εὐγνώμονά τε καὶ μέτριον ἥμερόν τε καὶ πρᾷον, ὃς ἐκαλεῖτο μὲν ἐξ ἀρχῆς Βῆρος, ἐπεὶ δ' Ἀντωνῖνος ὁ μετὰ τὸν Ἀδριανὸν ἄρξας διάδοχον αὐτὸν ἔθετο τῆς ἀρχῆς, τὸν μὲν ἔμπροσθεν ὀνομαζόμενον Λούκιον κοινωνὸν ἐποιήσατο καλέσας Βῆρον, ἑαυτὸν δὲ μετωνόμασεν Ἀντωνῖνον. ἐπιβάντος οὖν μου τῆς Ἀκυληίας κατέσκηψεν ὁ λοιμὸς ὡς οὔπω πρότερον, ὥστε τοὺς μὲν αὐτοκράτορας αὐτίκα φεύγειν εἰς Ῥώμην ἅμα στρατιώταις ὀλίγοις, ἡμᾶς δὲ τοὺς πολλοὺς μόλις*

κατὰ Q edd. ‖ 2. *αὐτὰ** *αὐτὸ* Q edd. ‖ 10. *κατὰ* ChK, om. QA spatio vacuo quattuor fere litterarum relicto ‖ 11. *ταῦτα* * * *; cf. Praef. p. LXXII ‖ 13. *Ἀκυληίας** *Ἀκυλίας* Q edd.; cf. Praef. p. LXXIII ‖ 17. *αὐτῶν* ChK *αὐτὸν* QAB ‖ 22. *Λούκιον* Q edd. VII 478, 15, XVII B 150; at XIV 613, 2; 647, 17; 649, 13; 650, 2 *Λεύκιον*, VI 666, 13 *Λευκανία* ‖ 24. *Ἀκυληίας**; *Ἀκυλίας* Q edd.

ἐν χρόνῳ πολλῷ διασωθῆναι πλείστων ἀπολλυμένων οὐ μόνον διὰ τὸν λοιμὸν ἀλλὰ καὶ διὰ τὸ μέσου χειμῶνος εἶναι τὰ πραττόμενα. μεταστάντος δ' ἐξ ἀνθρώπων τοῦ Λουκίου κατὰ τὴν ὁδὸν εἰς Ῥώμην αὐτοῦ κομίσας τὸ σῶμα τὴν ἀποθέωσιν Ἀντωνῖνος ἐποιήσατο καὶ μετὰ ταῦτα τῆς ἐπὶ τοὺς Γερμανοὺς στρατείας εἴχετο περὶ παντὸς ποιούμενος ἀπάγειν με, πεισθεὶς δ' ἀφεῖναι λέγοντος ἀκούσας τἀναντία κελεύειν τὸν ‖ πάτριον θεὸν Ἀσκληπιόν, οὗ καὶ θερα- 19
πευτὴν ἀπέφαινον ἐμαυτόν, ἐξ ὅτου με θανατικὴν διάθεσιν ἀποστήματος ἔχοντα διέσωσε, προσκυνήσας τὸν θεὸν καὶ περιμεῖναί με τὴν ἐπάνοδον αὐτοῦ κελεύσας — ἤλπιζε γὰρ ἐν τάχει κατορθώσειν τὸν πόλεμον — αὐτὸς μὲν ἐξῆλθε, καταλιπὼν δὲ τὸν υἱὸν Κόμμοδον, παιδίον ἔτ' ὄντα κομιδῇ νέον, ἐνετείλατο τοῖς τρέφουσιν αὐτὸ πειρᾶσθαι μὲν ὑγιαῖνον φυλάττειν, εἰ δέ ποτε νοσήσειε, καλεῖν ἐπὶ τὴν θεραπείαν ἐμέ. κατὰ τοῦτον οὖν τὸν χρόνον συνελεξάμην τε καὶ εἰς ἕξιν ἤγαγον μόνιμον ἅ τε παρὰ τῶν διδασκάλων ἐμεμαθήκειν ἅ τ' αὐτὸς εὑρήκειν, ἔτι τε ζητῶν ἔνια περὶ τὴν εὕρεσιν αὐτῶν [εἶχον] ἔγραψα πολλὰ γυμνάζων ἐμαυτὸν ἐν πολλοῖς προβλήμασιν ἰατρικοῖς τε καὶ φιλοσόφοις, ὧν τὰ πλεῖστα διεφθάρη κατὰ τὴν μεγάλην πυρκαϊάν, ἐν ᾗ τὸ τῆς Εἰρήνης τέμενος ἅμα καὶ πολλοῖς ἄλλοις ἐκαύθη. καὶ χρονίσαντός γε κατὰ τὴν ἀποδημίαν παρὰ πᾶσαν ἐλπίδα τοῦ Ἀντωνίνου σύμπας

2. *καὶ διὰ τὸ** *καὶ τὸ διὰ* Q edd. ‖ 4. *Λυκίου* QA ‖ 5. *ἀποθέωσιν* ChK *ἀπόθεσιν* QAB ‖ 8. *λέγοντας* K ‖ 12. *τὸν θεὸν* Marqu. coll. Galen. Script. min. I 107, 22, *τῷ θεῷ* Q edd.; cf. Lobeck Phryn. p. 463 ‖ 15. *Κόμμωδον* QA ‖ 20. *ἔτι τε* QAB Ilberg, Rh. Mus. XLIV 211, 1 *εἴ τι τε* ChK ‖ 21. [*εἶχον*]*

ἐκεῖνος ὁ χρόνος ἀξιολογωτάτην τὴν ἄσκησίν μοι παρ-
20 *έσχεν, ὡς τήν τε περὶ χρείας μορίων πραγμα‖τείαν*
ἐν ἑπτὰ καὶ δέκα πληρῶσαι βιβλίοις προσθεῖναί ⟨τε⟩ τὰ
λείποντα τῇ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος
δογμάτων. ἔτι δὲ ζητῶν τινα τῶν ἀνατομικῶν θεωρη-
*μάτων, ἃ ἐδεδώκειν τῷ Βοηθῷ * * * [τὸ] περὶ χρείας*
μορίων [πρῶτον] ἐν τῷ δευτέρῳ δεδήλωται τοὺς κι-
νοῦντας τὸ ἄρθρον ἑκάστου δακτύλου μῦς προσεξευ-
ρῆσθαί μοι ἅπαντας ἀγνοηθέντας ἄχρι πολλοῦ, κα-
θάπερ ἅπασι τοῖς πρὸ ἐμοῦ. ἀνεβαλόμην δ' ἐν ἐκείνῃ
τῇ πραγματείᾳ καὶ περὶ τῆς κινήσεως τῶν ἄνω βλε-
φάρων ἐρεῖν ⟨εἰσ⟩αῦθις ἐπιδείξας ἐν αὐτῇ τοῦτο
μόνον, ὡς αἱ λεγόμεναι πρός τινων οὐκ εἰσὶν ἀληθεῖς.
ὁπότε δ' ἐμαυτόν τ' ἔπεισα καὶ τοὺς ἄλλους, οἷς ἔδειξα,
καὶ ταύτην εὑρῆσθαί μοι καὶ τἆλλα, ὅσα κατὰ τὰς
ἀνατομὰς ἢ κακῶς εἴρηται τοῖς ἔμπροσθεν ἢ ὅλως
παραλέλειπται, τηνικαῦτ' ἤδη καὶ τὰς ἀνατομικὰς ἐγχει-
ρήσεις ἔγραψα. φθασάντων δὲ τῶν περὶ χρείας μο-
ρίων εἰς πολλοὺς ἀφῖχθαι σπουδαζομένων τε τοῖς
ἰατροῖς σχεδὸν ἅπασιν, ὅσοι τὴν παλαιὰν ἰατρικὴν
μετεχειρίζοντο, καὶ τῶν φιλοσόφων τοῖς ἀπ' Ἀριστο-
21 *τέλους, ἐπειδὴ κἀκείνῳ ‖ τοιαύτη τις ἐγεγόνει πραγ-*
ματεία, τῶν βασκάνων τινὲς ὑπὸ φθόνου τὴν πόλιν
ἐπλήρωσαν τῆς μοχθηρᾶς φήμης, ὡς ἕνεκα τοῦ δόξαι
πάμπολυ τοὺς ἔμπροσθεν ὑπερβεβλῆσθαι πολλὰ τῶν

1. *ἀξιολογωτάτην* ChK *ἀξιολογώτατα* QAB ‖ 3. *τε* post *προσθεῖναι* add. ChK, om. QAB ‖ 6. *** [*τὸ*]* ‖ 7. [*πρῶτον*]* Praef. p. LXXIII ‖ 9. *ἅπαντας ἀγνοηθέντας* ChK *ἅπαντος ἀγνοηθέντος* QAB ‖ 12. ⟨*εἰσ*⟩*αῦθις** cf. Praef. p. LXXIV ‖ 17. *παραλέλειπτο* QAB ‖ 19. *τε* Q *δὲ* edd. ‖ 22. *πραγματεία* QBChK *πράγματα* A ‖ 24. *τῆς μοχθηρᾶς φήμης** *εἰς μοχθηρὰς φήμας* Q edd.

οὐδ' ὅλως φαινομένων ἐν ταῖς ἀνατομαῖς γράψαιμι· μὴ γὰρ ἂν ἅπαντας αὐτὰ λαθεῖν. ἐγὼ μὲν οὖν ἐγέλων τε καὶ κατεφρόνουν αὐτῶν· ἀγανακτοῦντες δ' οἱ φίλοι παρεκάλουν με δημοσίᾳ δεῖξαι κατά τι τῶν μεγάλων ἀκουστηρίων τὴν ἀλήθειαν τῶν ὑπ' ἐμοῦ γεγραμμένων ἀνατομικῶν θεωρημάτων. ἐπεὶ δ' οὐκ ἐπειθόμην — ἤδη γὰρ οὕτως εἶχον, ὡς μὴ πεφροντικέναι τῆς δόξης —, οἰηθέντες οἱ βάσκανοι [ἔχειν] ἐξελεγχθῆναί με φοβούμενον, οὐ καταφρονοῦντα τῆς φλυαρίας αὐτῶν προσποιεῖσθαι μεγαλοφροσύνην, οὐδὲ τοῦ σκώπτειν ἀπείχοντο καθ' ἑκάστην ἡμέραν εἰς τὸ τῆς Εἰρήνης τέμενος ἀφικνούμενοι, καθ' ὅ τι καὶ πρὸ τοῦ καυθῆναι πᾶσιν ἦν ἔθος ἀθροίζεσθαι τοῖς τὰς λογικὰς τέχνας μεταχειριζομένοις. ἀναγκασθεὶς οὖν ὑπὸ τῶν φίλων [καὶ] δείξας δημοσίᾳ πολλαῖς ἡμέραις ἐμαυτὸν μὲν οὐδὲν ἐψευσμένον, ἠγνοηκότας δὲ πολλὰ τοὺς ἔμπροσθεν, ἔγραψα παρακληθεὶς ὑπ' αὐτῶν 22 ὑπομνήματα τῶν δειχθέντων τε καὶ λεχθέντων, ἐπιγέγραπται δὲ ταῦτα '⟨περὶ⟩ τῶν ἀγνοηθέντων τῷ Λύκῳ κατὰ τὰς ἀνατομάς' διὰ τήνδε τὴν αἰτίαν. ὁπότε προῆλθον ἐπιδείξων ἐμαυτὸν οὐδὲν ἐψευσμένον ἐν τοῖς ἀνατομικοῖς ὑπομνήμασιν, εἰς τὸ μέσον ἀνέθηκα τὰ τῶν ἀνατομικῶν ἁπάντων βιβλία τὴν ἐξουσίαν δοὺς ἑκάστῳ τῶν παρόντων ὃ βούλεται μόριον ἀνατμηθῆναι προβάλλειν ἐπαγγειλάμενος δείξειν, ὅσα διεφώνησαν τοῖς ἔμπροσθεν, ἀληθῶς ὑπ' ἐμοῦ γεγραμμένα. προβληθέντος δὲ ⟨τοῦ⟩ θώρακος ἐμοῦ τε τὴν ἀρχὴν ἀπὸ

1. ἀνατομαῖς ChK ἀνατομικαῖς QAB ‖ 8. [ἔχειν]*; cf. Praef. p. XXIV ‖ 12. καθ' ὅ τι* καθότι Q edd. ‖ 15. [καὶ]* cf. Praef. p. LXXV ‖ 19. ⟨περὶ⟩*; cf. Praef. p. LXXV ‖ 23. τὰ om. ChK ‖ 25. διεφώνησαν QAB διεφώνησε ChK ‖ 27. ⟨τοῦ⟩ θώρακος*

τῶν παλαιοτάτων ποιουμένου προχειριζομένου τε τὰς βίβλους αὐτῶν ἠξίωσάν τινες τῶν ἀξιολόγων ἰατρῶν ἐν προεδρίᾳ καθεζόμενοι μὴ κατατρίβειν με τὸν χρόνον, ἀλλ' ἐπειδὴ Λύκος ὁ Μακεδών, Κοΐντου μαθητὴς γεγονὼς ἀνδρὸς ἀνατομικωτάτου, τὰ μέχρι τῶν καθ' ἑαυτὸν εὑρημένα πάντ' ἔγραψεν, ἐάσαντα τοὺς ἄλλους μόνα τὰ πρὸς ἐκείνου γεγραμμένα τοῖς ἐμοῖς ἀντεξετάσαι· προσιέμενος οὖν αὐτῶν τὴν ἀξίωσιν οὕτως ἐπὶ πάντων τῶν καθ' ἑκάστην ἡμέραν προβαλλομένων ἐποίησα. πάντα δὲ ταῦτα διὰ τοῦτ' ἠναγκάσθην εἰπεῖν,
23 ὅπως ἴδωσιν οἱ μέλλοντες ‖ ἀναγνώσεσθαί τι τῶν ἐμῶν, κατὰ τίνα τὴν ἡλικίαν ἕκαστον ἔγραψα καὶ κατὰ τίνα τὴν αἰτίαν· ἐκ τούτων γὰρ εἴσονται τά τ' ἐλλιπῶς γεγραμμένα διορίζειν ἀπὸ τῶν τελέως ἐξειργασμένων τά τε κατὰ τὸν πρὸς τοὺς ἀλαζονευομένους ἔλεγχον ἀπὸ τῶν διδασκαλιῶν. ἐπισημανοῦμαι δὲ ταῦτα καὶ διὰ τῶν ἑξῆς, ἐάν που γένηται χρεία· νυνὶ δὲ τὰ διασῳζόμενα τῶν ὑπ' ἐμοῦ γραφέντων δηλώσω τὴν ἀρχὴν ἀπὸ τῶν ἀνατομικῶν ποιησάμενος.

Cap. III. *Περὶ τῶν κατὰ τὴν ἀνατομικὴν θεωρίαν.*

Πρῶτον μὲν ἐν τούτοις τὸ περὶ τῶν ὀστῶν τοῖς εἰσαγομένοις γεγραμμένον, μετὰ τοῦτο δ' ἔστιν ἄλλα τοῖς εἰσαγομένοις βιβλία, τὸ μὲν ἕτερον αὐτῶν φλεβῶν τε καὶ ἀρτηριῶν ἀνατομὴν περιέχον, τὸ δ' ἕτερον νεύρων· ἔστι δέ τι καὶ ἄλλο [‘μυῶν ἀνατομή’] ἐν

1. *τὰς βίβλους* QA *τὰς* om. BChK ‖ 3. *προεδρίᾳ** *προεδρείᾳ* Q edd.; cf. III 429, 13 ‖ 7. *ἐκείνου** *ἐκείνους* Q edd. ‖ 8. *προσιέμενος* KCh *προιέμενος* QAB ‖ 16. *διδασκαλιῶν* ChK *διδασκαλείων* QAB ‖ 21. *τὸ περὶ τῶν* BChK *ὅτι ποτὲ τῶν* Q, item A, sed. in marg. ‘al. *περὶ*’ (pro *ποτὲ*) ‖ 22. *μετὰ τοῦτο δ'* cf. Praef. p. LXXV ‖ 25. [*μυῶν ἀνατομή*]* cf. Praef. l. l.

συντόμῳ διδάσκον ἅπαντ' ἀκριβῶς, ὅσα κατὰ τὰς ἀνατομικὰς ἐγχειρήσεις γέγραπται περὶ μυῶν. εἰ δέ τις βούλοιτο μετὰ τὴν τῶν ὀστῶν ἀνατομὴν ἐπὶ τὰς ἀνατομικὰς ἐγχειρήσεις εὐθέως ἔρχεσθαι, δυνατόν ἐστιν αὐτῷ παρελθεῖν τὰς [περὶ] τῶν ἀγγείων τε καὶ νεύρων ἀνατομάς, ὥσπερ γε καὶ τὴν τῶν μυῶν· ἅπαντα ‖ γὰρ 24 *τὰ τῆς ἀνατομῆς ἐν ταῖς ἐγχειρήσεσι γέγραπται. τὸ μὲν οὖν πρῶτον ἐν αὐταῖς περὶ τῶν κατὰ τὰς χεῖράς ἐστι μυῶν καὶ συνδέσμων, τὸ δὲ δεύτερον περὶ τῶν κατὰ τὰ σκέλη μυῶν καὶ συνδέσμων, τὸ δὲ τρίτον περὶ τῶν ἐν τοῖς κώλοις νεύρων καὶ ἀγγείων, τὸ δὲ τέταρτον περί τε τῶν τὰς γνάθους καὶ τὰ χείλη κινούντων μυῶν καὶ [περὶ] τὴν κάτω γένυν ἔτι τε τῶν τὴν κεφαλὴν καὶ τράχηλον ⟨καὶ⟩ ὠμοπλάτας, τὸ δὲ πέμπτον περὶ τῶν τοῦ θώρακος μυῶν καὶ τῶν κατ' ἐπιγάστριον καὶ τῶν ψοῶν καὶ τῶν ⟨κατὰ⟩ ῥάχιν, τὸ δ' ἕκτον περὶ τῶν τῆς τροφῆς ὀργάνων, ἅπερ ἐστὶν ἔντερα καὶ γαστὴρ ἧπάρ τε καὶ σπλὴν καὶ νεφροὶ καὶ κύστις ὅσα τ' ἄλλα σὺν τούτοις· τὸ δ' ἕβδομον καὶ ὄγδοον τῶν πνευματικῶν μορίων ἀνατομὴν περιέχει, τὸ μὲν ἕβδομον τῶν κατὰ τὴν καρδίαν καὶ τὸν πνεύμονα καὶ τὰς ἀρτηρίας τεθνεῶτός τε καὶ ζῶντος ἔτι τοῦ ζῴου, τὸ δ' ὄγδοον τῶν καθ' ὅλον τὸν θώρακα·*

1. *διδάσκον** *διδάσκων* Q edd. ‖ 5. [*περὶ*]* ‖ 8. *αὐταῖς** *αὐτοῖς* QBChK *ἑαυτοῖς* A ‖ 13. [*περὶ*]*; post *καὶ* (ante *περὶ*) inseruerunt *τῶν* ChK ‖ 14. *τράχηλον καὶ* BChK *τραχὺ* (om. *καὶ*) QA ‖ *ὠμοπλάτας* ChK *ὠμοπλᾶ* Q *ὠμοπλάτ* . . . (sic) A *ὠμοπλάτοις* B ‖ 16. *ἐπιγάστριον* BChK *ἐπὶ γαστρὶ* QA ‖ *ψόων* B *ψώων* QA (an ex *ψοιῶν* depravatum? cf. Lob. Phryn. p. 300. 301) ‖ *τῶν κατὰ ῥάχιν* ChK *τῶν ῥαχῦ* Q *τ. ῥαχυτ.* (sic) A *τῶν ῥάχιν* B ‖ 17. *περὶ τῶν τῆς* Q *τῶν* om. edd. ‖ *ἅπερ* ChK *ὅπερ* QAB ‖ 22. *ἔτι τοῦ* ChK; post *ζῶντος* ras. in Q, *ἔτι τε τοῦ* AB ‖ 23. *τῶν** *τὸν* Q edd.

τὸ δ' ἔνατον ἐγκεφάλου τε καὶ νωτιαίου ἀνατομὴν ἔχει, τὸ δὲ δέκατον ὀφθαλμῶν καὶ γλώττης καὶ στομάχου καὶ τῶν τούτοις συνεχῶν, τὸ δ' ἑνδέκατον τῶν
25 κατὰ ‖ τὸν λάρυγγα καὶ τὸ καλούμενον ὑοειδὲς ὀστοῦν καὶ τῶν συνεχῶν αὐτοῖς ἔτι ⟨τε⟩ τῶν εἰς αὐτὰ παραγιγνομένων νεύρων· τὸ δὲ δωδέκατον ἀρτηριῶν καὶ φλεβῶν, τὸ δὲ τρισκαιδέκατον τῶν ἀπ' ἐγκεφάλου νεύρων, τὸ δὲ τεσσαρεσκαιδέκατον τῶν ἀπὸ νωτιαίου, τὸ δὲ πεντεκαιδέκατον τῶν γεννητικῶν μορίων. τὰ μὲν οὖν ἀναγκαῖα τῆς ἀνατομικῆς θεωρίας ταῦτ' ἐστίν, ἐπὶ δὲ τοῖς ἀναγκαίοις ἄλλα χρήσιμα καὶ ταυτὶ γέγραπται· τῶν Μαρίνου βιβλίων ἀνατομικῶν εἴκοσιν ὄντων ἐν τέτταρσιν ἡμετέροις ἐπιτομή, καθάπερ καὶ τῶν Λύκου πάντων ἐν δυοῖν· ὑπογράψω δ' αὐτῶν ἑκάστου τὰ κεφάλαια. κατὰ τὴν πρώτην ἐπιτομὴν τῶν τοῦ Μαρίνου βιβλίων ἀνατομικῶν ἓξ [αὐτοῦ] τὰ πρῶτα περιέχεται· γράφει δ' ἐν μὲν τῷ πρώτῳ τῶν ἓξ τὸ προοίμιον τῆς ὅλης θεωρίας, εἶτα περὶ δέρματος, εἶθ' ἑξῆς περὶ τριχῶν, εἶτα περὶ ὀνύχων καὶ σαρκῶν καὶ πιμελῆς καὶ στέατος· ἐν δὲ τῷ δευτέρῳ περὶ ἀδένων καὶ ὑμένων καὶ ὑμενωδῶν χιτώνων περιτοναίου τε καὶ ὑπεζωκότος καὶ διαφράγματος· ἐν ⟨δὲ⟩ τῷ τρίτῳ περὶ τῶν λόγῳ θεωρητῶν ἀγγείων καὶ φλεβῶν καὶ ἀρτη-
26 ριῶν ἀνατο‖μῆς καὶ εἰ κατὰ φύσιν ἐν ἀρτηρίαις αἷμα περιέχεται· κατὰ δὲ τὸ τέταρτον, τίς ἐνέργεια ἀρτηριῶν καὶ τίς χρεία καὶ πόθεν ἄρχονται, καὶ τἄλλα·

4. ὑοειδὲς* ὑοειδές Q edd.; cf. Praef. p. LXXVI ‖ 5. ἔτι τε ChK τε om. QAB ‖ 15. τῶν τοῦ* τῶν τὰ QAB τῶν (om. τὰ vel τοῦ) ChK ‖ 16. βιβλίων ChK βιβλία QAB ‖ ἓξ Ilberg [αὐτοῦ]* ἓξ αὐτοῦ Q edd.; cf. Praef. p. LXXVI. LXXVII ‖ 20. ἐν ⟨δὲ⟩ τῷ* ‖ 24. ἀνατομῆς ChK ἀνατομὴ QAB ‖ 25. ἀρτηριῶν* ἀρτηρίας Q edd.

ζητούμενα περὶ αὐτῶν, εἶθ' ἑξῆς περὶ οὐρητήρων, περὶ οὐρητικῶν πόρων καὶ οὐράχου καὶ σπερματικῶν ἀγγείων καὶ χολωδῶν ἀγγείων καὶ πόρων καὶ ἀδένων καὶ περὶ τοῦ ἀπὸ τῶν ἀδένων ἀγγείου καὶ περὶ βρόγχου καὶ περὶ τῶν κατὰ τοὺς μασθοὺς ἀγγείων, ἐν οἷς τὸ γάλα, καὶ περὶ τῶν ἐν τῷ σώματι κεχυμένων καὶ ἀγγείοις περιεχομένων καὶ τίν' ἐν τίσι περιέχεται τῶν ὑγρῶν καὶ τῶν κεχυμένων, καὶ περὶ τροφῆς· ἐν δὲ τῷ πέμπτῳ περὶ τῶν κακὰ τὴν κεφαλήν, τῶν τ' ἄλλων καὶ τῶν ῥαφῶν καὶ μέντοι καὶ τῶν κατὰ τὸ πρόσωπον ῥαφῶν τε καὶ συμφύσεων καὶ πάντων τῶν τῆς κεφαλῆς ὀστῶν καὶ περὶ τῶν κατ' αὐτήν τε καὶ τὸ πρόσωπον τρημάτων καὶ περὶ τῆς κάτω γνάθου καὶ τῶν κατ' αὐτὴν τρημάτων καὶ εἰ ἔστι σύμφυτος ἑαυτῇ, περί τε τῶν ὀδόντων καὶ τοῦ προσκειμένου τῇ κεφαλῇ τοῦ βρόγχου ὀστοῦ καὶ τῶν συνεχῶν αὐτῷ τῶν κατὰ τὰ παρίσθμια τεταμένων· ἐν δὲ τῷ ἕκτῳ περί τ' ὀσχέου γράφει καὶ ἱεροῦ ὀστοῦ καὶ ἰσχίου καὶ πλευροῦ καὶ ‖ στέρνων καὶ ὠμοπλατῶν καὶ ἀκρωμίων καὶ περὶ 27 κλειδῶν καὶ βραχίονος καὶ πήχεως καὶ κερκίδος ὀστῶν τε τοῦ καρποῦ καὶ τῶν δακτύλων καὶ περὶ μηροῦ καὶ τῶν ἑκατέρωθεν τοῦ γόνατος χονδρωδῶν ὀστῶν. ἐν δὲ τῷ δευτέρῳ τῶν ἡμετέρων ὑπομνημάτων, ⟨ἐν οἷς⟩ ἡ τῆς ἀνατομικῆς Μαρίνου θεωρίας ἐστὶν ἐπιτομή, τὸ ἕβδομον καὶ ὄγδοον καὶ ἔνατον καὶ δέκατον περιέχεται

4. περὶ βρόγχου suspectum; cf. infra p. 107, 9, ubi de gutture in libro XI Marini disputatum esse dicitur ‖ 14. σύμφυτος BChK σύμφυσις QA ‖ 16. αὐτῷ* αὐτῶν Q edd. ‖ 18. ὀσχέου ChK ὄσχεως QAB ‖ ἱεροῦ ChK ἑτέρου QAB ‖ 19. ἀκρωμίων ChK ἄκρω μιῶν B ἄκρο μύων Q (-ῶν) A ‖ 20. πήχεως ChK πήχεος QAB ‖ 23. ⟨ἐν οἷς⟩* ἐν ᾧ ChK om. QAB

τῶν Μαρίνου βιβλίων. κεφάλαια δὲ κατὰ μὲν τὸ ἕβδομόν ἐστι περὶ τῆς τοῦ κρανίου κοινωνίας πρός τε τὰς μήνιγγας καὶ τοὺς ἄλλους ὑμένας περί τε τῶν καθ' ὅλον τὸ πρόσωπον νεύρων περί τε κροταφιτῶν μυῶν καὶ μασητήρων καὶ τῶν ἐπὶ τὰς γνάθους καὶ τὰ χείλη μυῶν ἀπὸ τῶν φατνίων καὶ τῶν κατὰ τὰς γνάθους μυῶν, εἶτα περὶ τῶν ἐντὸς τῆς κάτω γνάθου μυῶν τῶν τε περὶ αὐτὴν χωρίς, καὶ τῶν μυκτήρων καὶ τῶν περὶ ⟨τὰς ὑμενώδεις⟩ ἐκφύσεις καὶ τῶν κατὰ τὴν γλῶτταν, εἶτα περὶ γλώττης καὶ τῶν κατ' αὐτὴν μυῶν ἔτι τε περὶ τῶν κατὰ τὸν ὀφθαλμὸν μυῶν. ἐν δὲ τῷ ὀγδόῳ τῶν τοῦ Μαρίνου βιβλίων κεφάλαια ταῦτ' ἐστί· περὶ στόματος καὶ περὶ χειλῶν καὶ ὀδόν-
28 *των καὶ οὔλων καὶ κίο||νος καὶ φαρυγγέθρου ἐπιγλωττίδος τε καὶ παρισθμίων καὶ ἀντιάδων καὶ ῥινὸς καὶ μυκτήρων ὤτων τε καὶ τραχήλου καὶ τῶν κατ' αὐτὸν μυῶν [καὶ τοῦ ὑπὸ τὴν πλευρὰν μυός, τοῦ ὑπὸ τὴν κυλίδα καὶ περὶ τραχήλου φύσεως]. ἐν δὲ τῷ ἐνάτῳ περὶ μυῶν τῶν κατά τε τὰς φρένας καὶ τὴν ῥάχιν καὶ τὰ μεσοπλεύρια καὶ τὸ ἐπιγάστριον ἔτι τε περὶ τῶν τοῦ βραχίονος καὶ τῆς ὠμοπλάτης πήχεώς τε καὶ χειρὸς ἄκρας, ἐν δὲ τῷ δεκάτῳ ⟨περὶ τῆς κνήμης⟩ καὶ τῶν περὶ αὐτὴν μυῶν καὶ ⟨περὶ⟩ σκελῶν καὶ*

1. *κεφάλαια* QChK *κεφαλαίων* AB ‖ 2. *ἐστι** *ἔτι* Q edd. ‖ 3. *τὰς μήνιγγας* ChK *τοὺς μ.* QAB ‖ 7. *περὶ τῶν* Q *περὶ* om. edd. ‖ 9. ⟨*τὰς ὑμενώδεις*⟩* cf. III 747, 16; in QA post *περὶ* spat. vac. 9 ferme litterarum est ‖ 11. *τὸν ὀφθαλμὸν* QAB (cf. de dissectione musc. ed. Dietz p. 8) *τοὺς ὀφθαλμοὺς* ChK ‖ 14. *οὔλων* ChK *οὐλῶν* QAB ‖ 17. [*καὶ — φύσεως*]*; cf. Praef. p. LXXVII ‖ *μυὸς τοῦ ὑπὸ τὴν* QAB *μυὸς καὶ τοῦ ὑ. τ.* ChK ‖ 18. *κυλίδα* Q *κυλιδ.* (sic) A *κοιλίαν* BChK ‖ 19. *κατά τε τὰς* Q *τε* om. edd. ‖ *καὶ τὰ* ChK *κατὰ* QAB ‖ 21. *πήχεως* ChK *πήχεος* QAB ‖ 22. ⟨*περὶ τῆς κνήμης*⟩* Praef. l. l. ‖ 23. *αὐτὴν* QAB *αὐτὸν* ChK ‖ ⟨*περὶ*⟩*

τῶν κατ' αὐτὰ μυῶν καὶ ἄρθρου τοῦ κατὰ γόνυ. ἡ δὲ τρίτη τῶν ἐπιτομῶν ⟨τὸ⟩ ἑνδέκατόν τε καὶ δωδέκατον καὶ ⟨τρισκαιδέκατον καὶ τεσσαρεσκαιδέκατον καὶ⟩ πεντεκαιδέκατον τῶν τοῦ Μαρίνου βιβλίων ἐστίν. ἔγραψε δὲ Μαρῖνος ἐν μὲν τῷ ἑνδεκάτῳ [ἃ μὲν κεφάλαια] 'εἰ φέρεταί τι ἀπὸ νώτων ὑγρὸν εἰς πνεύμονα κατὰ [τε] τὰς εἰσπνοὰς καὶ κατὰ τὰς ἐδωδὰς εἰς γαστέρα πνεύματα', δεύτερον δὲ περὶ στομάχου καὶ μετ' αὐτὸν περὶ βρόγχου καὶ περὶ πνεύμονος καὶ καρδίας καὶ περικαρδίου θυμοῦ· κατὰ δὲ τὸ δωδέκατον τῆς ἑαυτοῦ πραγματείας ὁ Μαρῖνος ἔγραψε περὶ ἥπατος καὶ τῆς ἐν αὐτῷ χολῆς καὶ περὶ σπληνὸς καὶ κοιλίας καὶ μεσεντερίου· κατὰ δὲ τὸ τρισκαιδέκατον πρῶτον ⟨μὲν⟩ περὶ ἐντέρων, || 29 εἶτα περὶ νεφρῶν καὶ οὐρητῆρος καὶ κύστεως καὶ οὐράχου καὶ πόρου τοῦ οὐρητικοῦ καὶ μετὰ ταῦτα περὶ καυλοῦ ἄρρενος καὶ αἰδοίου τοῦ ἄρρενος καὶ θηλείας καὶ περὶ μήτρας καὶ τῶν κυουμένων καὶ περὶ τῶν ὄρχεων, οὓς διδύμους ὀνομάζει, καὶ μετ' αὐτοὺς περὶ ἀδενοειδῶν· ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ τὴν ἀνατομὴν τῶν ἄνω τοῦ ἥπατος ἁπασῶν φλεβῶν ἐποιήσατο· κατὰ δὲ τὸ πεντεκαιδέκατον περί τε τῆς ἀπὸ καρδίας ἐφ' ἧπαρ φερομένης φλεβὸς καὶ τῶν κάτω τοῦ διαφράγματος ἁπασῶν καὶ μετὰ ταῦτα περὶ τῶν καθ' ὅλον τὸ ζῷον ἀρτηριῶν. ἡ δὲ τετάρτη τῶν ἐπιτομῶν κατα⟨γίγνεται περὶ⟩ τὰ λοιπὰ τοῦ

2. ⟨τὸ⟩* || ια' τε καὶ ιβ' καὶ ιε' Q edd. || 5. [ἃ — κεφάλ.]* τὰ μὲν κεφ. ChK || 7. [τε]* || εἰσπνοὰς καὶ τὰς QA, om. B (sed in marg.: 'alii ἐκπνοάς (pro ἐδωδάς)') ChK || 8. μετ' αὐτὸν ChK μετ' αὐτὸ QAB || 13. τὸ ιγ' QAB τὸ om. ChK || πρῶτον μὲν περὶ* περὶ πρώτων Q edd. || 22. ἐπὶ ἧπαρ QChK ἐπὶ ἡ παραφερομένης AB || 25. κατα⟨γίγνεται περὶ⟩* κατὰ Q edd.; cf. Praef. p. LXXVIII

Μαρίνου πέντε βιβλία μετὰ τὸ πεντεκαιδέκατον, ⟨τὸ ἑκκαιδέκατον⟩ ἄχρι τοῦ εἰκοστοῦ περιέχουσα. γέγραπται δ' ἐν τῷ ἑκκαιδεκάτῳ τὰ περὶ τοῦ ἐγκεφάλου ζητούμενα καὶ φαινόμενα, οἷον εἰ σφυγμώδης ἐν αὐτῷ κίνησις καὶ εἰ ἀναπνέομεν εἰς αὐτόν, εἶθ' ἑξῆς περὶ νωτιαίου καὶ μηνίγγων· ἐν δὲ τῷ ἑπτακαιδεκάτῳ περὶ κυριότητος ἐγκεφάλου τὸν λόγον ἐποιήσατο· κατὰ δὲ τὸ ὄγδοον καὶ δέκατον περὶ τῶν κατὰ προαίρεσιν ἐνεργειῶν καὶ περὶ τῆς κατὰ μέρος διαφορᾶς τῶν νεύρων καὶ πόθεν τινὰ ἐκπέφυκεν αὐτῶν· ἐν δὲ τῷ ἐνάτῳ καὶ
30 *δεκάτῳ ‖ περὶ τῶν ἀπ' ἐγκεφάλου πεφυκότων νεύρων καὶ περὶ ὀσφρήσεως καὶ πόθεν ἄρχεται τὸ αἰσθητήριον αὐτῆς καὶ περὶ τῶν ἐπὶ τοὺς ὀφθαλμοὺς νεύρων, ἃ καλοῦσιν Ἡρόφιλός τε καὶ Εὔδημος πόρους, εἶτα * * **

περὶ τῆς τῶν νοσημάτων διαφορᾶς καὶ τὸ περὶ τῆς τῶν συμπτωμάτων· ἕπεται δὲ τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς τὸ τὰς αἰτίας τούτων διδάσκον ἓν βιβλίον, τῷ δὲ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς τὰ περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτιῶν τρία καὶ τούτοις τὰ περὶ τῶν πεπονθότων τόπων. τὸ ⟨δὲ⟩ περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν ἐκ τῶν προηγουμένων τῆς θεραπευτικῆς πραγματείας ἐστὶ καὶ τὰ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς τό τε περὶ πλήθους καὶ τὸ περὶ τῶν παρὰ φύσιν ὄγκων ἔτι τε τὸ περὶ τῶν προκαταρκτικῶν αἰτίων καὶ πρὸς τούτοις τὸ περὶ

1. *⟨τὸ ἑκκαιδέκατον⟩** ‖ 2. *περιέχουσα** *περιέων* Q edd. ‖ 9. *περὶ τῆς . . . διαφορᾶς** *π. τὰς . . . διαφορὰς* Q edd. ‖ 11. *περὶ τῶν ἀπ'* Q *τῶν* om. A spatio 3 litt. relicto ‖ 12. *περὶ ὀσφρήσεως** *περὶ τῶν ῥήσεων* Q *π. τ. ῥύσεων* edd. ‖ 14. *εἶτα * * ** cf. Praef. p. LXXVIII ‖ 16. *ἕπεται δὲ τῷ* ChK *ἑ. δ. τὸ* QAB ‖ 18. *τῷ δὲ* ChK *τὸ δὲ* QAB ‖ 20. post *τόπων* excidisse videtur *ἓξ* ‖ *τὸ ⟨δὲ⟩** ‖ *καὶ τὰ περὶ τῆς** *καὶ τὸ π. τ.* Q edd.; cf. Praef. p. LXXVIII ‖ 25. *αἰτίων** *αἰτιῶν* Q edd.; cf. Praef. p. LXXIX

τῶν συνεκτικῶν καὶ τὸ περὶ τρόμου καὶ παλμοῦ καὶ ῥίγους καὶ σπασμοῦ καὶ τὸ ἐπιγεγραμμένον ‘τέχνη ἰατρική.’

Cap. IV. *Τὰ θεραπευτικά.*

Τεσσαρεσκαίδεκά εἰσι μεθόδου θεραπευτικῆς δύο τε τῶν πρὸς Γλαύκωνα θεραπευτικῶν καὶ τρία ‖ 31 *περὶ φλεβοτομίας, τὸ μὲν πρῶτον πρὸς Ἐρασίστρατον, τὸ δὲ δεύτερον πρὸς τοὺς ἐν Ῥώμῃ Ἐρασιστρατείους, τρίτον δ’ ἐπ’ αὐτοῖς ἄλλο κατὰ τὴν ἡμετέραν γνώμην συγκείμενον θεραπευτικόν· ἔστι δὲ καὶ τὸ περὶ μαρασμοῦ τῶν θεραπευτικῶν. ἐδόθη δέ τινι φίλων βιβλίδιον μικρόν, οὗ νῦν εἰς πολλοὺς ἐκπεσόντος ἔλαβον* [*τὸ*] *ἀντίγραφον ἔχον ἐπιγραφὴν ‘ὑποθήκη παιδίῳ ἐπιλήπτῳ’, τῆς θεραπευτικῆς πραγματείας. θείη δ’ ἄν τις* ⟨*αὐτῆς*⟩ *καὶ τὰ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων τρία καὶ τὸ περὶ τῆς λεπτυνούσης διαίτης καὶ τὸ περὶ εὐχυμίας καὶ κακοχυμίας. οὐδὲν* ⟨*δ’*⟩ *ἧττον τῶν προειρημένων τῆς θεραπευτικῆς πραγματείας εἴη ἂν καὶ τὰ περὶ τῶν Ἐρασιστράτου θεραπευτικῶν λογισμῶν* [*καὶ τῷ Γλαύκωνι τῷ φιλοσόφῳ δοθέντα δύο*]. *τὸ δὲ περὶ τῆς Ἱπποκράτους διαίτης ἐπὶ τῶν ὀξέων νοσημάτων ταχθείη μὲν ἂν καὶ μετὰ τούτων, ταχθείη δ’ ἂν καὶ μετὰ τῶν εἰς* ⟨*τὰ*⟩ *Ἱπποκράτους γεγονότων ὑπομνημάτων, ἐν οἷς πάμπολλα περιέχεται θεραπευτικὰ θεωρήματα, καθάπερ γε καὶ διαγνωστικὰ καὶ προγνωστικά.* ‖ 32

1. *παλμοῦ καὶ ῥίγους** *ῥίγους καὶ παλμοῦ* Q edd.; cf. Praef. p. LXXIX ‖ 13. [*τὸ*]* ‖ *παιδίῳ ἐπιλήπτῳ** *παιδίων ἐπιλήπτων* Q edd.; cf. Praef. p. LXXX ‖ 15. ⟨*αὐτῆς*⟩* ‖ 17. ⟨*δ’*⟩* ‖ 18. de *εἴη ἂν* vd. Praef. p. LXXX ‖ 20 [*καὶ τῷ Γλαύκωνι . . δύο*]* cf. Praef. p. LXXXI ‖ 23. *εἰς τὰ* Ch K *τὰ* om. QAB ‖ *γεγονότων ὑπομνημάτων* Ch K *γεγονότα ὑπομνήματα* QAB ‖ 25. *διαγνωστικὰ* Ch K *διαπρογνωστικὰ* QAB

Cap. V. *Ποῖα τῆς προγνωστικῆς θεωρίας βιβλία.*

Πρῶτα μέν ἐστι τρία περὶ κρισίμων ἡμερῶν, δεύτερον δ' ἐπ' αὐτοῖς τρία περὶ κρίσεων, εἶθ' ἡ περὶ τῶν σφυγμῶν πραγματεία, καθ' ἣν πρῶτα μέν ἐστι τέτταρα περὶ τῆς διαφορᾶς αὐτῶν, δεύτερον δ' ἄλλα τοσαῦτα περὶ τῆς διαγνώσεως, καὶ τρίτον πρὸς αὐτοῖς ἴσα τὸν ἀριθμὸν περὶ τῶν ἐν αὐτοῖς αἰτίων καὶ τέταρτον περὶ τῆς δι' αὐτῶν προγνώσεως ⟨τέτταρα⟩, ἑκκαίδεκα τὰ πάντα, καὶ χωρὶς αὐτῶν [ἔξωθεν] τὸ περὶ χρείας σφυγμῶν τοῖς εἰσαγομένοις γεγραμμένον. ἐν ᾧ τινες ἐζήτησαν, διὰ τί τῶν πυρεττόντων ὁ ἴδιος οὐκ εἴρηται σφυγμός· οἷς ἀπεκρινάμεθα μεῖζον ἢ κατὰ τοὺς εἰσαγομένους εἶναι τὸ σκέμμα μεγάλης ζητήσεως τετευχός. ἀλλὰ τό γε τοσοῦτον εἴρηται κατὰ τὴν ἀρχὴν τοῦ βιβλίου τούτου, δύο δόξας γεγονέναι τοῖς ἰατροῖς, τὴν μὲν ἑτέραν τῶν ἡγουμένων αἰσθάνεσθαι καὶ τῆς συστολῆς τῶν ἀρτηριῶν, τὴν δὲ δευτέραν τῶν ἀναίσθητον αὐτὴν εἶναι λεγόντων, ἠξιοῦμέν τε τὸν εἰσαγόμενον ἐπὶ τῆς ῥᾴονος πρότερον γυμνάσασθαι, καθ' ἣν ἀναίσθητος ἡ συστολὴ γίγνεται. κατὰ ταύτην δὲ τὴν
33 *αἵρεσιν ἡμεῖς ἐπεπείσμεθα πυρε‖τοῦ σημεῖον ἴδιον ἐν σφυγμοῖς οὐδὲν εἶναι, κατὰ δὲ τὴν ἑτέραν, ἣν ἐν τῇ μεγάλῃ πραγματείᾳ τῶν ἑκκαίδεκα βιβλίων ἔγραψα, λέλεκται τὸ σημεῖον. ἀλλ' οἱ μὴ μαθόντες παρὰ διδασκάλοις, ἐοικότες δὲ κατὰ τὴν παροιμίαν τοῖς ἐκ βιβλίου κυβερνήταις τοιαῦτα ζητοῦσιν. ἐμοὶ δὲ καὶ*

8. *αἰτίων** *αἰτιῶν* Q edd.; cf. Praef. p. LXXIX ‖ 9. *⟨τέτταρα⟩** ‖ 10. *[ἔξωθεν]** cf. infra p. 111, 5 ‖ 13. *μεῖζον ἢ* edd. *μείζονι* Q ‖ 15. *τετευχός* Ch K *τετευχώς* QAB ‖ 16. *δόξας* Ch K *δείξας* QAB ‖ 26. *ἐοικότες* B Ch K *ἐθικότες* QA

κατ' ⟨ἀρχὰς⟩ εἴρηται τὴν μὲν τῶν εἰσαγομένων διδασκαλίαν ἑτέραν εἶναι, τὴν δὲ τῶν ἐκδιδασκομένων ἅπαντα τελέως ἑτέραν. γέγονε δ' οὖν μοι καὶ ἄλλο τι βιβλίον ἕν, ἐν ᾧ τὴν σύνοψιν ἐποιησάμην τῶν ἑκκαίδεκα βιβλίων· ἔξωθεν δὲ τούτων ἁπάντων ἐστὶν ὀκτὼ βιβλία τῆς Ἀρχιγένους περὶ σφυγμῶν πραγματείας ἐξήγησίν τε καὶ χρῆσιν ἔχοντα. ἐκ τούτου τοῦ μέρους τῆς τέχνης θείη ἄν τις καὶ τὰ περὶ δυσπνοίας τρία.

Cap. VI. *Περὶ τῶν Ἱπποκρατείων ὑπομνημάτων.*

Οὔτ' ἄλλο τι τῶν ὑπ' ἐμοῦ δοθέντων φίλοις ἤλπισα πολλοὺς ἕξειν οὔτε τὰ τῶν Ἱπποκρατείων συγγραμμάτων ἐξηγητικά· τὴν ἀρχὴν γὰρ [αὐτῶν] οὐδὲν ⟨πρὸς ἔκδοσιν ἀλλ' ἐμαυτὸν⟩ γυμνάζων ἐγεγράφειν εἰς αὐτά ποθ' ὑπομνήματα, καθάπερ ἐποίησα τῆς ἰατρικῆς θεωρίας ἁπάσης καθ' ἕκαστον μέρος ἐμαυτῷ παρασκευάσας 34 *οἷς ἅπαντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην ὑφ' Ἱπποκράτους εἰρημένα περιέχεται διδασκαλίαν ἔχοντα σαφῆ θ' ἅμα καὶ παντοίως ἐξειργασμένην· ἰδίᾳ μὲν γὰρ περὶ κρισίμων ἡμερῶν ἔγραψα κατὰ τὴν Ἱπποκράτους γνώμην, ἰδίᾳ δὲ περὶ κρίσεων, ἰδίᾳ δὲ περὶ δυσπνοίας ἑκάστου τε τῶν ἄλλων ὅλην τε τὴν θεραπευτικὴν μέθοδον ὡσαύτως ἐν τέσσαρσι καὶ δέκα βιβλίοις ἐποιησάμην [ἅπαντα τὰ θεραπευτικὰ καὶ πρὸς αὐτοῖς ταύτην, ἃ κατὰ τὴν ἐκείνου γνώμην]. ἐξηγήσεις δὲ καθ' ἑκάστην*

1. *κατ' ⟨ἀρχὰς⟩** cf. Praef. p. LXXXI ‖ 8. *θείη ἄν τις* ἄν τις θείη* Q edd.; cf. Praef. l. l. ‖ 11. *συγγραμμάτων* συγγράμματα* Q edd. ‖ 12. *[αὐτῶν]* αὐτῶν* Ch K *αὐτὸν* QAB ‖ *⟨πρὸς ἔκδοσιν — ἐμαυτὸν⟩**; cf. Praef. p. LXXXII ‖ 13. *ἐγεγράφειν* ἐγράφην* Q edd. ‖ 16. *οἷς* Q *αἷς* edd. ‖ 23. *[ἅπαντα — γνώμην]**; cf. Praef. p. LXXXII; *ταύτην ἃ κατὰ* QA; 'alias *τ. ἅτε' κ.* B in marg. *τ. ἅτε κ.* ChK ‖ 24. *ἐξηγήσεις* edd. *ἐξήγησις* Q

αὐτοῦ λέξιν ἤδη πολλοῖς τῶν πρὸ ἐμοῦ γεγραμμένας οὐ φαύλως εἰδώς, εἴ τι μοι μὴ καλῶς ἐδόκουν εἰρηκέναι, περιττὸν ἡγούμην ἐλέγχειν· ἐνεδειξάμην δὲ τοῦτο δι' ὧν πρῴην ἔδωκα τοῖς παρακαλέσασι, σπανιάκις ἐν αὐτοῖς εἰπών τι πρὸς τοὺς ἐξηγουμένους αὐτάς. τὴν ἀρχὴν γὰρ οὐδ' εἶχον αὐτῶν ἐν Ῥώμῃ τὰ ὑπομνήματα, πάντων ὧν ἐκεκτήμην βιβλίων ἐν Ἀσίᾳ μεινάντων· εἴ που τοίνυν ἐμεμνήμην ὑπό τινος αὐτῶν πάνυ τι μοχθηρῶς εἰρημένον, ὡς μεγάλως βλάπτεσθαι περὶ τὰ τῆς τέχνης ἔργα τοὺς πιστεύσαντας αὐτοῖς, ἐπεσημηνάμην τοῦτο, τὰ δ' ἄλλα πάντα κατὰ τὴν ἐμαυτοῦ γνώμην εἶπον ἄνευ τοῦ μνημονεῦσαι τῶν ἄλλως ἐξηγουμένων· καὶ τά γ' εἰς τοὺς ἀφορισμοὺς ὑπομνήματα καὶ τὸ περὶ ἀγμῶν καὶ τὸ περὶ ἄρθρων ἔτι τε τὸ προγνωστικὸν καὶ τὸ περὶ διαίτης ὀξέων τό τε περὶ ἑλκῶν καὶ τῶν ἐν κεφαλῇ τρωμάτων τό τε πρῶτον τῶν ἐπιδημιῶν οὕτως ἐγράφη. μετὰ ταῦτα δέ τινος ἀκούσας ἐξήγησιν ἀφορισμοῦ μοχθηρὰν ἐπαινοῦντος ὅσα τοῦ λοιποῦ τισιν ἔδωκα, πρὸς κοινὴν ἔκδοσιν ἀποβλέπων, οὐκ ἰδίαν ἕξιν ἐκείνων μόνων τῶν λαβόντων, οὕτως συνέθηκα· ταῦτα δ' ἐστὶν ἐπιδημιῶν μὲν τὰ εἰς τὸ δεύτερον καὶ τρίτον καὶ ἕκτον ὑπομνήματα γεγραμμένα, πρὸς τούτοις δὲ καὶ τοῦ περὶ χυμῶν καὶ περὶ τροφῆς καὶ προρρητικοῦ περί τε φύσιος ἀνθρώπου καὶ τοῦ κατ' ἰητρεῖον, ὥσπερ γε καὶ τοῦ περὶ τόπων, ἀέρων, ὑδάτων, ὃ ἐγὼ περὶ οἰκήσεων καὶ ὑδάτων καὶ ὡρῶν καὶ χωρῶν ἐπιγεγράφθαι φημὶ δεῖν. ἔστι δὲ τὰ μὲν

2. εἰδώς* εἶναι Q edd. ‖ 5. αὐτάς (sc. τὰς Ἱπποκράτους λέξεις)* αὐτά Q edd. ‖ 12. εἶπον Q Ch K εἰπὼν A B ‖ 24. φύσιος* φύσεως Q edd. ‖ 25. ἰητρεῖον B Ch K ἰητρίον Q A ‖ ὥσπερ γε καὶ Q γε om. edd. ‖ τόπων ἀέρων ὑδάτων Q A B τ. καὶ ἀ. καὶ ὑ. Ch K ‖ 27. ἔστι δὲ Ilberg ἔτι δὲ Q edd.; cf. Praef. p. LXXXIII

*εἰς τοὺς ἀφορισμοὺς ἑπτά, τὰ δ’ εἰς τὰ περὶ ἀγμῶν
τρία, τὰ δ’ εἰς τὰ ‖ περὶ ἄρθρων τέτταρα, τὰ δ’ εἰς* 36
*τὸ προγνωστικὸν τρία, τὰ δ’ εἰς τὸ περὶ διαίτης ὀξέων,
τρία μὲν εἰς τὸ γνήσιον αὐτοῦ μέρος, δύο δ’ εἰς τὰ
προσκείμενα. τὸ δὲ περὶ ἑλκῶν καὶ τὸ περὶ ⟨τῶν⟩
ἐν κεφαλῇ τρωμάτων ἑκάτερον ἐξηγησάμην δι’ ἑνὸς
βιβλίου, τὸ δὲ πρῶτον τῶν ἐπιδημιῶν, ὥσπερ γε καὶ
τὸ τρίτον, διὰ τριῶν ἑκάτερον, τὸ δὲ δεύτερον δι’ ἕξ,
δι’ ὀκτὼ δὲ τὸ ἕκτον· εἰς δὲ τὸ περὶ χυμῶν ὑπομνήματά μοι τρία γέγονεν, ὥσπερ γε καὶ εἰς τὸ προγνωστικὸν καὶ εἰς τὸ κατ’ ἰητρεῖον καὶ εἰς τὸ περὶ τόπων
καὶ ἀέρων καὶ ὑδάτων· εἰς δὲ τὸ περὶ τροφῆς ὑπομνήματά μοι τέτταρα γέγονεν, εἰς δὲ τὸ περὶ φύσιος ἀνθρώπου δύο, ὧν ἤδη γεγονότων ἀκούσας ὑπό τινων
διαβάλλεσθαι τὸ βιβλίον ὡς οὐ γνήσιον ἔγραψα τρία
τὴν ἐπιγραφὴν ἔχοντα τήνδε ‘ὅτι καὶ κατ’ ἄλλα συγγράμματα τὴν αὐτὴν δόξαν ἔχων ὁ Ἱπποκράτης φαίνεται ⟨τῇ⟩ κατὰ τὸ ⟨περὶ⟩ φύσιος ἀνθρώπου.’ τῷ
δ’ Ἱπποκράτει προσήκοντ’ ἐστὶ καὶ ταῦτα· περὶ τῆς
καθ’ Ἱπποκράτην ‖ διαίτης ἐπὶ τῶν ὀξέων νοσημάτων,* 37
*ὥσπερ γε καὶ ἡ τῶν παρ’ αὐτῷ γλωττῶν ἐξήγησις, καὶ
τὸ πρὸς Λύκον περὶ τοῦ ἀφορισμοῦ, οὗ ἡ ἀρχὴ ‘τὰ
αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν’, ὥσπερ*

5. *προσκείμενα* edd. *προκείμενα* Q; ceterum cf. XV 324: *ἐν τοῖς τέτταρσιν ὑπομνήμασιν* ‖ ⟨*τῶν*⟩* ‖ 6. *ἐν κεφαλῇ* Ch K *ἐγκεφάλου* Q A B ‖ *ἐξησάμην* Q ‖ 11. *ἰητρεῖον* Ch K *ἰητρίον* Q A B ‖ 17. post *ὑδάτων* legitur in Q edd.: *ὑφ’ ἣν* (*ὅ φημι* Ch K) *ἐγὼ περὶ οἰκήσεων καὶ ὑδάτων καὶ ὡρῶν καὶ χωρῶν ἐπιγεγράφθαι δεῖν*, quod e p. 112, 16 moleste interpolatum delevimus ‖ 16. *κατ’ ἄλλα** *κατὰ τὰ ἄλλα* Q edd. ‖ 18. ⟨*τῇ*⟩ *κατὰ τὸ* ⟨*περὶ*⟩* *τὸ κατὰ τὸ* Q A B *τῷ κατὰ τὸ* Ch K; cf. Praef. p. LXXXIII ‖ 20. *Ἱπποκράτην** *Ἱπποκράτη* Q *Ἱπποκράτους* edd.; ceterum cf. Praef. p. LXXXIII ‖ 21. *αὐτῷ** *αὐτοῦ* Q edd. ‖ 22. *Λύκον* Q A B *Λύκου* Ch K

γε καὶ ⟨τὸ⟩ πρὸς Ἰουλιανὸν τὸν μεθοδικὸν ὑπὲρ ὧν ἐνεκάλεσεν τοῖς Ἱπποκρατείοις ἀφορισμοῖς. Ἱπποκράτει δὲ προσήκει καὶ ἄλλο τι βιβλίον σμικρόν, ἐν ᾧ δείκνυμι [καὶ] τὸν ἄριστον ἰατρὸν πάντως εἶναι καὶ φιλόσοφον, ἐπιγράφεται δὲ τὸ βιβλίον καὶ διὰ συντομωτέρας ἐπιγραφῆς οὕτως· ⟨'ὅτι ὁ ἄριστος ἰατρὸς καὶ φιλόσοφος'⟩.

Cap. VII. *Περὶ τῶν εἰς Ἐρασίστρατον διαφερόντων.*

Εἰς μὲν τὸ πρῶτον τῶν περὶ πυρετῶν ὑπομνήματα γέγραπται τρία, τοῦ τρίτου δὲ περὶ πυρετῶν τὰ πρῶτα τῆς Ἐρασιστράτου θεραπευτικῆς πραγματείας ἐστὶν ὑπομνήματα· αὕτη δ' ἡ θεραπευτικὴ πραγματεία τὴν μὲν ἐπιγραφὴν ἔχει 'περὶ τῶν Ἐρασιστράτου θεραπευτικῶν λογισμῶν', γέγονε δ' ἐν ὑπομνήμασιν πέντε. ἔστι δὲ καὶ τὰ περὶ Ἐρασιστράτου ἀνατομῆς τρία βιβλία καὶ περὶ φλεβοτομίας δύο, τό τε πρὸς Ἐρασίστρατον αὐτὸν γεγραμμένον καὶ τὸ πρὸς ⟨τοὺς⟩
38 *ἐν Ῥώμῃ Ἐρασιστρατείους· προσήκει δ' ‖ Ἐρασιστράτῳ κἀκεῖνο τὸ βιβλίον, ἐν ᾧ ζητοῦμεν, εἰ κατὰ φύσιν ἐν ἀρτηρίαις αἷμα περιέχεται, καθάπερ γε καὶ τὸ περὶ χρείας ἀναπνοῆς καὶ τὰ τῶν φυσικῶν δυνάμεων τρία, ἃ περιέχει κρίσιν ἁπάντων ὧν ἔγραψεν Ἐρασίστρατος ἐν τοῖς καθόλου λόγοις ὑπὲρ τῶν φυσικῶν ἐνεργειῶν.*

1. *καὶ ⟨τὸ⟩** ‖ 2. *ἐνεκάλεσεν* QAB *ἐνεκάλεσε* Ch K ‖ *Ἱπποκράτει* Ch K *Ἱπποκράτη* Q — *της* AB ‖ 3. *σμικρὸν* edd. *σμικρῶ* Q ‖ 4. *[καὶ]** ‖ 6. *⟨ὅτι — φιλόσοφος⟩** cf. Praef. p. LXXXIII ‖ 17. *δύο*; cf. Praef. p. LXXXIV ‖ 18. *τοὺς* add. Ch K, om. QAB ‖ 20. *κἀκεῖνο* edd. *κακείνω* Q ‖ 22. *τὰ τῶν* Q *τὰ περὶ* edd.; cf. Praef. p. LXXXIV ‖ *φυσικῶν δὲ* Q

Cap. VIII. *Περὶ τῶν Ἀσκληπιάδῃ προσηκόντων.*

Ὀκτὼ μὲν 'περὶ τῶν Ἀσκληπιάδου δογμάτων' ἐπιγεγραμμένα, μικρὸν δ' ἄλλο τὴν ἐπιγραφὴν ἔχον 'περὶ οὐσίας τῆς ψυχῆς κατ' Ἀσκληπιάδην.'

Cap. IX. *Περὶ τῶν τοῖς ἐμπειρικοῖς ἰατροῖς διαφερόντων.*

Τῆς Θεοδᾶ εἰσαγωγῆς ὑπομνήματα πέντε· περὶ τῶν Μηνοδότου Σεβήρῳ ἕνδεκα· τῶν Σεραπίωνος πρὸς τὰς αἱρέσεις δύο ὑποτυπώσεις ἐμπειρικαί· περὶ τῆς ἰατρικῆς ἐμπειρίας· περὶ τῆς τῶν ἐμπειρικῶν διαφωνίας τρία· πρὸς τὰ ἀντειρημένα τοῖς περὶ τῆς διαφωνίας τῶν ἐμπειρικῶν τοῦ τε Θεοδᾶ κεφάλαια ὑπομνήματα τρία· [*εἰς τὸ Μηνοδότου Σεβήρῳ*]*· προτρεπτικὸς ἐπ' ἰατρικήν· 'σύνοψις τῶν Ἡρακλείδου περὶ τῆς ἐμπειρικῆς αἱρέσεως' ἑπτά.*

Cap. X. *Περὶ τῶν τοῖς μεθοδικοῖς διαφερόντων.*

Μεθοδικῆς αἱρέσεως ἕξ· πρὸς τὰ ὑπὸ Ἰουλιανοῦ ἀντειρημένα τοῖς Ἱπποκράτους ἀφορισμοῖς. ‖ 39

Cap. XI. *Περὶ τῶν εἰς τὰς ἀποδείξεις χρησίμων βιβλίων.*

Ἅπαντας ἀνθρώπους ὁρῶν, ἐν οἷς ἀμφισβητοῦσιν, ἑαυτούς τ' ἀποδεικνύειν ἐπαγγελλομένους ἐλέγχειν τε τοὺς πέλας ἐπιχειροῦντας οὐδὲν οὕτως ἐσπούδασα μα-

1. *Ἀσκληπιάδου* QAB ‖ 11. *τοῖς περὶ τῆς* Q *τοῖς περὶ* om. edd. ‖ 13. [*εἰς τὸ Μηνοδότου Σεβήρῳ*]* cf. Praef. p. LXXXIV ‖ 14. *σύνοψις* QChK *σύνοψιν* AB; cf. Praef. p. LXXXV ‖ *Ἡρακλείδου* Q *ἡρακλήδ.* (sic) AB *Ἡρακλειδείων* Ch K ‖ 21. *ὁρῶν* edd. *ὁρῶ* Q

θεῖν ἁπάντων πρῶτον ὡς τὴν ἀποδεικτικὴν θεωρίαν ἠξίωσά τε παρὰ τῶν φιλοσόφων — ἐκείνους γὰρ ἤκουον αὐτὴν διδάσκειν —, εἰ μέν τι καὶ ἄλλο κατὰ τὸ λογικὸν μέρος τῆς φιλοσοφίας διδάσκεται, φυλάττειν εἰσαῦθις, τὴν ⟨δ'⟩ ὠδῖνα τῆς περὶ τὰς ἀποδείξεις ἐπιθυμίας παῦσαι διδάξαντας, ἥτις ἄρα μέθοδός ἐστιν, ἣν ὁ μαθὼν ἑτέρου τε λέγοντος λόγον ἀποδεικτικὸν ἀκριβῶς γνωριεῖ, πότερον ὄντως ἐστὶ τοιοῦτος ἢ καθάπερ τι νόμισμα κίβδηλον ἔοικε μὲν τῷ δοκίμῳ, μοχθηρὸς δὲ κατ' ἀλήθειάν ἐστιν, αὐτός τε δυνήσεται καθ' ἕκαστον τῶν ζητουμένων ὁδῷ τινι χρώμενος ἐπὶ τὴν εὕρεσιν αὐτοῦ παραγενέσθαι. πᾶσιν οὖν τοῖς κατ' ἐκεῖνον τὸν χρόνον ἐνδόξοις Στωϊκοῖς τε καὶ Περιπατητικοῖς ἐμαυτὸν ἐγχειρίσας πολλὰ μὲν ἔμαθον ἄλλα τῶν λογικῶν θεωρημάτων, ἃ τῷ μετὰ ταῦτα χρόνῳ σκοπούμενος ἄχρηστα πρὸς τὰς ἀποδείξεις εὗρον,
40 ὀλίγιστα δὲ χρησίμως μὲν αὐ|τοῖς ἐζητημένα καὶ τοῦ προκειμένου σκοποῦ τυχεῖν ἐφιέμενα, διαπεφωνημένα δὲ καὶ ταῦτα παρ' αὐτοῖς ἐκείνοις, ἔνια δὲ καὶ ταῖς φυσικαῖς ἐννοίαις ἐναντία, καὶ νὴ τοὺς θεούς, ὅσον ἐπὶ τοῖς διδασκάλοις, εἰς τὴν τῶν Πυρρωνείων ἀπορίαν ἐνεπεπτώκειν ἂν καὶ αὐτός, εἰ μὴ καὶ τὰ κατὰ γεωμετρίαν ἀριθμητικήν τε καὶ λογιστικὴν κατεῖχον, ἐν αἷς ἐπὶ πλεῖστον ὑπὸ τῷ πατρὶ παιδευόμενος ἐξ ἀρχῆς προεληλύθειν ἀπὸ πάππου τε καὶ προπάππου διαδεδεγμένῳ τὴν θεωρίαν. ὁρῶν οὖν οὐ μόνον ἐναργῶς ἀληθῆ φαινόμενά μοι τὰ κατὰ τὰς ἐκλείψεων

5. τὴν ⟨δ'⟩* ‖ 8. γνωριεῖ Marqu. γνωρίσει Q edd.; cf. Praef. p. LV ‖ 14. ἐγχειρίσας Ch K ἐγχειρήσας QAB ‖ 19. παρ' αὐτοῖς* παρὰ τοῖς Q edd. ‖ 21. Πυρρωνείων Ch K Πυρρωνίων QAB ‖ ἀπορίαν Ch K ἀποριῶν QAB ‖ 23. κατεῖχον Marqu. κατέχων Q edd. ‖ 26. διαδεδεγμένῳ Marqu. διαδεδεγμένων Q edd.

προρρήσεις ὡρολογίων τε καὶ κλεψυδρῶν κατασκευὰς ὅσα τ' ἄλλα [τὰ] κατὰ τὴν ἀρχιτεκτονίαν ἐπινενόηται, βέλτιον ᾠήθην εἶναι τῷ τύπῳ τῶν γεωμετρικῶν ἀποδείξεων χρῆσθαι· καὶ γὰρ καὶ αὐτοὺς τοὺς διαλεκτικωτάτους καὶ φιλοσόφους οὐ μόνον ἀλλήλοις ἀλλὰ καὶ ἑαυτοῖς ηὕρισκον διαφερομένους ἐπαινοῦντας ὅμως ἅπαντας ὡσαύτως τὰς γεωμετρικὰς ἀποδείξεις· ἀλλήλοις μὲν λέγω διαφέρεσθαι τοὺς φιλοσόφους ἐν τῇ λο|γικῇ θεωρίᾳ, τοὺς Περιπατητικούς τε καὶ Στωϊκοὺς 41
καὶ Πλατωνικούς, ἑαυτοῖς δὲ πάλιν ἰδίᾳ τοὺς καθ' ἑκάστην αἵρεσιν (μικρὰ μὲν δή πώς ἐστιν ἡ παρὰ τοῖς Περιπατητικοῖς διαφωνία, μεγάλη δὲ παρὰ τοῖς Στωϊκοῖς καὶ Πλατωνικοῖς). κατὰ τοῦτο τοίνυν ἔτι καὶ μᾶλλον ἔγνων δεῖν ἀποστῆναι μὲν ὧν ἐκεῖνοι λέγουσιν, ἀκολουθῆσαι δὲ τῷ χαρακτῆρι τῶν γραμμικῶν ἀποδείξεων. ὅσοι τοίνυν ἐθέλουσι κατὰ τὰς γραμμικὰς ἀποδείξεις ἀσκηθῆναι, παιδευθῆναι μὲν [ἐν] αὐτοῖς ἐν ἐκείναις συμβουλεύω, μετ' ἐκείνας δὲ τὴν ἡμετέραν ἀναλέξασθαι περὶ τῆς ἀποδείξεως πραγματείαν, ἣν ἐν πεντεκαίδεκα βιβλίοις ἐποιησάμην. ἔγραψα δ' ἄλλα πολλὰ γυμνάζων ἐμαυτόν, ὧν ἔνια μὲν ἀπώλετο κατὰ τὴν γενομένην πυρκαϊάν, ἡνίκα τὸ τῆς Εἰρήνης τέμενος ἐκαύθη, τινὰ δὲ φίλοις δεδομένα διασωθέντα παρὰ πολλοῖς ἐστι νῦν, ὥσπερ καὶ τἄλλα τὰ ἡμέτερα. καὶ μέντοι καὶ τῶν ὑπομνημάτων ὧν ἔγραψα τὰ μὲν ὑπ'

2. [τὰ]* ‖ 3. *τῷ τύπῳ τῶν γεωμετρικῶν ἀποδείξεων** *τὸν τύπον τὸν γεωμετρικὸν ἀποδείξει* Q edd. ‖ 6. *ἑαυτοῖς* Marqu. *αὐτοῖς* AB *αὐτοῖς* Ch K *αὐτοὺς* Q ‖ *ὅμως** *ὁμοίως* Q edd. ‖ 9. *τοὺς Π.* Ch K *τοὺς δὲ Π.* QAB ‖ 10. *ἑαυτοῖς** *ἑαυτοὺς* QA *ἑαυτῶν* Ch ‖ 11. *αἵρεσιν** *αὐτῶν* Q edd. ‖ 13. verba *κατὰ τοῦτο τοίνυν — ἀποδείξεων* in Q edd. inter *τὰς γεωμετρικὰς ἀποδείξεις* et *ἀλλήλοις μὲν* interiecta transposui post *Πλατωνικοῖς* ‖ 17. *μὲν [ἐν] αὐτοῖς** *μὲν ἐν αὐτοῖς* Q *μέν τι ἑαυτοὺς* edd.

ἐμοῦ δοθέντα φίλοις, τὰ δ' ὑπὸ τῶν οἰκετῶν κλεψάντων ἐκδοθέντα παρ' ἄλλων ἔλαβον ὕστερον· ἔστι δ' ἐν αὐτοῖς τρία μὲν εἰς τὸ περὶ ἑρμηνείας Ἀριστοτέλους, τέτταρα δ' εἰς τὸ πρότερον τῶν περὶ συλλογισμῶν, καθάπερ γε καὶ εἰς τὸ δεύτερον ἴσα τὸν ἀριθμόν· ἐπι-
42 γράφουσι δ' αὐτὰ ‖ σχεδὸν ἅπαντες οἱ νῦν 'ἀναλυτικῶν προτέρων', ὥσπερ γε καὶ 'δευτέρων' τὰ [δὲ] περὶ τῆς ἀποδείξεως. αὐτὸς ⟨δ'⟩ ὁ Ἀριστοτέλης τῶν μὲν προτέρων ὡς περὶ συλλογισμοῦ γεγραμμένων αὐτῷ μέμνηται, τῶν δὲ δευτέρων ὡς περὶ ἀποδείξεως, ὧν ἐστι καὶ αὐτῶν ὑπομνήματα διασῳζόμενα τῶν ἐμῶν, εἰς μὲν τὸ πρότερον ἕξ, εἰς δὲ τὸ δεύτερον πέντε. τούτων τῶν ὑπομνημάτων ἁπάντων οὐδὲν ὡς πρὸς ἔκδοσιν ἐγράφη, καθάπερ οὐδὲ τὰ ἓξ [τὰ] εἰς τὸ Θεοφράστου βιβλίον, ὃ περὶ καταφάσεως καὶ ἀποφάσεως ἔγραψε (τὰ δ' εἰς τὸ περὶ λέξεως Εὐδήμου πρότερον ἑταίροις ἀξιώσασιν ἐποιησάμην)· τοῦ δὲ τῶν δέκα κατηγοριῶν οὐκ ἐποιησάμην οὔτ' ἐμαυτῷ τι τοιοῦτον ὑπόμνημα πρόσθεν οὔθ' ἑτέροις ἔδωκα καὶ διὰ τοῦθ' ὕστερόν ποτε τῶν ἑταίρων τινὶ δεηθέντι ὑπομνήματ' ἔχειν ⟨περιέχονθ'⟩, ὅσα [κατὰ τὸ βιβλίον] ⟨ἀν⟩ήκουσιν εἰς τὰς τῶν ἐν αὐτῷ ζητουμένων λύσεις ***, κοινωνεῖν ἐκέλευσα τῶν ὑπομνημάτων ἐκείνοις μόνοις τοῖς ἀνεγνωκόσι παρὰ διδασκάλῳ τὸ βιβλίον ἢ πάντως γε

6. 'ἀναλυτικῶν προτέρων' cf. VIII 765, 'δευτέρων' VIII 706, 1 ‖ 7. τὰ περὶ Ch K τὰ δὲ π. QAB ‖ 8. αὐτὸς ⟨δ'⟩ ὁ* ‖ 9. αὐτῷ Ch K αὐτῶ QAB ‖ 14. τὰ ἓξ [τὰ]* ‖ τὸ ante Θεοφρ.* τοῦ Q edd. ‖ 16. ἔγραψε Ch K ἔγραψα QAB ‖ τὸ περὶ λέξεως* τὸ πρότερον λέξεως Q edd.; cf. Praef. p. LXXXV ‖ 17. ἑταίροις* ἑτέροις Q edd. ‖ 18. ἐποιησάμην* ἐποίησα Q edd. ‖ 20. ἑταίρων Ch K ἑτέρων QAB ‖ 21. ⟨περιέχονθ'⟩ ὅσα [κατὰ τὸ βιβλίον]* ‖ ⟨ἀν⟩ήκουσιν* ἥκουσιν Q edd. ‖ 22. εἰς τὰς QAB εἰς τὰ Ch K ‖ λύσεις *** cf. Praef. p. LXXXVI ‖ 24. διδασκάλῳ* διδασκάλου Q edd.; cf.

προεισηγμένοις δι' ἑτέρων ἐξηγητικῶν, ὁποῖα τά τ' Ἀδράστου καὶ Ἀσπασίου ἐστίν. ἔτι δὲ παῖς ὢν ἡνίκα 43 *πρῶτον ὁ πατήρ μέ τινι τὴν λογικὴν θεωρίαν Χρυσίππου τε καὶ τῶν ἐνδόξων Στωϊκῶν διδάξαντι παρέδωκεν, ἐποιησάμην ἐμαυτῷ τῶν Χρυσίππου συλλογιστικῶν βιβλίων ὑπομνήματα καὶ ταῦθ' ὕστερον ἐφάνησαν ἔχοντές τινες ἐν Περγάμῳ μὲν καταλειφθέντα μετὰ πολλῶν ὑπομνημάτων, ἃ μειράκιον ὢν ἐποιησάμην, [ἐκ]δοθέντα δ' ὑπ' οἰκέτου τισὶ τῶν αἰτησάντων.*

Ἃ δ' ἐγὼ μετὰ τὴν περὶ τῆς ἀποδείξεως πραγματείαν ἔγραψα πλατύτερον ἐξειργασμένα τῶν ἐν ἐκείνοις συντόμως εἰρημένων, ταῦτ' ἐστί· περὶ τῶν ἀναγκαίων εἰς τὰς ἀποδείξεις ἕν· περὶ τῶν παραλειπομένων προτάσεων ἐν τῇ λέξει τῶν ἀποδείξεων ἕν· περὶ τῶν ἰσοδυναμουσῶν προτάσεων ἕν· περὶ τῶν κατὰ ⟨τὸ⟩ διότι ἀποδείξεων ἕν· περὶ τοῦ τῶν συλλογισμῶν ἀριθμοῦ ἕν· περὶ παραδείγματος δύο· περὶ ἐπαγωγῆς ἕν· περὶ εἰκόνος ἕν· περὶ ὁμοιότητος τρία· περὶ ⟨τῶν⟩ ἐξ ὑποθέσεων ἀρχῶν ἕν· περὶ ⟨τῶν⟩ κατὰ τὸ γένος καὶ τὸ εἶδος καὶ τῶν συζυγούντων αὐτοῖς σημαινομένων ἡμῖν κατὰ τὴν αὐτόματον φωνὴν ἕν· ‖ περὶ τοῦ δυνατοῦ· 44 *περὶ τῶν πολλαχῶς λεγομένων τρία· περὶ τῶν ἐν ταῖς τέχναις κοινῶν καὶ ἰδίων ἕν· περὶ τῶν ἑαυτοὺς περιτρεπόντων λόγων ἕν· περὶ τῶν ἐνδεχομένων προτάσεων*

Praef. p. LXXXVII ‖ 1. *προεισηγμένοις* Ch K *προεισημένοις* Q A B ‖ 3. *μέ τινι** *με τὰ* Ch K *μετὰ* Q A B ‖ *Χρυσίππου τε* Q A *τε* om. B Ch K ‖ 5. *ἐμαυτῷ** *ἐν αὐτῷ* Q edd. ‖ 7. *καταλειφθέντα* Ch K *καταληφθέντα* Q A B ‖ 9. *[ἐκ]δοθέντα** ‖ 15. ⟨*τὸ*⟩ Ilberg, cf. Praef. p. LXXXVII ‖ 17. post *περὶ εἰκόνος ἕν* Ch K *περὶ εἰκότος ἕν* interpolaverunt, quod neque in Q neque in A B legitur ‖ 18. *περὶ ⟨τῶν⟩ ἐξ** ‖ 19. *περὶ τῶν κατὰ* Ch K *τῶν* om. Q A B ‖ 21. *περὶ τοῦ δυνατοῦ* Q A B, *π. τ. δ. ἕν* Ch K

ἕν· περὶ τῶν ἐκ μικτῶν προτάσεων [καὶ] συλλογισμῶν ἕν· ʽὅπως χρὴ διακρίνειν τὴν πραγματικὴν ζήτησιν τῆς κατ' ὄνομα καὶ [τὸ] σημαινόμενον' ἕν· περὶ Κλειτομάχου καὶ τῶν τῆς ἀποδείξεως αὐτοῦ λύσεων· περὶ τοῦ κοινοῦ λόγου δύο· περὶ τῆς ἀρίστης διδασκαλίας πρὸς Φαβωρῖνον· ὑπὲρ Ἐπικτήτου πρὸς Φαβωρῖνον ἕν· περὶ χρείας συλλογισμῶν· [περὶ χρείας ⟨τῶν⟩ εἰς τοὺς συλλογισμοὺς θεωρημάτων πρῶτον καὶ δεύτερον]· περὶ τῆς ἀρίστης αἱρέσεως ἕν· περὶ ὀνομάτων ὀρθότητος τρία· περὶ τοῦ τῶν ὄντων ἕκαστον ἕν τ' εἶναι καὶ πολλά· περὶ τοῦ ʽὅτι τοῖς ἀντικειμένοις ἓν καὶ ταὐτὸν ἐξ ἀνάγκης ἀκολουθεῖν ἀδύνατόν ἐστιν' ἕν· περὶ τῆς ἀποδεικτικῆς εὑρέσεως ἕν [περὶ τῆς λογικῆς δευτέρας καὶ θεωρίας ἕν]· διάλογοι πρὸς φιλόσοφον † ἰδίως ⟨περὶ⟩ τοῦ κατὰ τὰς κοινὰς ἐννοίας . . .· πρὸς τοὺς ἐπηρεαστικῶς ἀκούοντας τῶν ὀνομάτων ἕν· [περὶ 45 *τῶν ἰδίων καὶ κοινῶν ἐν ταῖς τέχναις·] περὶ τῆς ‖ τῶν τεχνῶν συστάσεως τρία· περὶ τῶν σημαινομένων ἐκ τῆς ⟨κατ'⟩ εἶδος καὶ γένος φωνῆς καὶ τῶν παρακειμένων αὐτοῖς· σύνοψις τῆς ἀποδεικτικῆς θεωρίας, ἕν· περὶ τῆς κρίσεως τῶν διαφωνούντων ἐν τοῖς δόγμασιν· ʽὅτι τῆς πρώτης οὐσίας ἀχώριστος ἡ ποσότης' ἕν·*

1. *ἐκ μικτῶν* Q *ἐκ* om. edd.; cf. p. 123, 8 ‖ [*καὶ*]* ‖ 3. *Κλειτομάχου* QAB *Κλειστομ.* Ch K ‖ 4. *τῶν . . . λύσεων* Ch K *τὰς . . . λύσεις* A *λύσις* in ras. Q ‖ post *λύσεων* *ἕν* add. Ch K, abest in QAB ‖ 6. *πρὸς Φαβωρῖνον* post *διδασκαλίαν* om. Ch K; cf. Praef. p. LXXXVIII ‖ *Φαβωρῖνον* (bis)* *Φαβουρῖνον* Q edd. ‖ 7. [*περὶ χρείας . . πρῶτον καὶ δεύτερον*]*; cf. Praef. p. LXXXVIII ‖ *τῶν* add. Ch K, om. QAB ‖ 8. *θεωρημάτων* Ch K *θεωρήματα* QAB ‖ 13. *εὑρέσεως** *αἱρέσεως* Q edd.; cf. Praef. p. LXXXVIII ‖ [*περὶ — ἕν*]* cf. Praef. l. l. ‖ 14. † *ἰδίως κτλ.* cf. Praef. l. l. ‖ 16. *ἐπηρεαστικῶς* Ch K *ἐπηρεαστικοὺς* QAB ‖ [*περὶ τῶν ἰδίων — τέχναις*]*; cf. Praef. p. LXXXVIII ‖ 18. *περὶ τῶν σημαινομένων — αὐτοῖς* cf. Praef. p. LXXXIX ‖ 19. *κατ' εἶδος* Ch K *κατ'* om. QAB

[*περὶ τοῦ προτέρου ἕν*]· *περὶ τῆς δι' ἀδυνάτου ἀποδείξεως ἕν· περὶ τῶν ἕνεκά του γιγνομένων ἕν* [*περὶ τῶν πολλαχῶς λεγομένων δύο*]· *περὶ τῆς κατ' ὄνομα καὶ σημαινόμενον ζητήσεως.*

Cap. XII. ⟨*Περὶ τῶν τῆς ἠθικῆς φιλοσοφίας βιβλίων.*⟩

Περὶ τῶν τῆς ἠθικῆς φιλοσοφίας ἐζητημένων ὅσα μοι δοκεῖ, διὰ τῶν ὑπογεγραμμένων βιβλίων ἀπεφηνάμην· περὶ τῶν ἰδίων ἑκάστῳ παθῶν καὶ ἁμαρτημάτων τῆς διαγνώσεως δύο· περὶ ἠθῶν τέτταρα· πρὸς τὸν Φαβωρῖνον κατὰ Σωκράτους· περὶ ἀλυπίας ἕν, περὶ τοῦ κατὰ φιλοσοφίαν τέλους ἕν· περὶ τῆς τῶν ἐπιδεικνυμένων ⟨*πρὸς*⟩ *τοὺς ἀκούοντας συνουσίας ἕν· περὶ τῶν ἀναγιγνωσκόντων λάθρα ἕν· περὶ ἁμαρτημάτων καὶ κολάσεως ἰσότητος ἕν· περὶ παραμυθίας ἕν· περὶ τῆς ἐν αὐλῇ Μενάρχου διατριβῆς πρὸς Βακχίδην καὶ Κῦρον ἕν· περὶ τῆς ἐν τοῖς δια|λόγοις* 46 *συνουσίας ἕν· πρὸς τοὺς ἀγοραίους ῥήτορας ἕν· περὶ ἡδονῆς καὶ πόνου ἕν· περὶ τῶν ἀκολούθων ἑκάστῳ τέλει βίων ἕν· περὶ τῶν δημοσίᾳ ῥηθέντων πρὸς τοὺς ἀπὸ τῶν αἱρέσεων ἕν· περὶ ὁμονοίας ἕν· περὶ αἰδοῦς*

1. [*περὶ τοῦ προτέρου ἕν*]* cf. Praef. p. LXXXVII ‖ 2. *ἕνεκά του* Prantl, Gesch. d. Log. I 560, *ἕνεκ' αὐτοῦ* Q edd. ‖ [*περὶ τῶν — λεγομένων δύο*]*; cf. Praef. p. LXXXVII ‖ 5. De inscriptione vid. Praef. p. LXXXIX ‖ 6. *Περὶ τῶν* QAB *Περὶ δὲ τῶν* Ch K ‖ 7. *ἀπεφηνάμην* QAB *ἐπεφ.* Ch K ‖ 10. *περὶ ἠθῶν*; Mich. Glyc. Annal. I p. 211 B.; Marqu. Script. min. I p. 20, 20 ‖ 11. *Φαβουρῖνον* Q edd. ‖ *κατὰ Σωκράτους*, cf. Marres, de Favorini scriptis p. 87, Zeller, Phil. d. Gr. III 2, 66 adn. 1 ‖ 13. ⟨*πρὸς*⟩* ‖ 16. *Μενάρχου* Q Ch K *Μενάρκου* AB ‖ 17. *Βακχίδην* Ch K *βακχίδα* A *βακχίδας* B *βαχίδα* Q ‖ 19. *ἑκάστῳ τέλει βίων* Marqu., Fleck. Jahrb. 103 p. 108 Galen. Script. min. I p. 59, 16 adn., *ἑκάστου τῶν βιβλίων* Q edd.

δύο· περὶ τῶν δημοσίᾳ ῥηθέντων κατὰ κολάκων δύο· περὶ τῆς διαβολῆς, ἐν ᾧ καὶ περὶ τοῦ ἰδίου βίου· Κρονίσκοι ἑπτὰ ἐν ἑνί [πρὸς τοὺς ἀπὸ τῶν αἱρέσεων]· ⟨περὶ⟩ τῶν ἐπὶ Περτίνακος δημοσίᾳ ῥηθέντων ἕν· ‘μέχρι πόσου τῆς παρὰ τοῖς πολλοῖς τιμῆς καὶ δόξης φροντιστέον ἐστίν’· περὶ διαθηκῶν ποιήσεως.

Cap. XIII. *Τὰ πρὸς τὴν Πλάτωνος φιλοσοφίαν ἀνήκοντα.*

Περὶ τῆς Πλάτωνος αἱρέσεως ἕν· περὶ τῶν ἐν τῷ Πλάτωνος Τιμαίῳ ἰατρικῶς εἰρημένων ὑπομνήματα τέτταρα· πρὸς τοὺς ἑταίρους ἢ Πλάτων· περὶ τῶν ἰδίων δοξάντων τρία· περὶ τῆς κατὰ Πλάτωνα λογικῆς θεωρίας· Πλατωνικῶν διαλόγων συνόψεως ὀκτώ· περὶ τῶν ἐν Φιλήβῳ μεταβάσεων ἕν· περὶ τῶν τῆς ψυχῆς μερῶν καὶ δυνάμεων τρία· ‘ὅτι ταῖς τοῦ σώματος κράσεσιν αἱ τῆς ψυχῆς ἕπονται δυνάμεις’ [β'· καὶ ἄλλο καθ’ ἑτέραν ἔκδοσιν]· περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμά-
47 *των ἐννέα.* ‖

Cap. XIV. *⟨Περὶ⟩ τῶν πρὸς τὴν Ἀριστοτέλους φιλοσοφίαν ἀνηκόντων.*

Εἰς τὸ περὶ ἑρμηνείας ὑπομνήματα τρία· προτέρων ἀναλυτικῶν τοῦ προτέρου ⟨ὑπομνήματα τέτταρα, τοῦ δευτέρου τέτταρα, δευτέρων δὲ τοῦ προτέρου⟩ ἕξ,

3. *κρονίσκοι* QAB *χρονίσκοι* Ch K ‖ [*πρὸς τοὺς — αἱρέσεων*]*; cf. Praef. p. LXXXIX ‖ 4. *περὶ* add. Ch K, om. QAB ‖ 5. *πόσου* Ch K *πόσον* QAB ‖ 11. *ἑταίρους* Ch K *ἑτέρους* QAB ‖ 12. *δοξάντων* (nisi titulus corruptus est)* *δόξαντας* Q edd. ‖ 16. [*β' καὶ ἄλλο καθ’ ἑτέραν ἔκδοσιν*] Helmreich, Philol. Rundsch. I 507 ‖ 19. ⟨*Περὶ*⟩* ‖ 22. ⟨*ὑπομνήματα — τοῦ προτέρου*⟩*; cf. Praef. p. LXXXIX; *ἀναλυτικῶν τοῦ περὶ ς'* Q edd.

τοῦ δευτέρου ὑπομνήματα πέντε· εἰς τὰς δέκα κατηγορίας ὑπομνήματα τέτταρα· εἰς τὸ περὶ καταφάσεως καὶ ἀποφάσεως Θεοφράστου ὑπομνήματα ἕξ· εἰς τὸ περὶ τοῦ ποσαχῶς [τὰ] ὑπομνήματα τρία· εἰς τὸ 'πρῶτον κινοῦν ἀκίνητον ⟨αὐτό⟩'· εἰς τὸ περὶ λέξεως Εὐδήμου ὑπομνήματα τρία· περὶ τῶν κατὰ τὸ διότι ἀποδείξεων ἕν· [περὶ τῶν ἐνδεχομένων προτάσεων καὶ συλλογισμῶν ἕν]· περὶ τῶν ἐκ μικτῶν προτάσεων συλλογισμῶν ἕν· περὶ τῶν παρὰ τὴν λέξιν σοφισμάτων.

Cap. XV. *Τὰ πρὸς τὴν τῶν Στωϊκῶν φιλοσόφων διαφέροντα.*

Περὶ τῆς κατὰ Χρύσιππον λογικῆς θεωρίας τρία· τῆς Χρυσίππου συλλογιστικῆς πρώτης ὑπομνήματα τρία, δευτέρας ἕν· περὶ τῆς λογικῆς δυνάμεως καὶ θεωρίας ἑπτά· περὶ τῆς χρείας τῶν εἰς τοὺς συλλογισμοὺς θεωρημάτων πρῶτον καὶ δεύτερον· 'ὅτι ἡ γεωμετρικὴ ἀναλυτικὴ ἀμείνων τῆς τῶν Στωϊκῶν' ἕν· [περὶ τῆς χρείας τῶν εἰς τοὺς συλλογισμοὺς θεωρημάτων β′]. ‖ 48

Cap. XVI. *Τὰ πρὸς τὴν Ἐπικούρου φιλοσοφίαν ἀνήκοντα.*

Περὶ τῆς κατ' Ἐπίκουρον εὐδαίμονος καὶ μακαρίου βίου δύο· περὶ τῆς κατ' Ἐπίκουρον ἀμαυρου⟨μένης⟩ ἡδονῆς· 'ὅτι τὰ ποιητικὰ τῆς ἡδονῆς ἐλλιπῶς Ἐπικούρῳ

4. [τὰ]*; cf. Christ, Littg. 411², 2 ‖ 5. ⟨αὐτό⟩*; cf. Praef. p. LXXXIX ‖ 7. [περὶ τῶν — ἕν]* cf. Praef. p. LXXXVIII ‖ 9. παρὰ* κατὰ Q edd.; cf. Praef. p. LXXXIX ‖ 15. χρείας τῶν ChK χρείας τῆς QAB ‖ 16. α′ καὶ β′ Prantl l. l. p. 561, ἕν Q edd. ‖ 18. [περὶ τῆς χρείας — β′] Prantl l. l. ‖ 22. ἀμαυρου⟨μένης⟩*; ἀμαυροῦ ChK ἀρμυροῦ QA, ἀρμυροῦ in textu, in marg. 'al. forte ἀμαυροῦ aut ἁλμυροῦ' B ἀμυδροῦ Fabricius in bibl. Graec. apud Kuehn. in Galen. Opp. I p. CCII; cf. Praef. p. XC

λέλεκται' ἕν· περὶ τῆς Ἡδονικῆς αἱρέσεως· 'εἰ ἡ φυσιολογία χρήσιμος εἰς τὴν ἠθικὴν φιλοσοφίαν' ἕν· περὶ τῶν πρὸς τοὺς σοφιστὰς ἐν⟨νέα⟩ Μητροδώρου· ἐπιστολὴ πρὸς Κέλσον Ἐπικούρειον· ἐπιστολὴ Πουδεντιανοῦ Ἐπικουρείου.

Cap. XVII. *Τὰ τοῖς γραμματικοῖς καὶ ῥήτορσι κοινά.*

Τῶν παρὰ τοῖς Ἀττικοῖς συγγραφεῦσιν ὀνομάτων τεσσαράκοντα ὀκτώ· τῶν παρ' Εὐπόλιδι πολιτικῶν ὀνομάτων τρία· τῶν παρ' Ἀριστοφάνει πολιτικῶν ὀνομάτων πέντε· τῶν παρὰ Κρατίνῳ πολιτικῶν ὀνομάτων δύο· τῶν ἰδίων κωμικῶν ὀνομάτων παραδείγματα, ἕν· 'εἰ χρήσιμον ἀνάγνωσμα τοῖς παιδευομένοις ἡ παλαιὰ κωμῳδία'· πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσι τῇ φωνῇ ἕξ [ἐν ἄλλοις ζ']· Ἀττικῶν παράσημος, ἕν· περὶ σαφηνείας καὶ ἀσαφείας· 'εἰ δύναταί τις εἶναι κριτικὸς καὶ γραμματικός' ἕν.

1. *φυσιολογία* Usener, Epicur. p. LXXIV, *φιλολογία* Q edd. ‖ 3. *ἐννέα Μητροδώρου* Ionsius; *ἕν· Μητροδώρου* Q edd.; cf. Praef. p. XC ‖ 4. *Ἐπικούρειον — είου* Ch K *Ἐπικούριον — ίου* QAB ‖ 9. *τῶν* ante *παρ'* QAK om. BCh ‖ 10. *Ἀριστοφάνει* Ch K *Ἀριστοφάνη* QAB ‖ 12. *ἰδίων* Ch K *ἰδίως* QAB ‖ 15. [*ἐν ἄλλοις ζ'*]* ‖ *παράσημα* Egenolff; cf. Praef. p. XC.

	ℳ ₰
Historicorum Rom. rell. ed. *Peter*	4.50
Homeri carm. ed. *Dindorf*. Ed. IV. Mit Einleitung von *Sengebusch*.	
Ilias	2.25
—— —— —— Odyssea	2.25
—— —— Ed. V cur. *Hentze*. Ilias. 2 partes à	—.75
—— —— —— Odyssea. 2 partes à	—.75
—— Odyss. ed. *Ludwich*. I. Ed. min.	—.75
Horatius ed. *Müller*. Ed. II maior	1.—
—— —— Ed. II minor	—.75
Hyginus Gromaticus ed. *Gemoll*	—.75
Hymni Homerici ed. *Baumeister*	—.75
Hyperides ed. *Blaſs*. Ed. II	1.35
Iamblichi Protrepticus ed. *Pistelli*	1.80
Iliadis carmina ed. *Koechly*	3.—
Incerti auctoris lib. de Constantino Magno ed. *Heydenreich*	—.60
Josephus, Fl., ed. *Naber*. Vol. I. II à	3.—
Isaeus ed. *Scheibe*	1.20
Isocrates edd. *Benseler-Blaſs*. Ed. II. 2 voll.	2.70
Iuliani imp. op. ed. *Hertlein*. 2 voll.	6.75
Iurisprudentiae anteiustinianae reliquiae ed. *Huschke*. Ed. V	6.75
—— —— —— Indices ed. *Fabricius*	1.80
—— Suppl. Bruchstücke a. Schriften röm. Juristen. Von *Huschke*	—.75
Iustiniani inst. ed. *Huschke*	1.—
—— novellae ed. *Zachariae*. 2 voll.	10.50
Iustinus ed. *Jeep*. Editio maior	2.70
—— Editio minor	—.90
—— ed. *Rühl*	1.50
Iuvenalis ed. *Hermann*	—.45
Iuvenci libb. evang. ed. *Marold*	1.80
Livius edd. *Weiſsenborn-Müller*. 6 vll. à	1.—
Vol. I—IV auch in je 2 Heften à	—.60
Ferner einzeln: lib. I et II.	—.45
Lucian ed. *Jacobitz*. 3 voll.	6.30
—— —— Auch in 6 partes, à pars	1.05
Lucretius ed. *Bernays*	1.50
Lycophron ed. *Kinkel*	1.80
Lycurgus ed. *Scheibe*	—.60
Lydus ed. *Wachsmuth*	2.70
Lysias ed. *Scheibe*. Ed. II	1.20
Macrobius ed. *Eyſsenhardt*	5.40
Manethon ed. *Koechly*	1.50
Marcellus ed. *Helmreich*	3.60
Martialis ed. *Gilbert*	2.40
Martianus Capella ed. *Eyſsenhardt*	4.50
Maximus et Ammon. ed. *Ludwich*.	1.80
Minucius Felix ed. *Baehrens*	1.35
Nicephori opusc. hist. ed. *de Boor*	3.30
Nicomachus ed. *Hoche*	1.80
Nonnus ed. *Koechly*. 2 voll.	9.—
—— paraphrasis ed. *Scheindler*	4.50
Onosandros ed. *Koechly*	1.20
Orosius ed. *Zangemeister*	3.—
Ovidii opera edd. *Merkel* et *Ehwald*. 3 voll.	2.90
—— tristia ed. *Ehwald*	—.45
—— fasti	—.60
—— metamorphoseon del. ed. *Polle*	—.60
Panegyrici latini XII ed. *Baehrens*	3.60
Pausanias ed. *Schubart*. 2 voll.	3.60
Persius ed. *Hermann*	—.30

	ℳ ₰
Phaedrus ed. *Müller*	—.30
Philodemus, de musica ed. *Kemke*.	1.50
Philostratus ed. *Kayser*. 2 voll.	8.25
Pindarus ed. *Christ*	1.—
Plato edd. *Hermann-Wohlrab*. 6 voll.	10.50
[Auch in 15 einzelnen Heften.]	
Plautus ed. *Fleckeisen*. Vol. I. II.	2.70
—— —— einzelne Stücke à	—.45
Plini epistolae ed. *Keil*	1.20
—— natur. historia ed. *Jan*. 6 voll.	13.20
Plinius et Gargilius Mart. ed. *Rose*	2.70
Plotinus ed. *Volkmann*. 2 voll.	9.—
Plutarchus ed. *Sintenis*. 5 voll.	8.40
[Auch in 14 einzelnen Heften.]	
—— mor. ed. *Bernardakis*. Vol. I. II à	3.—
Poetae lat. min. ed. *Baehrens*. 6 voll.	20.10
Poetarum Rom. fragm. ed. *Baehrens*	4.20
Polemon ed. *Hinck*	1.—
Polyaenus edd. *Wölfflin-Melber*. Ed. II	7.50
Polybius edd. *Büttner-Dindorf*. 4 voll.	12.60
Pomponii Melae de chronographia libri tres rec. *Frick*	1.20
Porphyrion ed. *Meyer*	4.20
Porphyrii op. sel. ed. *Nauck*. Ed. II.	3.—
Proclus ed. *Friedlein*	6.75
Propertius ed. *Müller*	—.60
Quintilianus ed. *Bonnell*. 2 voll.	2.40
—— —— lib. X ed. *Halm*	—.30
—— declamationes ed. Ritter.	4.8[illegible]
Quintus Smyrn. ed. *Koechly* (vergr.)	1.50
Rerum naturalium script. Graeci ed. *Keller*. Vol. I.	2.70
Rhetores Graeci ed. *Spengel*. 3 voll.	9.—
Rutilius Namatianus ed. *Müller*	—.75
Sallustius ed. *Euſsner*	—.45
Scholia in Sophoclis tragoedias vetera ed. *Papageorgius*	4.80
Scribonii Largi conp. ed *Helmreich*	1.80
Scriptores historiae Augustae ed. *Peter*. 2 voll. Ed. II	7.50
—— metrici Graeci ed. *Westphal* Vol. I	2.70
—— erotici Graeci ed. *Hercher*. 2 vll.	7.50
—— metrologici ed. *Hultsch*. 2 voll.	5.10
Seneca ed. *Haase*. 3 voll.	7.80
—— trag. edd. *Peiper* et *Richter*	4.50
—— rhetor ed *Kieſsling*	4.50
Silii Italici Punica ed. *Bauer*. Vol. I	2.40
Sillographi Graeci v.: Corpusculum.	
Simeo Sethus ed. *Langkavel*	1.80
Sophocles edd. *Dindf-Mekler*. Ed. VI	1.50
—— —— einzelne Stücke à	—.30
Soranus ed. *Rose*	4.80
Statius edd. *Baehrens* et *Kohlmann*, 2 voll.	7.35
Stobaei floril. ed. *Meineke*. 4 voll.	9.60
—— eclogae ed. *Meineke*. 2 voll.	6.—
Strabo ed. *Meineke*. 3 voll.	6.—
Suetonius ed. *Roth*	1.50
Tacitus ed. *Halm*. 2 voll. Ed. IV	2.40
Vol. I. (Ann.) auch in 2 fascc. à	—.75
—— Germania, Agricola et dialogus ed. *Halm*	—.45
Terentius ed. *Fleckeisen*	1.20
Testamentum, novum, Graece ed. *Buttmann*. Ed. IV	2.25
Themistius	

	M. Pf.
Theodorus Prodromus ed. *Hercher*	—.50
Theon Smyrnaeus ed. *Hiller*	3.—
Theophrastus ed. *Wimmer*. 3 voll.	6.60
Theophrasti char. ed. *Foſs* (vergr.)	1.20
Theophylacti historiae ed. *de Boor*	6.—
Thucydides ed. *Boehme*. 2 voll.	2.40
Tibullus ed. *Müller*	—.30
Ulpian ed. *Huschke*. Ed. V.	—.75
Valerius Flaccus ed. *Baehrens*	1.50
— **Maximus** ed. *Kempf*	4.50
— **Julius** ed. *Kuebler*	2.70
Varronis rerum rust. libb. ed. *Keil*	1.50
Vegetius ed. *Lang*. Ed. II.	3.90
Velleius Paterculus ed. *Haase*	—.60
— — ed. *Halm*	1.—
Vergilius Mar. ed. *Ribbeck*	1.35
— — Bucolica et Georgica	—.45
— — Aeneis	—.90
— ed. *Güthling*. Vol. I. Bucolica. Georgica	—.45
— — Vol. II. Aeneis	—.90
— grammaticus ed. *Huemer*	2.40
Xenophontis expeditio Cyri ed. *Hug*. Ed. minor	—.75
— — — Ed. maior	1.20
— hist. Graeca ed. *Keller*. Ed. min.	—.90
Xenophontis institutio Cyri ed. *Hug*. Ed. min.	—.90
— — — Ed. maior	1.50
— comment. ed. *Gilbert*. Ed. maior	1.—
— — — Ed. minor	—.45
— — ed. *Dindorf*	—.45
— scripta min. ed. *Dindorf*	—.90
Zonaras ed. *Dindorf*. 6 voll.	19.50

Bibliotheca scriptorum medii aevi Teubneriana.

Albertus Trollus ed. *Merzdorf*	3.—
Amarcius, Sextus, ed. *Manitius*	2.25
Canabutzes, Ioannes, ed. *Lehnerdt*.	1.80
Christus patiens ed. *Brambs*	2.25
Thiofridi vita Willibr. ed. *Roſsberg*	1.80
Vitae sanct. XI metr. ed. *Harster*.	3.—

Bibliotheca scriptorum latinorum recentioris aetatis.

Mureti, M. A., scripta selecta. Ed. *I. Frey*. Vol. I et II. à	1.20
Ruhnkenii, D., elogium Tiberii Hemsterhusii. Ed. *I. Frey*	—.45

Verlag von B. G. Teubner in Leipzig.

Griechisches Schulwörterbuch. Von G. E. Benseler und K. Schenkl. 2 Bände. gr. Lex.-8.
- I. Griechisch-Deutsch. Von G. E. Benseler. 8. Aufl. von Georg Autenrieth. 1886. geh. 6 M. 75 Pf.
- II. Deutsch-Griechisch. Von K. Schenkl. 4. Aufl. 1884. geh. 9 M.

Lateinisches Schulwörterbuch. Von F. A. Heinichen. 2 Bände gr. Lex.-8.
- I. Lateinisch-Deutsch. 5. Aufl. von A. Draeger. 1887. geh. 6 M.
- II. Deutsch-Lateinisch. 4. Aufl. von A. Draeger. 1883. geh. 5 M.

Wörterbuch zu den Homerischen Gedichten. Von G. Autenrieth. 6. Auflage. gr 8. 1890. geh. 3 M.

Wörterbuch zu Xenophons Anabasis. Von F. Vollbrecht 6. Aufl. gr. 8. 1886. geh. 1 M. 80 Pf.

Wörterbuch zu Xenophons Hellenica. Von K. Thiemann 2. Aufl. gr. 8. 1888. geh. 1 M. 50 Pf.

Schulwörterbuch zu C. J. Cäsar. Von H. Ebeling. Dritte Auflage, von A. Draeger. gr. 8. 1884. geh. 1 M.

Wörterbuch zu den Lebensbeschreibungen des Cornelius Nepos. Von H. Haacke. 10. Aufl. 8. 1889. geh. 1 M. Mit dem Texte des Nepos 1 M. 20 Pf.

Wörterbuch zu Ovids Metamorphosen. Von J. Siebelis. Vierte Auflage, von Fr. Polle. gr. 8. 1885. geh. 2 M. 70 Pf.

Wörterbuch zu den Fabeln des Phädrus. Von A. Schaubach. 3. Aufl. 8. 1888. geh. 60 Pf. Mit dem Texte des Phädrus 90 Pf.

Wörterbuch zu Siebelis' tirocinium poeticum. Von A. Schaubach. 8. Aufl. gr. 8. 1888. geh. 45 Pf.

LIPSIAE: TYPIS B. G. TEUBNERI.